Ἐχεκρίτῳ ἀνέρι κλεινῷ τόδε τεῦχος ὁ Δ.
Πέμψε μικρὸν μεγάλης μνημόσυνον φιλίης

ΕἸΣΑΓΩΓῊ

ΕἸΣ

ΤῊΝ ἙΛΛΗΝΙΚῊΝ ΓΛΩ͂ΣΣΑΝ.

Περιέχουσα

διαφόρους Ἑλληνικοὺς Διαλόγους πάνυ ὠφελίμους εἰς τρεῖς Ἑκατοντάδας διῃρημένους

συναρμοσθεῖσα

παρὰ

Δημητρίου Νικολάου τοῦ Δαρβάρεως

τοῦ ἐκ Κλεισούρας τῆς Μακεδονίας

πρὸς χρῆσιν

τῶν Πρωτοπείρων τῆς Ἑλλάδος φωνῆς

καὶ ἐκδοθεῖσα

ὑπὸ

τοῦ τιμιωτάτου Αὐταδέλφου αὐτοῦ

Ἰωάννου Νικολάου

τοῦ Δαρβάρεως

Ἐν Βιέννῃ τῆς Αὐστρίας.

Ἐν τῇ Τυπογραφίᾳ Γεωργίου Βενδότη.

1798.

Εἰ γάρ κεν ϗ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
Καὶ θαμὰ τοῦθ' ἔρδοις, τάχα κεν μέγα ϗ τὸ γένοιτο.

Ἡσίοδος Ἔργ. ϗ Ἡμ. στιχ. 359—360.

Τοῖς Ἐντευξομένοις
χαίρειν.

Ὅτι μὲν ἡ Ἑλλὰς φωνὴ ξύμπασι τοῖς ἡμετέροις Νέοις ἐπωφελής τε ϗ ἐν τοῖς μάλιστα ἀναγκαία τυγχάνει γε οὖσα, πᾶς τις δήπου ὁμολογεῖ, ϗ οὐδένα οἶμαι τὸν ἀντεροῦντα· πηγὴ γὰρ ἀτεχνῶς αὕτη ἁπάσης καθέστηκε Παιδείας, ϗ μήτηρ τῶν Ἐπιστημῶν, ἧς ἄνευ ἀμήχανον τῶν ἐκ τῆς Ἐγκυκλίου παιδεύσεως ϗ τῆς πάλαι Φιλοσοφίας ἀπόνασθαι ἀγαθῶν. Ταύτῃ τοι ϗ πᾶσαν σπουδὴν χρὴ περὶ τὴν ἐκείνης ἀκριβῆ γνῶσιν τοὺς ἐγκρατεῖς αὐτῆς γενέσθαι ἐφιεμένους καταβάλλεσθαι. Ὅτι δὲ ἐν τοῖς παρ᾽ ἡμῖν Φροντιστηρίοις οὐκ εὐχε-

ρῶς οἱ Παῖδες τὴν Ἑλλάδα γλῶτταν ἐκμανθάνουσι, παντί τῳ δῆλον ϗ ἀναντίῤῥητον· πάντες γὰρ δὴ πλεῖστοι ὅσοι καταβάλλοντες πόνους, ϗ ἱδρῶτας οὐκ ὀλίγους περὶ ἐκείνην ἀποκενοῦντες οὐ πάνυτι ἐπιδιδόασιν οὐδὲ πρόσω χωροῦσιν, ἀλλ' ἐγκαταγηράσκουσι τῇ Γραμματικῇ, ὡς τὸν τῆς ἡλικίας χρόνον σφίσι μὴ ἐξαρκεῖν· πρὸς τὴν τῆς Φιλοσοφίας σπουδὴν, ϗ τὴν τῶν ἄλλων Ἐπιστημῶν ἐπίκτησιν ἀναγκαίων οὐσῶν ϗ τῷ ἀνθρωπίνῳ βίῳ λυσιτελεστάτων.

Αἴτια δὲ τούτου, εἰδήτινα ϗ ἄλλα, ταυτὶ τὰ δύω κυριώτατάμοι εἶναι δοκεῖ· τό,τε ἀμέθοδον ϗ ἀσαφὲς τῶν Γραμματικῶν πραγματειῶν, ἥτε σπάνις ϗ ἔλλειψις τῶν χρησίμων ϗ ἀναγκαίων Βίβλων. Ἁπασῶν γὰρ τῶν Γλωττῶν τῆς γνώσεως ἐκ δυοῖν συγκειμένης τε ϗ συναπαρτιζομένης, λέγω δὴ ὕλης ϗ εἴδους, ἑκάτερον λίαν πλημμελῶς παρ' ἡμῖν τοῖς Ἑλλήνων Παισὶν ἔχον ϗ ἐνδεῶς κατανενόηκα· οὔτε γὰρ Γραμματικῶν εὐμεθόδων τε ϗ σαφῶν ϗ ταῖς ἁπαλαῖς τῶν Νέων ψυχαῖς ἐφαρμοζουσῶν εὐποροῦμεν· οἵων περ τὰ λοιπὰ τῶν ἐν Εὐρώπῃ οἰκούντων ἐθνῶν πλουτεῖ· ἀφ' ὧν ἂν οἱ

Παῖ-

Παῖδες τὸ εἶδος εὐχερῶς τε ϗ εὐμεθόδως μανθάνοιεν, οὔτε Λεξικῶν πλουσίων τε ϗ ἐντελῶν, ἢ γοῦν Ὀνομαστικῶν προχείρων τε ϗ εὐπορίστων, ὅθεν ἂν τὴν ὕλην ἀφθόνως ϗ δαψιλῶς ἐς λόγων συνθήκην λαμβάνοιεν, οὔτε μὴν Διαλόγων οἰκείων ϗ σχολαστικῶν, οἷσπερ ἂν ἐν ταῖς πρὸς ἀλλήλους συνουσίαις χρῷντο.

Πολλάκις τοίνυν διανοουμένῳ μοι, καὶ μετὰ τῶν φίλων σκοπουμένῳ, τίνα ἂν ὁδὸν ἰόντες, καὶ ποίᾳ τινὶ χρώμενοι μεθόδῳ οἱ ἡμέτεροι Νέοι ῥᾷον τοῦ λοιποῦ ϗ ἀπονώτερον τῆς Ἑλληνίδος φωνῆς ἐγκρατεῖς γένοιντο, ἐπῄει οὐ μικρὸν εἰς ἐπιβολὴν τοῦ Ἕλληνος λόγου συντελέσειν, εἴγε κατὰ ταὐτὰ τοῖς Λατίνων Παισὶν ἴχνια βαίνοντες παρ᾽ αὐτὰ δὴ τὰ τῆς Γραμματικῆς προαύλια τοῖς Πρωτοπείροις Διαλόγους οἰκείους ϗ σχολαστικοὺς ἀπομνημονεύειν προθείημεν. Τοῦτο δὴ καλῶς δόξαν, ϗ εἰδὼς τοῖς ἡμετέροις Νέοις ἐς τὰ μάλιστα λυσιτελὲς ἐσόμενον, οὐδ᾽ ἀνασχόμενος ἔτι ὁρᾷν αὐτοὺς μάτην τὸ πολυτελὲς ἀνάλωμα δηλονότι τὸν χρόνον καταναλίσκοντας, καὶ ὅλον μονονουχὶ τὸν βίον πρὸς τῇ Γραμματικῇ κατατρίβοντας, ἀλλ᾽

οἰκτεί-

οἰκτείρας αὐτὰς τῶν ἀπλέτων μόχθων καὶ ἱδρώτων, οἷς βαρυνόμενοι, καὶ ἄλλως κατατρυχόμενοι ταῖς κακοπαθείαις τῆς τε πατρίου φωνῆς ὀλιγωροῦσι, καὶ τῶν ἐκ τῆς Φιλοσοφίας ἀγαθῶν οὐκ ἀπολαύουσι, καὶ ἑπομένως τοῦ, οὗ δι᾽ ἐφέσεως ἔχουσι, κυνηγεσίου ἀποτυγχάνουσιν, ἡψάμην τοῦ ἔργου, καὶ συναγαγὼν διαφόρους Διαλόγους, τοὺς πολλοὺς μὲν παρ᾽ ἄλλων ἀναλεξάμενος, ἔστι δ᾽ οὓς καὶ αὐτὸς κατὰ τὸ ἐνὸν ἀποσχεδιασάμενος, καὶ ἐν ἑνὶ τῷδε τῷ βραχεῖ Τεύχει προσεναρμόσας, τοῖς φιλομαθέσι τῶν Νέων τούτους παραθέσθαι προειλόμην, οὓς καλῶς ἐκμανθάνοντες καὶ ἀπομνημονεύοντες, ἅμα δὲ καὶ πρὸς τὸν βίον χρώμενοι οὐ τὴν τυχοῦσαν, ὡς ἐμαυτὸν πέπεικα, καρπώσονται ὄνησιν.

Διεῖλον δὲ τούσδε τοὺς Διαλόγους εἰς τρεῖς Ἑκατοντάδας, ταύτας δὲ πάλιν εἰς Δεκάδας προτεταχὼς τούτων ἑκάστης τὴν περὶ ἧς ὁ λόγος ὑπόθεσιν, ἵν᾽ εἰδεῖεν οἱ ἐντυγχάνοντες, καὶ μᾶλλον ἐπαΐοιεν τῶν λεγομένων. Ἡ μὲν οὖν πρώτη Ἑκατοντὰς ἐμπεριέχει Διαλόγους τὸ πλεῖστον μέρος Οἰκείους καὶ Συμμίκτους· ἡ δὲ δευτέρα Σχολαστικοὺς καὶ Ἠθικούς· ἡ δὲ τρίτη Φιλολογικοὺς καὶ Ἱστορικούς.

κῆς. Ὅθεν ἔξεστι τοῖς φιλομαθέσι τῶν Νέων οὐ μόνον λέξεων εὐπορίαν ϗ λόγων σύνθεσιν μαθεῖν, ἀλλὰ δὴ ϗ τὴν διάνοιαν αὐτῶν ἀσκῆσαι, ϗ τὰ ἤθη κοσμῆσαι. Οὐκ ἀγνοῶ δὲ, ὡς πολλοὶ μοχθηροὶ καὶ ἀγνώμονες μωμοσκόποι μωμήσονταί με ϗ ἐπιλήψονται τοῦδε τοῦ Ἐγχειρήματος· οὐδὲ γὰρ ἐξέλιπόν ποτε παρ' ἡμῖν Ζώϊλοι, οὐδ' ἐκλείψουσιν· ἀλλ' οἵγε καλῶς τῶν λόγων ἠμμένοι, ϗ ὀρθῇ κρίσει τὰ πράγματα μετιόντες ἀποδέξονται, εὖ οἶδ' ὅτι, καὶ χάριν εἴσονται προαισθόμενοι τὴν μέλλουσαν ἐκ τούτου τοῖς Παισὶ γενήσεσθαι ὄνησιν. Καὶ ταῦτα μὲν περὶ τῆς τοῦδε τοῦ ἔργου ὠφελείας· ὅπως δὲ τούτοις χρηστέον τοῖς Διαλόγοις ἤδη συντόμως ἐρῶ.

Ἐπειδὰν οὖν οἱ Παῖδες τὰς Κλίσεις τῶν Ὀνομάτων ϗ τοὺς Σχηματισμοὺς τῶν Ῥημάτων θεμέλιον ὄντα πάσης ἡστινοσοῦν Διαλέκτου ἀκριβῶς ἐκμάθωσιν, εὐθὺς δεῖ ἐξηγεῖσθαι τοὺς Καθηγητὰς αὐτοῖς τούσδε τοὺς Διαλόγους ἀναπτύσσοντας σαφῶς ἑκάστην τῶν λέξεων ϗ τεχνολογοῦντας· εἶτα προτρέπεσθαι αὐτοὺς οἴκοι ἀπομνημονεύειν, ϗ ἐν τῇ μετ' ἀλλήλων διαλέξει χρῆσθαι· οὕτω γὰρ

χ

Εἰς

τὸν Ἐλλογιμώτατον Κύριον Δημήτριον Νικολάε τὸν Δάρβαριν.

Στίχοι Ἰαμβικοί.

Γραμματικὴν ἄριςα συντάξας πάλαι,
Γλῶτταν πέφηνας εὔκοπον τὴν Τευτόνων.
Σοφὸν τ' ἔπειτα Θεόφραςον ἐκφράσας,
Βροτῶν προφαίνεις ἀρετὰς ϗ κακίας.
Λόγες τ' ἔναγχος τῶν πάλαι μεταφράσας,
Ἀνδρῶν ἄριςε, κοσμέεις τρόπες Νέων.
Διαλόγες δὲ νῦν προθεὶς τέτοις πάλιν,
Ἄγεις πρὸς εὐμάθειαν Ἕλληνος λόγε.
Γένος δ' ὀνήσαις τὲς σοφὲς δεῖξαν πάλαι,
Βίβλες ὑφαίνων κἀκ σοφῶν Νεωτέρων.
Δεινὸς πέλεις γὰρ καὶ γ' ἐπιςήμας γράφειν,
Ἴδμων τ' ἐὼν καὶ τῷ γένει φρονῶν φίλα.

Πρὸς εὐγνωμοσύνης τεκμήριον
τῆς σῆς πρὸς ἡμᾶς ἀγάπης
Κυριακὸς ϗ Θεόφιλος Αὐτάδελφοι
Νικολάε Ζερτζέλη οἱ ἐκ Μεσόβε.

Ἐπειδήπερ ἐντυγχάνοντες προσαγορεύειν ἀλλήλους εἰώθαμεν, καὶ τὰ τῆς προσηγορίας εὔνοιάν τε τίκτει, καὶ τὴν πρὸς ἀλλήλους φιλίαν θαυμαστὸν ὅσον τρέφει καὶ αὔξει, ἔδοξέ μοι ἐν ἀρχῇ τῆς Βίβλου προσρήσεις καὶ εὐχάς τινας συνήθεις προτάξασθαι.

Α! Προσρήσεις ὑπὸ τὴν πρώτην ἔντευξιν κατὰ τοὺς Ἀρχαίους.

Ἀσπάζομαί σε. προσαγορεύω σε. κελεύω σε χαίρειν· προσαγορεύω σοι χαίρειν. χαῖρε πάτερ. χαῖρε Δέσποτα. χαῖρε ἄρχων ἐκλαμπρότατε. χαῖρε ἄνερ περιφανέστατε. χαῖρε Κύριε ἐνδοξότατε. χαῖρε φίλων ἄριστε. χαῖρε φίλε Φαῖδρε. Χαῖρε πλεῖστον ἀδελφὲ τριπόθητε. χαῖρε συμμαθητὰ προσφιλέστατε. χαῖρε συσχολαστὰ περιπόθητε. οὖλέ τε καὶ μέγα χαῖρε καθ' Ὅμηρον. χαῖρε φίλον φῶς. χαῖρε τῆς ψυχῆς μου ἐνδιαίτημα. χαῖρε τοῦ νοός μου ἐντρύφημα.

Κἀγὼ

Κἀγὼ σέ. ἀντασπάζομαί σε. ἀντιπροσαγορεύω σε. ἀμείβομαί σε ὁμοίως. νὴ καὶ σύγε. ὡς εὖ παρέσης. χαῖρε καὶ σύ. καὶ σὺ φίλος μάλα χαῖρε. καὶ σύγε μέγα χαῖρε. καὶ σύγε πάνυ πολλὰ χαῖρε ἀδελφὲ τρισεπέραστε. ὑπέρχαιρε φίλων εἰλικρινέστατε. ἀντίχαιρε φίλε Κρίτων.

Β! Προσρήσεις ἑωθιναὶ κατὰ τὸ νῦν ἐπικρατοῦν ἔθος.

Εὔχομαί σοι εὐτυχῆ ἡμέραν. εὔχομαί σοι αἴσιον ἡμέραν. εὐδαίμονα καὶ καταθύμιον ἡμέραν ἐπεύχομαί σοι. εὐτυχῆ ποιήσαι σοι Κύριος ταύτην τὴν ἡμέραν. εὐδαιμόνως διέλθοις τὴν ἐνεστηκυῖαν ἡμέραν. εὐτυχῶς διάγοις τὴν παροῦσαν ἡμέραν.

Χάριτάς σοι ὁμολογῶ. χάριν σοι οἶδα. γινώσκω σοι χάριν καὶ τὴν τυχοῦσαν. τὴν αὐτήν σοι ἐπεύχομαι. τοιαύτην δώη καὶ σοὶ ὁ Κύριος. ἐπινεύσειε τὸ Κρεῖττον τῇ εὐχῇ σου. καταθύμιον καὶ σοίγε παράσχοιτο τὸ Θεῖον ταύτην τὴν ἡμέραν.

Γ! Προσρήσεις ἑσπεριναί.

Εὔχομαί σοι νύκτα εὐτυχῆ. αἰσία σοι νὺξ γένοιτο. εὔχομαί σοι νύκτα ἥσυχον. εὐόνειρόν σοι νύκτα εὔχομαι. εὔχομαί σοι ὕπνον ἡδὺν καὶ ἐλαφρόν. ἀναπαύου ἡσύχως. ὑπνώττοις ἡδέως. καθεύδοις ἀταράχως.

Κἀγώ

Κἀγώ σοι ἐπεύχομαι νύκτα γαλήνιον. τὴν αὐτήν σοι εὔχομαι. εὔχομαι ϗ σοίγε ὕπνον ἥσυχον. ὁμοίως σε ὑπνοῦν εὔχομαι. ϗ σύγε ἡδέως ϗ ἡσύχως καθεύδοις.

Δ! Εὐχαὶ διάφοροι ἐπ' ἀγαθοῖς.

Γένοιτό σοι πολλὰ κἀγαθά. εὔχομαί σοι τὰ ἄριστα. εὔχομαί σοι τὰ κρείττω ϗ σωτηρίας ἐχόμενα. εὔχομαί σοι πᾶν ἀγαθόν. εὔχομαί σοι πάνθ', ὅσα θυμήρη ϗ αἴσια. Θεός σοι ὄλβια δοίη. παράσχοιτό σοι τὸ Θεῖον πάντα τἀγαθά. Θεὸς εἴη σοι ἀγαθῶν νομεύς. παράσχοι σοι τὸ Κρεῖττον πᾶν ὅ,τι περ ἐφετόν ἐστιν. Ἵλεως ϗ εὐμενὴς εἴη σοι ὁ Θεός. εὐμενοῦς τύχοις τοῦ Κρείττονος. γένοιτό σοι πᾶν ἀγαθὸν παρὰ τοῦ Θεοῦ. εὐτυχήσαις, ὧν ἐπιθυμεῖς, παρὰ Θεοῦ. εὕραιο τῆς προθυμίας ἀμοιβὴν παρὰ τοῦ Θεοῦ. ἀγαθοῦ δαίμονος πειραθείης. εὖ σοι γένοιτο. κατὰ ῥοῦν χωρείτω τὰ κατὰ σέ. βαθύ σε γῆρας ϗ λιπαρὸν περιμένειεν. εὐτυχῶς ϗ εὐδαιμόνως γηράσαις. παρατείνειέ σοι τὸ Κρεῖττον τὸ ζῆν ἐπὶ μήκιστον. Ζώης ἐπὶ μήκιστον. ζώης ἀλύπως ϗ εὐτυχῶς ἐς λυκάβαντας ὅτι πλείστους.

Ε! Εὐωχουμένῳ.

Πρὸς ἀγαθοῦ γένοιτό σοι τὸ ἀκράτισμα, τὸ ἄριστον ἢ τὸ δεῖπνον. λυσιτελὲς εἴη σοι τὸ ἀκράτισμα,

τισμα,

τισμα, τὸ ἄριςον ἢ τὸ δεῖπνον. εὐλογήσαι σοι τὸ Θεῖον τὸ ἀκράτισμα τὸ ἄριςον ἢ τὸ δεῖπνον. Ὄναιο τȣ͂ οἴνȣ. εἴησοι σωτήριος ȣ̓͂τος ὁ οἶνος, ἢ ὁ ζῦθος. γένοιτό σοι εἰς ὄνησιν. ὀνήσειέ σε τȣ- τὶ τὸ ποτόν. εἴη σοι εἰς σωτηρίαν. γένοιτό σοι ἐπ᾽ ἀγαθῷ. καλῶς ἔςω ὑμῖν ἀριςῶσιν ἢ δειπ- νȣ͂σιν. εὖ γένοιτο ὑμῖν εὐωχȣμένοις. λυσιτελοίη ὑμῖν τὸ ἄριςον ἢ τὸ δεῖπνον.

Οἶδά σοι χάριν καὶ ὁμολογῶ. γινώσκω σοι χάριν. ἔχω σοι χάριν πολλήν. ταὐτόν σοι εὔχο- μαι. ναὶ δὴ γένοιτο τȣ͂το.

ΣΤ! Πταρνυμένῳ.

Σώσειέ σε τὸ Θεῖον. ἤτω σοι σωτήριον. καλῶς ἔςω σοι. λυσιτελὲς εἴη σοι. γένοιτό σοι εἰς σωτηρίαν.

Ζ! Ἀρχομένῳ τινός.

Ἀγαθῇ τύχῃ. ἀρχὴ τὸ ἥμισυ τȣ͂ παντός. εὐτυχὲς εἴησοι τȣ͂ργον. εὐλογήσειεν ὁ Θεὸς τȣ̀ς πόνȣς σȣ. ἐπ᾽ ἀγαθῷ εἴη τȣ̓γχείρημα. εὐ- τυχῶς διαπράξαις, ȣ͂περ ἦρξω. ἐπιτυχῶς ἀπο- βαίη τȣ̓γχείρημα. μετ᾽ εὐτυχίας κατορθωθείη. εὐτυχηθείη ἡ πεῖρα. συμβαῖνον τῇ ἀρχῇ εἴη τὸ πέρας. κατάλληλον εἴη τῇ ἀρχῇ τὸ τέλος.

Ἐπινεύσειε τὸ Κρεῖττον. πληρώσαι Κύριος τὴν εὐχήν σȣ. Ἄγοι τὸ Θεῖον τἀμὰ ὡς βȣ́λε- ται.

ται. φερέσθω τἀμὰ ὡς τῷ Θεῷ φίλον. τὰ ἡμέτερα ὅπη τῷ Θεῷ φίλον ἀγέσθω.

Η! Ευχαὶ ἐπὶ Απαλλαγῆς.

Ἔῤῥωσο φίλων ἄριστε. εὐτύχει ἀδελφὲ τριπόθητε. ὑγίαινε συσχολαστὰ προσφιλέστατε. ἔῤῥωσο ϗ εὐνόει μοι. ὑγίαινε ϗ διατέλει φιλῶν τοὺς σὲ φιλοῦντας. εὐτύχει ϗ μέμνησο ἀεὶ τοῦ σοῦ φίλου. ἀντιφίλει φιλοῦντας.

Καὶ σύγε ἔῤῥωσο. εὐτύχει ϗ σύ. νὴ δία ϗ σύγε ὑγίαινε. ἄπιθι αἰσίοις ὄρνισιν. ἀπίοις εὐτυχῶς ϗ πάλιν ἐπανίοις. ἐπανέλθοις ταχέως ϗ καλῶς. Κύριος κατευθύνοι τὰ διαβήματά σου. Κατευοδώσαι σε τὸ Θεῖον. εὔχομαι τὸ Κρεῖττον ἀρωγὸν σοι τῆς ὁδοῦ εἶναι. σωθείης. κατευοδωθείης. εὖ πλοήσαις.

Θ! Ευχαὶ ἐν ἀρχῇ ϗ ἐπὶ τέλει τῶν Επιστολῶν.

Δημοσθένης τῇ βουλῇ ϗ τῷ δήμῳ χαίρειν. Πλάτων Διονυσίῳ εὖ πράττειν. Ἐπίκουρος Αριστίππῳ εὖ διάγειν. Πυθαγόρας Φιλολάῳ ὑγιαίνειν. Διογένης Αλεξάνδρῳ σωφρονεῖν. Δημήτριος Γεωργίῳ εὖ φρονεῖν.

Ἔῤῥωσο. εὖ πράττε. εὐτύχει. ἔῤῥωσο ϗ τοὺς φίλους κέλευε. τὰ δ' ἄλλα ἔῤῥωσο. τὰ δ' ἄλλα εὖ πράττε. ἔῤῥωσο ϗ πράττε τὰ ἄριστα.

σὺ

σὺ δὲ ὑγιαίνοις ϗ εὐδαιμονοίης. σὺ δὲ ὑγιαίνοις ϗ ἄσπασαι τὲς ἑταίρες. ἐῤῥωμένος ϗ εὐδαίμων διαβιῴης. εὐθύμως ϗ ἀλύπως διαβιῴης. ἐῤῥωμένος καὶ εὐθυμῶν διαβιῴης. ἐῤῥωμένως εὐδαιμονῶν διαβιῴης θαυμάσιε. ἔῤῥωσο φίλων ἄριςε, ϗ διὰ βίε εὐημέρει. εὐτύχει νέων φιλομαθέςατε, ϗ ἐῤῥωμένως περὶ τὴν φιλολογίαν σπέδαζε. ἔῤῥωσο ϗ πειρῶ μοι τῶν παραινεμένων ἀντέχεσθαι. Ἔῤῥωσο ϗ πράττε τὰ ἄριςα, ἅπερ ἂν τὸ Θεῖον ἄριςα δοκιμάσειε. εὖ πράττε ψυχὴν μὲν πρὸς φιλοσοφίαν, σῶμα δὲ πρὸς ὑγείαν ἄγων ϗ ἐπιμελέμενος. εὐτύχει, τὰ δ' ἄλλα πράττε μὲν τὰ ξυμφέροντα, ἐπιτέλει δὲ τὰ δόξαντα. ἔῤῥωσο, ϗ διὰ βίε εὐημέρει. εὖ πράττε, ϗ περὶ ἡμῶν εὐθύμει.

I! Ἀσπασμοὶ δι' ἄλλε.

Ἄσπασαι παρ' ἐμε͂ τὲς τῷ γένει προσήκοντας. πρόσειπε παρ' ἐμε͂ πάνυ πολλὰ τὸν σεβασμιώτατον Καθηγητήν. χαίρειν κέλευε παρ' ἐμε͂ πάντας τὲς τῇ σῇ φιλίᾳ ᾠκειωμένες. προσαγορεύσειας διὰ τῆς θεσπεσίας σε φωνῆς πάντας τὲς ἑταίρες. ἄσπασαι παρ' ἐμε͂ τὸν ἀγαθὸν ἑταῖρον. πλεῖςά μοι πρόσειπε τὸν προσφιλέςατον Ἰωάννην. ἐῤῥῶσθαι διακέλευε τὸν προσηνέςατον Πέτρον.

ἘΛΛΗ-

ἙΛΛΗΝΙΚΩ͂Ν ΔΙΑΛΟ'ΓΩΝ

ἙΚΑΤΟΝΤΑ'Σ Α'.

ΔΕΚΑ'Σ Α'.

Περὶ τῆς Μαθήσεως τῶν Γραμμάτων.

ΔΙΑ'ΛΟΓΟΣ Α'.

Υἱός. Πατήρ.

ΥἹΟ'Σ. Χαῖρε, Πάππα φίλτατε! ΠΑΤΗ'Ρ. Νὴ καὶ σύγε, φίλον μοι ἦτορ! Υ. Εὔχομαί σοι αἴσιον ἡμέραν! Π. Ζώης, φίλε τέκνον, καὶ ἐπιδώης ἐπὶ τὰ βέλτιστα! πῶς καθύπνωσας ταύτῃ τῇ νυκτί; Υ. Ἡδέως καὶ ἡσύχως. Π. Χάρις τῷ Θεῷ! εὔχομαι διαφυλάττειν σε ἀεὶ ἀβλαβῆ καὶ ἀνεπηρέαστον. πότε ἐξηγέρθης τῆς εὐνῆς; Υ. Νῦν δὴ ἐξηγέρθην. Π. Ἐξηγέρθησαν καὶ αἱ ἀδελφαί σου; Υ. Οὔπω. Π. Οὐκ ἀπῆλθες διϋπνίσων αὐτάς; Υ. Οὐ μὲν οὖν. Π. Τοῦ χάριν; Υ. Ὅτι οὐδεπώποτε τοῦτο ποιεῖν εἴωθα. Π. Οὐκ ἐξεγείρουσί σε ἐσθ' ὅτε ἐκεῖναι; Υ. Πολλάκις τοῦτο ἐποίησαν. Π.

Μέμνησο τοίνυν ἣν δέῃ ταὐτὸν ποιεῖν. Υ. Ποιήσω, πάτερ, ὡς κελεύεις.

ΔΙΑ'ΛΟΓ. Β!

Πατήρ. Υἱός.

Π. Τέκνον Ἰωάννη, βούλομαι μικρὸν πρὸς σὲ διαμυθολογήσασθαι. Υ. Τί πάτερ; οὐδὲν γὰρ ἂν ἥδιον ἐμοὶ γένοιτο, ἢ σοῦ ἀκούειν. Π. Ὁ σὸς Περσεὺς πότερον ζῶόν ἐστιν, ἢ ἄνθρωπος; Υ. Ζῶον ἔμοιγε δοκεῖ. Π. Τί δὴ σὺ ἔχεις, ἵν' ᾖς ἄνθρωπος, οὐκ ἐκεῖνος; σὺ ἐσθίεις, πίνεις, καθεύδεις, περιπατεῖς, τρέχεις, παίζεις. ταῦτα κἀκεῖνος πάντα. Υ. Ἀλλά τοι ἐγώ εἰμι ἄνθρωπος. Π. Πόθεν τοῦτο γινώσκεις; τί δὴ σὺ νῦν πλέον ἔχεις τοῦ κυνός; Υ. Οὐκ ἂν ἔχοιμι εἰπεῖν. Π. Ἀλλὰ δὴ τούτῳ διενήνοχας ἐκείνου, ὅτι ὁ μὲν οὐχ οἷός τέ ἐστι λόγιος γενέσθαι, σὺ δὲ δύνασαι, εἰ βούλει. Υ. Ποίησον δή, πάτερ, τοῦτο ὅτι τάχιστα. Π. Γενήσεται, ἢν ἀπίῃς ἔνθα γίγνονται οἱ ἄνθρωποι λόγιοι. Υ. Πάνυ ἄσμενος, πάτερ· ἀλλὰ ποῦ γίγνονται οὗτοι λόγιοι; Π. Ἐν ταῖς τῶν λόγων διατριβαῖς. Υ. Οὐκ ἂν φθάνοις τοίνυν ἄγων με ἐκεῖσε. Π. Αὔριον σὺν Θεῷ ἄξω σε ἐπὶ τὸ διδασκαλεῖον. Υ. Ἕψομαίγε προθυμότατα.

ΔΙΑ'ΛΟΓ. Γ!

Πατήρ. Υἱός. Διδάσκαλος.

Π. Ἕπου μοι, φίλε τέκνον. Υ. Πάνυ προθύ-

θύμως, πάτερ. ἀτὰρ εἰπέ μοι, τίς ἐστιν ἐν τῇ δε τῇ πόλει ἄριστος διδάσκαλος τῶν παίδων; Π. Ὁ Προκόπιος ἀνὴρ καλὸς κἀγαθὸς, καὶ παιδείας εὖ ἥκων. Υ. Αὐτὸ τοῦτο τὸ ὄνομα δηλοῖ τὴν ἐπ᾽ ἄμφω τἀνδρὸς ἐπίδοσιν· ἀλλ᾽ ἔχει πολλοὺς φοιτητάς; Π. Οὐ πολλούς· οὐ γὰρ χαίρει τῷ ὄχλῳ τῶν μαθητῶν, ἀλλὰ στέργει ὀλίγοις. Υ. Ποῦ οἰκεῖ; Π. Ἐκ γειτόνων. Ὁρᾷς ἄνδρα καλὸν καὶ κομήτην ἐν τῇ στοᾷ ἐκείνῃ περιπατοῦντα; Υ. Ἔγωγε. Π. Οὗτος αὐτός ἐστιν ὁ Προκόπιος. Υ. Ποῦ δέ ἐστι τὸ διδασκαλεῖον; Π. Τουτί ἐστι τὸ φροντιστήριον, καὶ οἱονεὶ ἐργαστήριον τῶν ἀνθρώπων. Ἀνακάλυψαι οὖν τὴν κεφαλὴν, καὶ ἀποδοὺς τὴν προσήκουσαν τῷ διδασκάλῳ προσκύνησιν, ὥσπερ ἐδιδάχθης, ἵστασο ὄρθιος. Δ. Ὡς εὖ παρέστητε πᾶσιν ἡμῖν! τί βούλεσθε; Π. Προσάγω σοι τοῦτον τὸν παῖδα, ἵνα λόγιον ποιήσῃς. Δ. Ἐπιμελήσομαι αὐτοῦ, ὡς ἂν οἷός τε ὦ· ἐπανήξει σοι λόγιος, καὶ καλὸς κἀγαθὸς γενόμενος. Π. Πόσου διδάσκεις; Δ. Εἰ μὲν ὁ παῖς πολὺ ἐπιδίδωσιν, ὀλίγου· εἰ δὲ μικρὸν, πολλοῦ. Π. Ὀρθῶς τοῦτο λέγεις καὶ σοφῶς, ὡς ἅπαντα. Διειλόμενοι οὖν τὸ ἔργον, σὺ μὲν δίδασκε αὐτὸν ἐπιμελῶς· ἐγὼ δὲ ἀμείψομαί σε τῶν πόνων εὐγνωμόνως.

ΔΙΑʹΛΟΓ. Δ!

Διδάσκαλος. Ἰωάννης. Βασίλειος. Ὑποδιδάσκαλος.

Δ. Λαβὼν τῇ μὲν λαιᾷ τὴν δέλτον, τῇ

δὲ δεξιᾷ τὸν δείκτην ἵςασο ὄρθιος. Πρόσεχε τοίνῦν, ἵνα μάθῃς. σκόπει, ὅπως ἐγὼ ταῦτα τὰ ςοιχεῖα ὀνομάσω. ὅρα, ἵνα τὸν αὐτὸν δὴ τρόπον ἀποδῷς, ἡνίκ᾽ ἀπαιτήσω. πρόσελθε δεῦρο, καὶ ἕπου μοι νῦν προηγουμένῳ καὶ τὰ γράμματα φθεγγομένῳ. κατέχεις καλῶς; Ι. Ἅλις μοι δοκῶ κατέχειν. Δ. Ἕκαςον τούτων καλεῖται Γράμμα, ὧν ἑπτά εἰσι Φωνήεντα. ταῦτα δὲ μεθ᾽ ὁτουοῦν ἑτέρου, ἢ καὶ πλειόνων ἄλλων ἀποτελοῦσι συλλαβήν. ἄνευ γὰρ Φωνήεντος οὐ γίνεται Συλλαβή. τὸ δὲ φωνῆεν αὐτὸ πολλάκις ποιεῖ συλλαβήν. Ὥςε τἄλλα πάντα Σύμφωνα καλοῦνται, ὅτι καθ᾽ ἑαυτὰ οὐδὲν φωνοῦσιν, εἰμὴ μετά τινος τῶν Φωνηέντων. ἔχουσι γὰρ ἀτελῆ τινα ἦχον καὶ ἐλλιπῆ. οἷον β, γ, δ. ἅπερ ἄνευ τοῦ ε ἥκιςα φωνοῦσιν. Ἐκ τῶν Συλλαβῶν δὲ γίνονται Φωναὶ, εἴτ᾽ οὖν Λέξεις, κἀκ τούτων ὁ Λόγος, ὃν οὐκ ἔχουσι τὰ ζῷα, οὐδ᾽ αὐτὸς τῶν ζῴων διοίσεις, ἢν μὴ καλῶς λέγειν μάθῃς. Γρηγόρει καὶ ἐπιμελοῦ συντόνως. ἄπιθι νῦν καὶ κάθησο μετὰ τῶν συμμαθητῶν σου, καὶ μάνθανε, ἅ σοι ἐπέταξα. Ι. Οὐχ ἕξομεν σχολὴν σήμερον; Β. Οὐ μὲν οὖν· οὐ γάρ ἐςιν ἑορτάσιμος ἡμέρα, ἀλλ᾽ ἐργάσιμος. Οἴει σὺ δεῦρο ἀφικέσθαι παίζειν; οὐκ ἔςιν ἐνταῦθα τόπος τῆς παιδιᾶς, ἀλλὰ τῆς παιδείας. Ι. Διατί οὖν καλεῖται Σχολή; Β. Ὅτι σχολάζειν δεῖ ἐν τούτῳ τοὺς παῖδας ἀπὸ τῶν ἀθυρμάτων, καὶ ἀσχολεῖσθαι περὶ τὰ γράμματα. Ἀλλὰ μάθωμεν, ἅπερ ἐπέταξεν ἡμῖν ὁ Ἐπιςάτης, ταπεινῇ καὶ μικρᾷ χρώμενοι τῇ φωνῇ, ὥςε μὴ ἐμποδὼν γίγνεσθαι τοῖς ἄλλοις πρὸς τὴν ἀνάγνωσιν. Ι. Ἀλλ᾽ ὁ πρὸς μητρὸς θεῖος ἔφη μοι ἄμεινον ἂν μνημονεύειν, ἃ

ἂν

ἂν μάθοι τις γεγονυίᾳ ϗ ὑπερόγκῳ χρώμενος τῇ φωνῇ. Β Εἴτις τὸ ἑαυτȣ μάθημα ȣτω βȣλεται μανθάνειν ἀπιὼν ἐπὶ τὸν κῆπον βοάτω, ὅσον περ ἂν ἐθέλοι. Υ. Παῖδες! τȣτί γέ ἐςι τὸ μανθάνειν; ληρεῖν ϗ ἐρίζειν πρὸς ἀλλήλȣς; Αʹγετε συνέλθετε ἅπαντες πρὸς τὸν Διδάσκαλον ȣτω κελεύσαντα.

ΔΙΑʹΛΟΓ. Ε!

Θεανώ. Ιʹωάννης. Μήτηρ.

Θ. Ωʹς εὖ παρέςης! ἀδελφὲ Ιʹωάννη. βȣλει μικρὸν πρός με παῖξαι; Ι. Οὔπω. Θ. Τίς ἀσχολία σοι τυγχάνει ȣσα; Ι. Μελετᾷν, ἅπερ ἐπέταξεν ὁ Καθηγητὴς ἀπομνημονεύειν. Θ. Τίνα ἐςὶ ταῦτα; Ι. Θέασαι. Θ. Παπαί! Οἷα τέρατά ἐςι ταῦτα. Οἶμαι μύρμηκας εἶναι γεγραμμένȣς. Μῆτερ! ὅσȣς μύρμηκας ϗ κώνωπας φέρει ὁ Ιʹωάννης γεγραμμένȣς ἐν πινακιδίῳ. Ι. Σίγα ἄφρων! ἔςι γράμματα. Θ. Πῶς καλεῖται τȣτὶ τὸ πρῶτον; Ι. Αʹλφα. Θ. Διὰ τὶ τὸ πρῶτόν ἐςι μᾶλλον Αʹλφα, ἢ τὸ δεύτερον; Ι. Διὰ τὶ σὺ εἶ μᾶλλον Θεανὼ, ἢ Εʹρατώ; Θ. Εʹπείπερ ȣτω καλȣμαι. Ι. Καὶ ταῦτα ὡσαύτως. Μ. Εὖγε, τέκνον. εὐθὺς συνῆκας! πρόσελθε, ἵνα σὲ περιπτύξωμαι. ἄπιθι νῦν παίξων. Ι. Εʹνταῦθα τίθημι τὴν δέλτον ϗ τὸν δείκτην. εἴτις τȣτων θίξειε, τυφθήσεται ὑπὸ τῆς μητρός. ȣχὶ μητρίδιον; Μ. Σφόδρα γε, φίλον φῶς.

ΔΙΑʹ-

Κἀγὼ σέ. ἀντασπάζομαί σε. ἀντιπροσαγορεύω σε. ἀμείβομαί σε ὁμοίως. νὴ ϗ σύγε. ὡς εὖ παρέστης. χαῖρε ϗ σύ. ϗ σὺ φίλος μάλα χαῖρε. ϗ σύγε μέγα χαῖρε. ϗ σύγε πάνυ πολλὰ χαῖρε ἀδελφὲ τρισεπέραστε. ὑπέρχαιρε φίλων εἰλικρινέστατε. ἀντίχαιρε φίλε Κρίτων.

Β! Προσρήσεις ἑωθιναὶ κατὰ τὸ νῦν ἐπικρατοῦν ἔθος.

Εὔχομαί σοι εὐτυχῆ ἡμέραν. εὔχομαί σοι αἴσιον ἡμέραν. εὐδαίμονα ϗ καταθύμιον ἡμέραν ἐπεύχομαί σοι. εὐτυχῆ ποιήσαι σοι Κύριος ταύτην τὴν ἡμέραν. εὐδαιμόνως διέλθοις τὴν ἐνεστηκυῖαν ἡμέραν. εὐτυχῶς διάγοις τὴν παροῦσαν ἡμέραν.

Χάριτάς σοι ὁμολογῶ. χάριν σοι οἶδα. γινώσκω σοι χάριν οὐ τὴν τυχοῦσαν. τὴν αὐτήν σοι ἐπεύχομαι. τοιαύτην δώῃ ϗ σοὶ ὁ Κύριος. ἐπινεύσειε τὸ Κρεῖττον τῇ εὐχῇ σου. καταθύμιον ϗ σοίγε παράσχοιτο τὸ Θεῖον ταύτην τὴν ἡμέραν.

Γ! Προσρήσεις ἑσπεριναί.

Εὔχομαί σοι νύκτα εὐτυχῆ. αἰσία σοι νὺξ γένοιτο. εὔχομαί σοι νύκτα ἥσυχον. εὐόνειρόν σοι νύκτα εὔχομαι. εὔχομαί σοι ὕπνον ἡδὺν καὶ ἐλαφρόν. ἀναπαύου ἡσύχως. ὑπνώττοις ἡδέως. καθεύδοις ἀταράχως.

Κἀγώ

Κἀγώ σοι ἐπεύχομαι νύκτα γαλήνιον. τὴν αὐτήν σοι εὔχομαι. εὔχομαι ϗ σοίγε ὕπνον ἥσυχον. ὁμοίως σε ὑπνεῖν εὔχομαι. ϗ σύγε ἡδέως ϗ ἡσύχως καθεύδοις.

Δ! Εὐχαὶ διάφοροι ἐπ' ἀγαθοῖς.

Γένοιτό σοι πολλὰ κἀγαθά. εὔχομαί σοι τὰ ἄριστα. εὔχομαί σοι τὰ κρείττω ϗ σωτηρίας ἐχόμενα. εὔχομαί σοι πᾶν ἀγαθόν. εὔχομαί σοι πάνθ', ὅσα θυμήρη ϗ αἴσια. Θεός σοι ὄλβια δοίη. παράσχοιτό σοι τὸ Θεῖον πάντα τἀγαθά. Θεὸς εἴη σοι ἀγαθῶν νομεύς. παράσχοι σοι τὸ Κρεῖττον πᾶν ὅ,τι περ ἐφετόν ἐστιν. Ἵλεως ϗ εὐμενὴς εἴη σοι ὁ Θεός. εὐμενοῦς τύχοις τοῦ Κρείττονος. γένοιτό σοι πᾶν ἀγαθὸν παρὰ τοῦ Θεοῦ. εὐτυχήσαις, ὧν ἐπιθυμεῖς, παρὰ Θεοῦ. εὕραιο τῆς προθυμίας ἀμοιβὴν παρὰ τοῦ Θεοῦ. ἀγαθοῦ δαίμονος πειραθείης. εὖ σοι γένοιτο. κατὰ ῥοῦν χωρείτω τὰ κατὰ σέ. βαθύ σε γῆρας ϗ λιπαρὸν περιμείνειεν. εὐτυχῶς ϗ εὐδαιμόνως γηράσαις. παρατείνειέ σοι τὸ Κρεῖττον τὸ ζῆν ἐπὶ μήκιστον. Ζώης ἐπὶ μήκιστον. ζώης ἀλύπως ϗ εὐτυχῶς ἐς λυκάβαντας ὅτι πλείστους.

Ε! Εὐωχουμένῳ.

Πρὸς ἀγαθοῦ γένοιτό σοι τὸ ἀκράτισμα, τὸ ἄριστον ἢ τὸ δεῖπνον. λυσιτελές εἴη σοι τὸ ἀκράτισμα,

τισμα, τὸ ἄριςον ἢ τὸ δεῖπνον. εὐλογῆσαι σοι τὸ Θεῖον τὸ ἀκράτισμα τὸ ἄριςον ἢ τὸ δεῖπνον. Ὄναιο τοῦ οἴνου. εἴη σοι σωτήριος οὗτος ὁ οἶνος, ἢ ὁ ζῦθος. γένοιτό σοι εἰς ὄνησιν. ὀνήσειέ σε τουτὶ τὸ πατόν. εἴη σοι εἰς σωτηρίαν. γένοιτό σοι ἐπ' ἀγαθῷ. καλῶς ἔςω ὑμῖν ἀριςῶσιν ἢ δειπνοῦσιν. εὖ γένοιτο ὑμῖν εὐωχουμένοις. λυσιτελοίη ὑμῖν τὸ ἄριςον ἢ τὸ δεῖπνον.

Οἶδά σοι χάριν ϗ ὁμολογῶ. γινώσκω σοι χάριν. ἔχω σοι χάριν πολλήν. ταὐτόν σοι εὔχομαι. ναὶ δὴ γένοιτο τοῦτο.

ΣΤ! Πταρνυμένῳ.

Σώσειέ σε τὸ Θεῖον. ἤτω σοι σωτήριον. καλῶς ἔςω σοι. λυσιτελὲς εἴη σοι. γένοιτό σοι εἰς σωτηρίαν.

Ζ! Ἀρχομένῳ τινός.

Ἀγαθῇ τύχῃ. ἀρχὴ τὸ ἥμισυ τοῦ παντός. εὐτυχές εἴη σοι τοὔργον. εὐλογήσειεν ὁ Θεὸς τοὺς πόνους σου. ἐπ' ἀγαθῷ εἴη τοὐγχείρημα. εὐτυχῶς διαπράξαις, ὅπερ ἤρξω. ἐπιτυχῶς ἀποβαίη τοὐγχείρημα. μετ' εὐτυχίας κατορθωθείη. εὐτυχηθείη ἡ πεῖρα. συμβαῖνον τῇ ἀρχῇ εἴη τὸ πέρας. κατάλληλον εἴη τῇ ἀρχῇ τὸ τέλος.

Ἐπινεύσειε τὸ Κρεῖττον. πληρώσαι Κύριος τὴν εὐχήν σου. Ἄγοι τὸ Θεῖον τἀμὰ ὡς βούλεται.

ται. φερέσθω τἀμὰ ὡς τῷ Θεῷ φίλον. τὰ ἡμέτερα ὅπη τῷ Θεῷ φίλον ἀγέσθω.

Η! Εὐχαὶ ἐπὶ Ἀπαλλαγῆς.

Ἔῤῥωσο φίλων ἄριϛε. εὐτύχει ἀδελφὲ τριπόθητε. ὑγίαινε συσχολαϛὰ προσφιλέϛατε. ἔῤῥωσο ϗ εὐνόει μοι. ὑγίαινε ϗ διατέλει φιλῶν τȣ̀ς σὲ φιλȣ̃ντας. εὐτύχει ϗ μέμνησο ἀεὶ τȣ̃ σȣ̃ φίλȣ. ἀντιφίλει φιλȣ̃ντας.

Καὶ σύγε ἔῤῥωσο. εὐτύχει ϗ σύ. νὴ Δία ϗ σύγε ὑγίαινε. ἄπιθι αἰσίοις ὄρνισιν. ἀπίοις εὐτυχῶς ϗ πάλιν ἐπανίοις. ἐπανέλθοις ταχέως ϗ καλῶς. Κύριος κατευθύνοι τὰ διαβήματά σȣ. Κατευοδώσαι σε τὸ Θεῖον. εὔχομαι τὸ Κρεῖττον ἀρωγὸν σοι τῆς ὁδȣ̃ εἶναι. σωθείης. κατευοδωθείης. εὖ πλοήσαις.

Θ! Εὐχαὶ ἐν ἀρχῇ ϗ ἐπὶ τέλει τῶν Ἐπιϛολῶν.

Δημοσθένης τῇ βȣλῇ ϗ τῷ δήμῳ χαίρειν. Πλάτων Διονυσίῳ εὖ πράττειν. Ἐπίκȣρος Ἀριϛίππῳ εὖ διάγειν. Πυθαγόρας Φιλολάῳ ὑγιαίνειν. Διογένης Ἀλεξάνδρῳ σωφρονεῖν. Δημήτριος Γεωργίῳ εὖ φρονεῖν.

Ἔῤῥωσο. εὖ πράττε. εὐτύχει. ἔῤῥωσο ϗ τȣ̀ς φίλȣς κέλευε. τὰ δ' ἄλλα ἔῤῥωσο. τὰ δ' ἄλλα εὖ πράττε. ἔῤῥωσο ϗ πράττε τὰ ἄριϛα.

σὺ

σὺ δὲ ὑγιαίνοις ϗ εὐδαιμονοίης. σὺ δὲ ὑγιαίνοις ϗ ἄσπασαι τοὺς ἑταίρους. ἐῤῥωμένος ϗ εὐδαίμων διαβιώης. εὐθύμως ϗ ἀλύπως διαβιώης. ἐῤῥωμένος καὶ εὐθυμῶν διαβιώης. ἐῤῥωμένως εὐδαιμονῶν διαβιώης θαυμάσιε. ἔῤῥωσο φίλων ἄριστε, ϗ διὰ βίου εὐημέρει. εὐτύχει νέων φιλομαθέστατε, ϗ ἐῤῥωμένως περὶ τὴν φιλολογίαν σπούδαζε. ἔῤῥωσο ϗ πειρῶ μοι τῶν παραινουμένων ἀντέχεσθαι. Ἔῤῥωσο ϗ πράττε τὰ ἄριστα, ἅπερ ἂν τὸ Θεῖον ἄριστα δοκιμάσειε. εὖ πράττε ψυχὴν μὲν πρὸς φιλοσοφίαν, σῶμα δὲ πρὸς ὑγείαν ἄγων ϗ ἐπιμελούμενος. εὐτύχει, τὰ δ᾽ ἄλλα πράττε μὲν τὰ ξυμφέροντα, ἐπιτέλει δὲ τὰ δόξαντα. ἔῤῥωσο, ϗ διὰ βίου εὐημέρει. εὖ πράττε, ϗ περὶ ἡμῶν εὐθύμει.

Ι΄. Ἀσπασμοὶ δι᾽ ἄλλου.

Ἄσπασαι παρ᾽ ἐμοῦ τοὺς τῷ γένει προσήκοντας. πρόσειπε παρ᾽ ἐμοῦ πάνυ πολλὰ τὸν σεβασμιώτατον Καθηγητήν. χαίρειν κέλευε παρ᾽ ἐμοῦ πάντας τοὺς τῇ σῇ φιλίᾳ ᾠκειωμένους. προσαγορεύσειας διὰ τῆς θεσπεσίας σου φωνῆς πάντας τοὺς ἑταίρους. ἄσπασαι παρ᾽ ἐμοῦ τὸν ἀγαθὸν ἑταῖρον. πλεῖστά μοι πρόσειπε τὸν προσφιλέστατον Ἰωάννην. ἐῤῥῶσθαι διακέλευε τὸν προσηνέστατον Πέτρον.

ΕΛΛΗ-

ἙΛΛΗΝΙΚΩ͂Ν ΔΙΑΛΟʹΓΩΝ
ἙΚΑΤΟΝΤΑʹΣ Α!

ΔΕΚΑʹΣ Α!
Περὶ τῆς Μαθήσεως τῶν Γραμμάτων.

ΔΙΑʹΛΟΓΟΣ Α!
Υἱός. Πατήρ.

ΥἹΟʹΣ. Χαῖρε, Πάππα φίλτατε! ΠΑΤΗʹΡ. Νὴ καὶ σύγε, φίλον μοι ἦτορ! Υ. Εὔχομαί σοι αἴσιον ἡμέραν! Π. Ζώης, φίλε τέκνον, καὶ ἐπιδώης ἐπὶ τὰ βέλτιστα! πῶς καθύπνωσας ταύτῃ τῇ νυκτί; Υ. Ἡδέως καὶ ἡσύχως. Π. Χάρις τῷ Θεῷ! εὔχομαι διαφυλάττειν σε ἀεὶ ἀβλαβῆ καὶ ἀνεπηρέαστον. πότε ἐξηγέρθης τῆς εὐνῆς; Υ. Νῦν δὴ ἐξηγέρθην. Π. Ἐξηγέρθησαν καὶ αἱ ἀδελφαί σου; Υ. Οὔπω. Π. Οὐκ ἀπῆλθες διϋπνίσων αὐτάς; Υ. Οὐ μὲν οὖν. Π. Τοῦ χάριν; Υ. Ὅτι οὐδεπώποτε τοῦτο ποιεῖν εἴωθα. Π. Οὐκ ἐξεγείρουσί σε ἔσθ' ὅτε ἐκεῖναι; Υ. Πολλάκις τοῦτο ἐποίησαν. Π. Μέ-

Μέμνησο τοίνυν ἣν δέῃ ταὐτὸν ποιεῖν. Υ. Ποιήσω, πάτερ, ὡς κελεύεις.

ΔΙΑʹΛΟΓ. Β!

Π α τ ή ρ. Υ ἱ ό ς.

Π. Τέκνον Ἰωάννη, βȣ́λομαι μικρὸν πρὸς σὲ διαμυθολογήσασθαι. Υ. Τί πάτερ; ȣ̓δὲν γὰρ ἂν ἥδιον ἐμοὶ γένοιτο, ἢ σȣ̃ ἀκȣ́ειν. Π. Οʹσὸς Περσεὺς πότερον ζῶόν ἐςιν, ἢ ἄνθρωπος; Υ. Ζῶον ἔμοιγε δοκεῖ. Π. Τὶ δὴ σὺ ἔχεις, ἵν' ἧς ἄνθρωπος, ȣ̓κ ἐκεῖνος; σὺ ἐσθίεις, πίνεις, καθεύδεις, περιπατεῖς, τρέχεις, παίζεις, ταῦτα κἀκεῖνος πάντα. Υ. Αʹλλά τοι ἐγώ εἰμι ἄνθρωπος. Π. Πόθεν τȣ̃το γινώσκεις; τὶ δὴ σὺ νῦν πλέον ἔχεις τȣ̃ κυνός; Υ. Οὐκ ἂν ἔχοιμι εἰπεῖν. Π. Αʹλλὰ δὴ τȣ́τῳ διενήνοχας ἐκείνȣ, ὅτι ὁ μὲν ȣ̓χ οἷός τε ἐςι λόγιος γενέσθαι, σὺ δὲ δύνασαι, εἰ βȣ́λει. Υ. Ποίησον δὴ, πάτερ, τȣ̃το ὅτι τάχιςα. Π. Γενήσεται, ἢν ἀπίῃς ἔνθα γίγνονται οἱ ἄνθρωποι λόγιοι. Υ. Πάνυ ἄσμενος, πάτερ· ἀλλὰ πȣ̃ γίγνονται ȣ̓͂τοι λόγιοι; Π. Εʹν ταῖς τῶν λόγων διατριβαῖς. Υ. Οὐκ ἂν φθάνοις τοίνυν ἄγων με ἐκεῖσε. Π. Αὔριον σὺν Θεῷ ἄξω σε ἐπὶ τὸ διδασκαλεῖον. Υ. Εʹψομαίγε προθυμότατα.

ΔΙΑʹΛΟΓ. Γ!

Πατήρ. Υἱός. Διδάσκαλος.

Π. Εʹπȣ μοι, φίλε τέκνον. Υ. Πάνυ προ-

θύ-

θύμως, πάτερ. ἀτὰρ εἰπέ μοι, τίς ἐστιν ἐν τῇδε τῇ πόλει ἄριστος διδάσκαλος τῶν παίδων; Π. Ὁ Προκόπιος ἀνὴρ καλὸς κἀγαθὸς, καὶ παιδείας εὖ ἥκων. Υ. Αὐτὸ τοῦτο τὸ ὄνομα δηλοῖ τὴν ἐπ' ἄμφω τἀνδρὸς ἐπίδοσιν· ἀλλ' ἔχει πολλοὺς φοιτητάς; Π. Οὐ πολλούς· οὐ γὰρ χαίρει τῷ ὄχλῳ τῶν μαθητῶν, ἀλλὰ στέργει ὀλίγοις. Υ. Ποῦ οἰκεῖ; Π. Ἐκ γειτόνων. Ὁρᾷς ἄνδρα καλὸν καὶ κομήτην ἐν τῇ στοᾷ ἐκείνῃ περιπατοῦντα; Υ. Ἔγωγε. Π. Οὗτος αὐτός ἐστιν ὁ Προκόπιος. Υ. Ποῦ δέ ἐστι τὸ διδασκαλεῖον; Π. Τουτί ἐστι τὸ φροντιστήριον, καὶ οἱονεὶ ἐργαστήριον τῶν ἀνθρώπων. Ἀνακάλυψαι οὖν τὴν κεφαλὴν, καὶ ἀπόδος τὴν προσήκουσαν τῷ διδασκάλῳ προσκύνησιν, ὥσπερ ἐδιδάχθης, ἵστασο ὄρθιος. Δ. Ὡς εὖ παρέστητε πᾶσιν ἡμῖν! τί βούλεσθε; Π. Προσάγω σοι τοῦτον τὸν παῖδα, ἵνα λόγιον ποιήσῃς. Δ. Ἐπιμελήσομαι αὐτοῦ, ὡς ἂν οἷός τε ὦ· ἐπανήξει σοι λόγιος, καὶ καλὸς κἀγαθὸς γενόμενος. Π. Πόσου διδάσκεις; Δ. Εἰ μὲν ὁ παῖς πολὺ ἐπιδίδωσιν, ὀλίγου· εἰδὲ μικρὸν, πολλοῦ. Π. Ὀρθῶς τοῦτο λέγεις καὶ σοφῶς, ὡς ἅπαντα. Διελόμενοι οὖν τὸ ἔργον, σὺ μὲν δίδασκε αὐτὸν ἐπιμελῶς· ἐγὼ δὲ ἀμείψομαί σε τῶν πόνων εὐγνωμόνως.

ΔΙΑ'ΛΟΓ. Δ!

Διδάσκαλος. Ἰωάννης. Βασίλειος. Ὑποδιδάσκαλος.

Δ. Λαβὼν τῇ μὲν λαιᾷ τὴν δέλτον, τῇ

δὲ δεξιᾷ τὸν δείκτην ἵστασο ὄρθιος. Πρόσεχε τὸν νοῦν, ἵνα μάθῃς. σκόπει, ὅπως ἐγὼ ταῦτα τὰ στοιχεῖα ὀνομάσω. ὅρα, ἵνα τὸν αὐτὸν δὴ τρόπον ἀποδῷς, ἡνίκ' ἀπαιτήσω. πρόσελθε δεῦρο, καὶ ἕπου μοι νῦν προηγουμένῳ καὶ τὰ γράμματα φθεγγομένῳ. κατέχεις καλῶς; I. Ἅλις μοι δοκῶ κατέχειν. Δ. Ἕκαστον τούτων καλεῖται Γράμμα, ὧν ἑπτά εἰσι Φωνήεντα. ταῦτα δὲ μεθ' ὁτουοῦν ἑτέρου, ἢ καὶ πλειόνων ἄλλων ἀποτελοῦσι συλλαβήν. ἄνευ γὰρ Φωνήεντος οὐ γίνεται Συλλαβή. τὸ δὲ φωνῆεν αὐτὸ πολλάκις ποιεῖ συλλαβήν. Ὥστε τἄλλα πάντα Σύμφωνα καλοῦνται, ὅτι καθ' ἑαυτὰ οὐδὲν φωνοῦσιν, εἰμὴ μετά τινος τῶν Φωνηέντων. ἔχουσι γὰρ ἀτελῆ τινα ἦχον καὶ ἐλλιπῆ. οἷον β, γ, δ. ἅπερ ἄνευ τοῦ ε ἥκιστα φωνοῦσιν. Ἐκ τῶν Συλλαβῶν δὲ γίνονται Φωναί, εἶτ' οὖν Λέξεις, κἀκ τούτων ὁ Λόγος, ὃν οὐκ ἔχουσι τὰ ζῷα, οὐδ' αὐτὸς τῶν ζώων διοίσεις, ἢν μὴ καλῶς λέγειν μάθῃς. Γρηγόρει καὶ ἐπιμελοῦ συντόνως. ἄπιθι νῦν καὶ κάθησο μετὰ τῶν συμμαθητῶν σου, καὶ μάνθανε, ἅ σοι ἐπέταξα. I. Οὐχ ἕξομεν σχολὴν σήμερον; Β. Οὐ μὲν οὖν· οὐ γάρ ἐστιν ἑορτάσιμος ἡμέρα, ἀλλ' ἐργάσιμος. Οἴει σὺ δεῦρο ἀφικέσθαι παίζειν; οὐκ ἔστιν ἐνταῦθα τόπος τῆς παιδιᾶς, ἀλλὰ τῆς παιδείας. I. Διατί οὖν καλεῖται Σχολή; Β. Ὅτι σχολάζειν δεῖ ἐν τούτῳ τοὺς παῖδας ἀπὸ τῶν ἀθυρμάτων, καὶ ἀσχολεῖσθαι περὶ τὰ γράμματα. Ἀλλὰ μάθωμεν, ἅπερ ἐπέταξεν ἡμῖν ὁ Ἐπιστάτης, ταπεινῇ καὶ μικρᾷ χρώμενοι τῇ φωνῇ, ὥστε μὴ ἐμποδὼν γίγνεσθαι τοῖς ἄλλοις πρὸς τὴν ἀνάγνωσιν. I. Ἀλλ' ὁ πρὸς μητρὸς θεῖος ἔφη μοι ἄμεινον ἂν μνημονεύειν, ἃ

ἂν

ἂν μάθοι τις γεγονυίᾳ ϰ̓ ὑπερόγκῳ χρώμενος τῇ φωνῇ. Β Εἴτις τὸ ἑαυτȣ̃ μάθημα ȣ̔́τω βȣ́λεται μανθάνειν ἀπιὼν ἐπὶ τὸν κῆπον βοάτω, ὅσον περ ἂν ἐθέλοι. Υ. Παῖδες! τȣτί γέ ἐςι τὸ μανθάνειν; ληρεῖν ϰ̓ ἐρίζειν πρὸς ἀλλήλȣς; Αʹ΄γετε συνέλθετε ἅπαντες πρὸς τὸν Διδάσκαλον ȣ̔́τω κελεύσαντα.

ΔΙΑʹΛΟΓ. Ε!

Θεανώ. Ιʹωάννης. Μήτηρ.

Θ. Ωʹ΄ς εὖ παρέςης! ἀδελφὲ Ιʹωάννη. βȣ́λει μικρὸν πρός με παῖξαι; Ι. Οὔπω. Θ. Τίς ἀσχολία σοι τυγχάνει ȣ̓̃σα; Ι. Μελετᾷν, ἅπερ ἐπέταξεν ὁ Καθηγητὴς ἀπομνημονεύειν. Θ. Τίνα ἐςὶ ταῦτα; Ι. Θέασαι. Θ. Παπαί! Οἷα τέρατά ἐςι ταῦτα. Οἶμαι μύρμηκας εἶναι γεγραμμένȣς. Μῆτερ! ὅσȣς μύρμηκας ϰ̓ κώνωπας φέρει ὁ Ιʹωάννης γεγραμμένȣς ἐν πινακιδίῳ. Ι. Σίγα ἄφρων! ἔςι γράμματα. Θ. Πῶς καλεῖται τȣτὶ τὸ πρῶτον; Ι. Αʹ΄λφα. Θ. Διὰ τὶ τὸ πρῶτόν ἐςι μᾶλλον Αʹ΄λφα, ἢ τὸ δεύτερον; Ι. Διὰ τὶ σὺ εἶ μᾶλλον Θεανὼ, ἢ Εʹρατώ; Θ. Εʹπείπερ ȣ̔̃τω καλȣ̃μαι. Ι. Καὶ ταῦτα ὡσαύτως. Μ. Εὖγε, τέκνον. εὐθὺς συνῆκας! πρόσελθε, ἵνα σὲ περιπτύξωμαι. ἄπιθι νῦν παίξων. Ι. Εʹνταῦθα τίθημι τὴν δέλτον ϰ̓ τὸν δείκτην. εἴτις τȣ́των θίξειε, τυφθήσεται ὑπὸ τῆς μητρός. ȣ̓χὶ μητρίδιον; Μ. Σφόδρα γε, φίλον φῶς.

ΔΙΑʹ-

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Ἰωάννης. Βασίλειος.

Ι. Ἔςιν ὥρα ἀπιέναι ἐς διδασκάλȣ, Βασίλειε; Β. Ἔςιν. Ι. Οὐκ οἶδα τὴν ὁδόν. Β. Ποσάκις ἀπῄεις ἐς τὸ διδασκαλεῖον; Ι. Ἅπαξ, δὶς, τρὶς, τετράκις, ἢ πεντάκις. Β. Πότε ἤρξω φοιτᾷν ἐς διδασκάλȣ; Ι Τρίτην ταύτην ἡμέραν. Β. Τί ȣ̓͂ν; ȣ̓χ ἱκανόν σοι διαγιγνώσκειν τὴν ὁδόν; Ι. Οὐ μὲν ȣ̓͂ν, κἂν πολλάκις ἀπίω. Β. Ἐγὼ δὲ, κἂν ἅπαξ ἀπίω, ȣ̓κ ἂν ἔτι διαμάρτοιμι τῆς ὁδȣ͂, ἀλλ᾽ ἄκων, ὡς ἔοικε, φοιτᾷς ἐς τὸ διδασκαλεῖον, ϗ δὶ αὐτὸ τȣ͂το ȣ̓χ εὑρίσκεις τὴν ὁδόν. Ι. Οὐ μὰ Δὶ ἄκων, ἀλλ᾽ ἑκὼν ϗ πάνυ προθύμως. Β. Πῶς ȣ̓͂ν ἀγνοεῖς τὴν ὁδόν; Ι. Οὐ καλῶς ἐπεσκεψάμην τὰ σημεῖα τῶν ῥυμῶν ϗ πλατειῶν τῆς πόλεως, ἀλλὰ δεῖξόν μοι αὐτὴν, δέομαι. Β. Αὕτη ἐςὶν ἡ ἄγȣσα ἐς τὸ φροντιςήριον. βάδιζε τὴν εὐθεῖαν, ϗ ὄψει αὐτό. Ι. Οἶδά σοι χάριν, φίλτατε Βασίλειε.

ΔΙΑ'ΛΟΓ. Ζ!

Βασίλειος. Ἰωάννης.

Β. Ἀπίωμεν, Ἰωάννη, ἐς τὸ διδασκαλεῖον. Ι. Οὐ βȣ́λομαι. Β. Τȣ͂ χάριν; Ι. Δέδοικα, μὴ πληγὰς λάβω παρὰ τȣ͂ διδασκάλȣ. Β. Ἀνθ᾽ ὅτȣ δή; Ι. Ὅτι ȣ̓κ οἶδα τὸ μάθημα. Β. Τί παθὼν ȣ̓κ ἔμαθες αὐτό; Ι. Συνέπαιζον ἐς τόδε τῇ ἀδελφῇ μȣ. Β Ἔςιν ἄρ᾽ ἐφ᾽ ὅτω δέδιας. Ι. Παίξωμεν δὴ μικρόν. Β. Σὺ μὲν παῖζε, εἰ βȣ́λει, ἐγὼ δ᾽ ἄπειμι μόνος. Ι. Μὴ κατείπῃς μȣ παρὰ τῷ διδασκά-

δασκάλω, δέομαι· εἰπὲ αὐτῷ ἐναςχολεῖσθαί με οἴκοι. Β. Βȣ́λει με ψεύδεσθαι; Ι. Τί μὴ διὰ τὸν ἑταῖρον; Β. Οὐκ ἂν ἀφεθείης τῆς αἰτίας παίζων, δέον μανθάνειν. Ἄπειμι, ἔῤῥωσο.

ΔΙΑ'ΛΟΓ. Η!

Παῖδες. Ὑποδιδάσκαλος. Καθηγητής.

Π. Ὦ ȣ̔͂τος! πȣ͂ ἐςὶν ὁ Καθηγητής; Υ. Ἐν τῷ μȣσείῳ. Π. Τί πράττει; Υ. Διδάσκει τȣ̀ς μαθητάς. Π. Φράσον αὐτῷ ἐφεςηκέναι πρὸ τῶν θυρῶν δύω παῖδε βȣλομένω μαθητεῦσαι παρ' αὐτῷ. Κ. Τίνε ἐςὸν τȣ́τω τὼ παῖδε; τί αἰτεῖσθον; Υ. Ἐπιθυμεῖτον ἐντυχεῖν σοι. Κ. Εἰσάγαγε αὐτὼ πρός με. Π. Χαῖρε, Καθηγητὰ ἐλλογιμώτατε. Κ. Καὶ ὑμεῖς γε, ὦ παῖδες, χαίρετε· τί ἐςι; τί βȣ́λεσθε; Π. Διδάσκεσθαι πρὸς σȣ͂ τὴν Ἑλλάδα φωνήν. Κ. Τίνες δ' ἐςέ; πῶς καλεῖσθε; Π. Μȣσώνιος, ϗ Σοφιανός. Κ. Αὐτὰ τὰ ὀνόματα δηλοῖ τὸν σφοδρὸν ὑμῶν περὶ τȣ̀ς λόγȣς ἔρωτα· ἀλλ' ἥκετε ὡπλισμένοι; Π. Ἥκιςα, Καθηγητὰ ἄριςε· τί γὰρ δεῖ ὅπλων τοῖς τῶν λόγων ἐρῶσιν; Κ. Οὐ λέγω ταῦτα τὰ ὅπλα, οἷς χρῶνται ἐν πολέμῳ, ἀλλ' ἐν τῷ μȣσείῳ. Π. Ἤδη συνίεμεν· τὰ βιβλία λέγεις. Κ. Ταῦτα δηλαδή· κοσκίνῳ γὰρ ὕδωρ ἀντλεῖ ὁ ἄνευ βίβλων μανθάνειν βȣλόμενος. Π. Πάντα ἔχομεν, ὧν δεόμεθα. Κ. Καθέζεσθε ȣ̓͂ν μετὰ τῶν ἄλλων φοιτητῶν, ϗ ἀκροᾶσθέ μȣ ἐξηγȣμένȣ τὰ μαθήματα.

ΔΙΑ'.

ΔΙΑʹΛΟΓ. Θ!

Μȣσώνιος. Σοφιανός. Υʹποδιδάσκαλος. Καθηγητής.

Μ. Αʼπίωμεν ἤδη πρὸς τὸν Καθηγητήν. Σ. Δοκεῖ σοι καιρὸς εἶναι; Μ. Δέδοικα, μὴ διελήλυθεν ἤδη ἡ ὥρα· φιλεῖ γὰρ πρωϊαίτερον δειπνεῖν. Σ. Εʼπανίωμεν· εἴσιθι αὐτὸς πρῶτος. Μ. Κόψωμεν πρότερον τὴν θύραν τῷ κρίκῳ· ἀςυκότερον γάρ. Υ. Τίς ἔσθ᾽ ὁ κόπτων τὴν θύραν; εἴσιθι ἀδεῶς, ὅςις ποτ᾽ ἂν ᾖς. Π. Νώ ἐσμεν. Πȣ͂ ἐςιν ὁ Καθηγητής; Υ. Εʼν τῷ μȣσείῳ. Π. Γένοιτό σοι πᾶν ἀγαθὸν παρὰ Θεȣ͂! καθηγητὰ ἄριςε. Κ. Ωʹς εὖ παρέςητε Παῖδες! ἀπεμνημονεύσατε τὸ μάθημα; Π. Μάλα καλῶς· ἀπαγγελȣ͂μεν αὐτό, εἰ δόξειε. Κ. Εὖγε! φιλόπονοί ἐςε· ȣ῞τω ποιεῖτε ϗ ἐπιδώσετε. Π. Ηʹδη εὐχόμεθά σε ἄριςα ὑγιαίνειν.

ΔΙΑʹΛΟΓ. Ι!

Μȣσώνιος. Σοφιανός.

Μ Πόση ὥρα ἐςί; Σ. Παρῆλθεν ἡ ἐννάτη. Μ Ωʹρα ἤδη πρὸς ὕπνον τραπῆναι. Σ. Οὔπω ὑπνώττω. Μ. Εʼγὼ δὲ λίαν. Σ. Αʼπιθι δὴ κοιμηθητόμενος. Μ Σὺ δὲ τί ποιήσεις; Σ. Διατελέσω ἀναγινώσκων. Μ. Αἱρȣ͂μαι ἀναπαύεσθαι. Σ. Αʼπιθι ἐντεῦθεν, Εʼνδυμίων! Μ. ȣ᾽κ ἄν σοι ἐμποδὼν γενοίμην.

ΔΕ-

ΔΕΚΑ΄Σ Β΄.

Περὶ τῆς Ἐγέρσεως ἐκ τȣ̃ ὕπνȣ, καὶ τȣ̃ Ἀκρατίσματος.

ΔΙΑ΄ΛΟΓΟΣ Α΄.

Γεώργιος. Θεόφιλος.

Γ. Χαῖρε, Θεόφιλε! Θ. Νὴ ϗ σύγε, φίλε Γεώργιε. Γ. Πότε ἀνέςης ἐξ εὐνῆς; Θ. Πάνυ πρωΐ. Γ. Ποίᾳ ὥρᾳ; Θ. Τῇ πέμπτῃ. Γ. Τίς σε ἐξήγειρεν; Θ. Οὐδείς. Γ. Τί ἐποίησας ἐγερθεὶς ἐκ τῆς κλίνης; Θ. Πρῶτον προσηυξάμην τῷ Θεῷ. Γ. Εὖ ἐποίησας! εἶτα τί; Θ Ἔνιψα τὰς χεῖρας ϗ τὸ πρόσωπον· μετὰ δὲ ταῦτα ἐνεδύθην, ϗ ἐτράπην ἐπὶ τὰ καθ' ἡμέραν μαθήματα. Γ. Εὖγε! Θ. Ποίει καὶ αὐτὸς ὡσαύτως. Γ. Μιμήσομαί σε.

ΔΙΑ΄ΛΟΓ. Β!

Ἀνδρέας. Βασίλειος.

Α. Ἀνάςα, Βασίλειε, τί καθεύδεις; ἀκȣ́εις; Β. Οὐκ ἀκȣ́ω. Α. Πȣ̃ ἔχεις τὰ ὦτα; Β. Ἐν τῇ κλίνῃ. Α. Ὁρῶ· ἀλλὰ τί ποιεῖς ἔτι ἐν τῇ κλίνῃ; Β. Τί ποιήσω; καθεύδω. Α. Καθεύδεις; καὶ μὴν προσλαλεῖς μοι. Β. Ἀλλ' ȣ̃ν καθεύδειν ἐθέλω. Α. Ἀπόσεισαι τὸν βαρὺν τȣ̃τον ὕπνον. Β. Τράπηθι αὖθις πρὸς ὕπνον, ἢ γȣ̃ν σίγα.

Α.

Α. Παίζων, ἢ σπουδάζων τοῦτο λέγεις; Β. Σφόδραγε σπουδάζων. Α Πόσον χρόνον οἴειγε ἡμᾶς ἤδη ὑπνωκέναι; Β. Δύω ὥρας, ἢ τόγε πλεῖστον τρεῖς. Α. Ἐννέα ὅλας ὥρας. Β. Πῶς δὴ τοῦτο; Α. Ὅρα τὸ ὡρολόγιον. Β. Τὸ ὡρολόγιον διαμαρτάνει. Α. Παῦσαι ἤδη ληρῶν καὶ ἔγειραι. Β. Ἔασόν με μικρὸν ἔτι καταδαρθεῖν. Α. Ἀνάστα φημί. Β. Τί μοι πράγματα παρέχεις; οὐκ ἐάσεις με καθεύδειν; Α. Οὐκ ἐγερθήσῃ; Β. Ἤδη ἐγείρομαι· φεῦ! ὡς ὀχληρὸς ἑταῖρος εἶ.

ΔΙΑΛΟΓ. Γ'.

Γεώργιος. Λουκᾶς.

Γ. Οὗτος καθεύδεις; ἔγειραι. Λ. Ἔασόν με καθεύδειν. Γ. Καιρὸς ἤδη ἐγείρεσθαι. Λ. Οὔπω διέλαμψεν ἡ ἡμέρα. Γ. Ἄνοιξον τοὺς ὀφθαλμούς. Λ. Ἔτι βεβαρυμένοι εἰσὶ τῷ ὕπνῳ. Γ. Ἐλειοῦ ὑπνωδέστερος εἶ. Λ. Μὴ ἐνόχλει φημί. Γ. Οὐκ αἰσχύνῃ; Λ. Τίνος ἕνεκα ἂν αἰσχυνοίμην; Γ. Ὅτι μέχρι πόῤῥω τῆς ἡμέρας ἐπὶ τῆς κλίνης ῥέγχεις. Λ. Πηνίκα ἐστὶ τῆς ἡμέρας; Γ. Ἤδη ἐπίκειται ἡ ἑβδόμη. Λ. Μικρὸν ἔτι καθευδήσω. Γ. Οὐκ ἐγείρῃ βλάξ; αὐτίκα σε τῇ ῥάβδῳ ἐπεγερῶ. Λ. Ἤδη ἐγείρομαι, φεῖσαι, δέομαι.

ΔΙΑΛΟΓ. Δ'.

Δημήτριος. Ἰωάννης.

Δ. Πόθεν οὕτω πρωῒ ἥκεις; Ι. Ἐκ τοῦ δωματίου ἡμῶν. Δ. Πότε ἐξηγέρθης τῆς κλίνης;

Ι.

Ι. Μικρὸν πρὸ τῆς ἕκτης ὥρας. Δ. Τίς ἐπήγειρέ σε; Ι. Ἡ μήτηρ. Δ. προσηύξω τῷ Θεῷ; Ι. Ἔγωγε. Δ. Πηνίκα; Ι. Ἡνίκ' ἐκτενισάμην, καὶ ἐνιψάμην. Δ. ποία φωνῇ εἴωθας προσεύχεσθαι; Ι. τῇ πατρίῳ. Δ. ποῖ νῦν πορεύῃ; Ι. Εἰς τὸ διδασκαλεῖον.

ΔΙΑʹΛΟΓ. Ε!

Ἀθανάσιος. Βασίλειος.

Α. Ἰȣ! Ἰȣ! τί ποιήσω ὁ δείλαιος; Β. Τί ȣτω κέκραγας; Α. Ὑπὲρ τὸ δέον κεκοίμημαι. Β. Τί δέδιας; Α. Ὁ καιρὸς διελήλυθε. Β. Τίνα καιρὸν λέγεις; Α. Τὴν ἕκτην ὥραν. Β. Ἁμαρτάνεις πάντως. Α. Ἀκήκοα μέντοι. Β. Παρήκȣσας. Α. πόσης αὐτὸς ἀκήκοας; Β. Τῆς πέμπτης. Α. Εἴηγε ἀληθές. Β. Μηδὲν διςάσῃς. Α. πάνυ σφόδρα ἥδομαι.

ΓΙΑʹΛΟΓ. ΣΤ!

Γεώργιος. Δημήτριος.

Γ. Ποῖ νῦν ἄπει; Δ. Οἴκαδε. Γ. Τί ποιήσεις οἴκοι; Δ. Ἀκρατιȣμαι. Γ. Ποίαν πορεύσῃ; Δ. Διὰ τῆς ἀγορᾶς. Γ. Προπέμψω σε. Δ. Οὐκ ἀναγκαῖόν ἐςι. Γ. Μῶν ἀποςόργως πρός με ἔχεις; Δ. Ἥκιςα, ἀλλὰ φείδομαί σȣ. Γ. Οὐδεμία μοι ἀσχολία τυγχάνει γε ȣσα. Δ. Ἄσμενός σε προσδέχομαι. Γ. Πηνίκα εἴωθας ἀκρατίζεσθαι; Δ. Τῇ ἑβδόμῃ. Γ. Οὐ ποιήσεις με σήμε-

σήμερον κοινωνὸν τȣ̃ ἀκρατίσματος; Δ. Αʹσμένως. Γ. Οἶδά σοι χάριν, φίλτατε Δημήτριε.

ΔΙΑʹΛΟΓ. Ζʹ.

Θωμᾶς. Κωνςαντῖνος.

Θ. Πόθεν ἐπάνει, Κωνςαντῖνε; Κ. Εʹκ τȣ̃ ἀκρατίσματος. Θ. Πȣ̃ ἠκρατίσω; Κ. Οἴκοι. Θ. Τί ἠκρατίσω; Κ. Αʹρτον σὺν τυρῷ. Θ. Οὐ πίνεις ζωμὸν ἐκ κυάμων ἀραβικῶν σὺν γάλακτι; Κ. Τȣ̃τον πίνȣσιν εὐδαιμόνων παῖδες. Θ. Τίς μετὰ σȣ̃ ἠκρατίσατο; Κ. Αʹπαντες οἱ κατʹ οἶκον. Θ. Οὐδὲν ἐμοὶ ἤνεγκες; Κ. Τί ἄν σοι ἐνέγκοιμι; Θ. Τέμαχος ἄρτȣ. Κ. Εʹςι μοι ἄρτος. Θ. Εʹπίδος μοι τȣ̃ ἄρτȣ. Κ. Ἠνὶ τὸ ἥμισυ. Θ. Χάριτάς σοι ὁμολογῶ. Κ. Μὴ ὁμολόγει, ἀλλʹ ἀπόδος. Θ. Οὐκ ἔχω, ὁπόθεν σοι ἀποδοίην. Κ. Οὐκ ἐς ἀεὶ ἀπορήσεις. Θ. Εὐγνώμονος ἐμȣ̃ τεύξῃ.

ΔΙΑʹΛΟΓ. Ηʹ.

Νικόλαος. Μάρκος.

Ν. Τί φέρεις ὑπὸ μάλης, Μάρκε; Μ. Τέμαχος ἄρτȣ. Ν. Εʹγωγε ȣ̓δὲν ἠνεγκόμην. Μ. Τί ȣ̃ν ἐδῇ; Ν. Ωʹνήσομαι ἐμαυτῷ σεμιδαλίτην ἄρτον, ἢ σπεῖραν. Μ. Εʹςι σοι χρήματα; Ν. Κέκτημαι ὀβολὸν, ἢ χαλκȣ̃ν. Μ. Τίς σοι τȣ̃τον δέδωκεν; Ν. Οʹ πατήρ μȣ. Μ. Χρηςȣ̃ πατρὸς εὐμοιρεῖς. Ν. Οʹποίȣ δʹ αὐτὸς ἔτυχες; Μ. Πάνυ

νυ σκληρȣ̃. Ν. Εʼπὶ τῷ σῷ ἀγαθῷ. Μ. Οὐ πάνυ τι φιλῶ αὐτόν. Ν. Σφόδραγε ἁμαρτάνεις· ὀφείλομεν γὰρ τȣ̀ς γονέας, ὁποῖοί ποτʼ ἂν ὦσιν, ἐκ ψυχῆς φιλεῖν, ϗ σέβεσθαι. Μ. Οʼρθῶς λέγεις· ȣ̓ παύσομαι τὸν Πατέρα τȣ̃ λοιπȣ̃ σφόδρα φιλῶν ϗ τιμῶν.

ΔΙΑʼΛΟΓ. Θ!

Στέφανος. Τιμόθεος.

Σ Ἧκε δὴ ἄυριον ὡς ἐμὲ, Τιμόθεε, ἀκρατισόμενος. Τ. Δέδοικα, μὴ ȣ̓ δύνωμαι. Σ. Τίνος ἕνεκα ȣ̓κ ἂν δύναιο; Τ. Χρεὼν μοι ὄικοι μένειν. Σ. Τίς σοι ἀσχολία πρόσεστιν; Τ. Αʼνάγκη μοι γράφειν. Σ Γράφε τῇ ὑστεραίᾳ. Τ. Οὐδὲν ὑπαγγέλλομαι. Σ. Οὑτωσὶ διὰ τιμῆς ἄγεις τὸν σὸν ἑταῖρον; Τ. Οὐκ ἐμὸν τὸ ἁμάρτημα. Σ. Δύναιο ἂν, εἰ βȣ́λοιο. Τ. Βȣλοίμην ἂν, εἰ δυναίμην.

ΔΙΑʼΛΟΓ. Ι!

Πέτρος. Ἰωάννης.

Π. Ω̃ φίλε Ἰωάννη! ποῖ δὴ ϗ πόθεν; Ι. Οἴκοθεν· πορεύομαι δὲ ἐς διδασκάλȣ. Π Πολλȣ̃ σε ȣ̓χ ἑώρακα χρόνȣ. Ι. Οὐδὲν ξένον, φίλε Πέτρε, ἐτύγχανον γὰρ ἀποδημῶν. Π. Πȣ̃ τοσȣ̃τον ἦσθα χρόνον; Ι. Εʼιστιώμην παρὰ τῷ πρὸς μητρὸς θείῳ. Π. Πῶς δὴ εἱστιάθης; Ι. Πάνυ λαμπρῶς, ὦ ἑταῖρε. Π. Πῶς διεγένȣ, ἐξ

ὅτȣ

ὅτι ἀπ᾽ ἀλλήλων διέστημεν; Ι. Εὖ, καλῶς, κάλλιστα. Π. Πάνυ σφόδρα ἥδομαι. Ι. Σὺ δὲ πῶς ἔσχες; Π. Κακῶς, πονήρως, λίαν μαλακῶς. Ι. Ὡς ἄχθομαι, πάνυ ἀνιῶμαι. Ἄπειμι, ἔῤῥωσο. Π. Αἰσίως.

ΔΕΚΑ'Σ Γ'.

Περὶ τῆς Φοιτήσεως ἐς τὸ Διδασκαλεῖον.

ΔΙΑ'ΛΟΓΟΣ Α'.

Ἀναστάσιος. Γρηγόριος.

Α. Περίμεινον μικρὸν, Γρηγόριε. Γ. Τί βούλει; Α. Ἔχω σοι τὶ εἰπεῖν. Γ. Οὐ σχολή μοι νῦν· ἐπείγομαι γὰρ ἐς τὸ διδασκαλεῖον ἀφικέσθαι. Α. Στῆθι, ἀντιβολῶ, στῆθι! ὁ παραμενεῖς ὀλίγον μετ᾽ ἐμοῦ διαλεξόμενος. Γ. Ἔασόν με ἄρτι. Α. Οὐκ ἐάσω σε. Γ. Ἀποκναίεις με, ἀδόλεσχε! Α. Λόγου μόνου ἄκουσον. Γ. Τί πρὸς ἐμέ; Α. Πάμπολυ δήπου. Γ. Τί οὖν ἐστιν; εἰπέ. Α. Ἐρῶ, εἴ μοι ὀμόσαις. Γ. Τί ἂν σοι ὀμόσαιμι; Α. Μὴ ἔσεσθαι ἄπιστον. Γ. Ὄμνυμί σοι πιστὸς ἔσεσθαι. Α. Παράβαλε τὸ οὖς. Γ. Τί δεῖ ὠτός; τρανῶς εἰπέ. Α. Τῶν ἀποῤῥήτων ἐστί. Γ. Μόνω δὲ ἐσμέν. Α. Οὐκ ἂν εἴποιμι σαφῶς. Γ. Καταγελᾷς μου ἴσως; Α. Τοῦτ᾽ αὐτὸ ἐβουλόμην. Γ. Οἰμώξῃ πάντως.

ΔΙΑ'ΛΟ-

ΔΙΑ'ΛΟΓ. Β!

Δημήτριος. Γρηγόριος.

Δ. Τίς κόπτει τὴν θύραν ἑτωσὶ σφόδρα; Γ. Ἔγωγε. Δ. Τίς ποτ' ὢν τυγχάνεις; Γ. Ἐμὲ ἀγνοεῖς; ἐμὲ ἐ γινώσκεις; Δ. Οὐμὲν ἐν· φθέγξαι τὸ ὄνομά σε. Γ. Σπεδάζεις, ἢ παίζεις; Δ. Οὐ παίζω, ἀλλὰ σπεδάζω· ὀνομάσοι τί ἐςιν; Γ. Ἔςι μοι ὄνομα Γρηγόριος. Ἄνοιξον τὴν θύραν. Δ. Ἡ θύρα ἠνεωγμένη ἐςίν. Γ. Ἄνοιγ' ἄνοιγ' ἀνύσας τὸ Φροντιςήριον. Δ. Εἴσελθε ἐν, ϗ κεῖσο καταβαλὼν σεαυτὸν, ἔνθα ἂν ἐθέλῃς. Γ. Καθεδῦμαι, ὅπε ἂν ἐπιτάξῃς.

ΔΙΑ'ΛΟΓ. Γ!

Φίλιππος. Θωμᾶς.

Φ. Ὦ ἑτος! ἐνταυθοῖ κάθησο. Θ. Τί ποιήσω ἐνθάδε; Φ. Συσχολάζωμεν, εἰ δοκεῖ, ἀλλήλοις. Θ. Καθ' ἡδονήν μοι τῦτο. Φ. Διδάσκωμεν ἐν ἀλλήλες. Θ. Πάνυ ἄσμενος πείθομαι. Θ. Τί ἐν μανθάνεις; Φ. Μανθάνω ἀναγινώσκειν. Θ. Πῦ νῦν ἀναγινώσκεις; Φ. Ἐν τῇδε τῇ σελίδι. Θ. Οἶσθα τὸ μάθημα; Φ. Οὐ πάνυ τοι καλῶς. Θ. Ποσάκις ἀπήγγειλας; Φ. Πολλάκις. Θ. Τίνι ἀπήγγειλας; Φ. Τῷ ἡμετέρῳ Καθηγητῇ. Θ. Ὅ,τι ἀγνοεῖς, ἐρώτα. Φ. Τῷ τρόπῳ ἀναγνώσομαι τῦτο; Θ. Ξυντίθει τὰ γράμματα. Φ. Σὺ δ' ἐπιτήρει. Θ. Ὡς προσπταίεις, καὶ δισσολογεῖς. Φ. Οὕτως εἴθισμαι

ἐμαυ-

ἐμαυτόν. Θ. Α'πέθιζε σαυτὸν ἂυ πάλιν. Φ. Πρόειμι ἀναγινώσκων. Θ. Νυνὶ λίαν προπετῶς ἀναγινώσκεις. Φ. Σὺ βέλτιον δίδασκε. Θ. Ο῞υτω διακριδὸν ἀναγίνωσκε. Θ. Οὑτωσὶ εὐκρινῶς ȣ̓χ οἷός τ᾽ εἰμί. Θ. Μελέτῃ προσμάνθανε. Φ. Πειράσομαι, καθ᾽ ὅσον ἂν δύνωμαι.

ΔΙΑ'ΛΟΓ. Δ!

Παῦλος. Βαρνάβας.

Π. Α῎παγε ἐντεῦθεν! Β. Μάλα ἐπιτακτικῶς, ἵνα μὴ εἴπω τυραννικῶς. Π. Ε'μός ἐςιν ȣ̔͂τος ὁ τόπος. Β. Α'πόφημι, ἀρνȣ̂μαι. Π. Πρότερός σȣ ἐνταυθοῖ ἐκαθέσθην. Β. Τί δ᾽ ἐξανέςης; Π. Ἦν χρεία. Β. Τίς χρεία ἦν; Π. Ἡ γαςὴρ κατήπειγε. Β. Τί σημεῖον κατέθȣ; Π. Οὐχ ὁρᾷς τὴν βίβλον; Β. Ἡ βίβλος κεῖται ἐκεῖ. Π. Σὺ δὲ ταύτην μετέςησας. Β. Ο῎υ φημι τȣ̂το γενέσθαι. Π. Εἶτ᾽ ȣ̓κ ἐκχωρήσεις τȣ̂ τόπȣ; Β. Σὺ δέ με βίᾳ ἐξώσεις; Π. Ἢν μὴ ἑκὼν ὑπείξῃς. Β. Α'παγγελῶ τόδε τῷ Καθηγητῇ. Π. Οὐδέν μοι μέλει· μικρὰ φροντίζω.

ΔΙΑ'ΛΟΓ. Ε!

Πέτρος. Ι'ωάννης. Νικόλαος.

Π. Τίς ἐσθ᾽ ὁ καλῶν με; Ι. Ε'γωγε. Π. Σὺ εἶ, Ι'ωάννη φίλτατε; ἐκεῖνος δὲ τίς ἐςιν; Ι. Ὁ Νικόλαος. Π. Α῎γε δὴ περιμείνωμεν, ἕως ἂν κἀκεῖνος ἔλθῃ. Ι. Καλῶς λέγεις· περιμείνωμεν.

μεν. Π. Ὡ'ς εὖ παρέςης ἡμῖν, φίλτατε Νικόλαε, χαῖρε! Ν. Καὶ ὑμεῖς γε, ὦ φίλαι κεφαλαί! Π. Πῶς ἔτι ἔχεις; Ν. Οὕτω μετρίως. Π. Πόθεν ἥκεις; Ν. Οἴκοθεν. Π. Α'πίωμεν ἂν ἐς διδασκάλȣ, μὴ πληγὰς λάβωμεν βραδύνοντες. Ν. Εὖ λέγεις· ἀπίωμεν.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Λȣκᾶς. Γεώργιος.

Λ. Τȣ̃ χάριν ȣ̃τω τρέχεις, Γεώργιε; Γ. Ὅτι ἀνάγκη μοι παρεῖναι ἐν τῷ Φροντιςηρίῳ πρὶν ἢ ἀναγνωσθῆναι τὸν κατάλογον. Λ. Μὴ ἐπείγȣ· νυνὶ παρελήλυθεν ἡ πέμπτη. Ὅρα δὴ τὸ Ὡ'ρολόγιον. Ὁ γνώμων, εἴτ' ȣ̃ν ὁ ὡροδείκτης ȣ̓ πω ἐφήψατο τȣ̃ σημείȣ, ὃ τὰς ὥρας ἀπ' ἀλλήλων ἐξ ἴσȣ διαιρεῖ. Γ. Ἐγὼ δὲ ȣ̓ πάνυ τοι πιςεύω τοῖς Ὡ'ρολογίοις· ψεύδονται γὰρ ἔσθ' ὅτε. Λ. Α'λλ' ἐμοὶ πιςεύσαις ἄρτι ἀκηκοότι τȣ̃ κώδωνος ἠχήσαντος. Γ. Πόσην ἐσήμηνε; Λ. Τὴν πέμπτην. Γ. Α'λλ' ἔςι καὶ ἕτερος κίνδυνος. Α'ποδȣ̃ναί με δεῖ ἀπὸ ςόματος τὸ χθιζὸν μάθημα, πάνυ διεξοδικὸν ὄν. Δέδοικα ȣ̃ν, μὴ ȣ̓κ ἔχω ἀποδȣ̃ναι αὐτό. Λ. Κοινὸν λέγεις τὸν κίνδυνον· καὶ αὐτὸς γὰρ ȣ̓ πανυτοι καλῶς ἐπίςαμαι. Γ. Α'κȣσώμεθα τοίνυν ἀλλήλων, θατέρȣ μὲν ἀπαγγέλλοντος, θατέρȣ δὲ ἐνορῶντος τῇ βίβλῳ. Λ. Καλῶς λέγεις· ȣ̃τω ποιῶμεν.

ΔΙΑ'ΛΟΓ. Ζ!

Ἰάκωβος. Ματθαῖος.

Ι. Πȣ̃ ποτ' ἐτύγχανες ὢν χθές; Μ. Πό-

τε χρόνȣ; Ι. Εὐθὺς ἀπʼ ἀρίςȣ. Μ. Εʼλȣσάμην οἴκοι. Ι. Πόσον χρόνον ἐλȣ́σω; Μ. Δὶ ὅλης σχεδὸν ὥρας. Ι. Τίς μετὰ σȣ̃ ἐλȣ́σατο; Μ. Οἱ τεκόντες. Ι. Λȣσάμενος δὲ τί ἐποίεις; Μ. Εʼξήραινον τὰς τρίχας, ἢ τὴν κόμην. Ι. Τȣ̃ χάριν ȣ̓κ ἐφοίτας ἐς διδασκάλȣ; Μ. Ὁ πατὴρ ἀπηγόρευσε. Ι. Τίνος ἕνεκα ἀπεῖπεν; Μ. Ἦν γὰρ ὑγρὰ ἡ κεφαλή. Ι. Θρυπτικὸς παῖς εἶ.

ΔΙΑʼΛΟΓ. Η!

Ἀναςάσιος. Κωνςαντῖνος.

Α. Ἀπεμνημόνευσας τὸ μάθημα, Κωνςαντῖνε; Κ. Μάλα καλῶς. Α. Εʼγὼ δὲ ȣ̓ πάνυ. Κ. Ὅτȣ χάριν; μῶν ἀπέμαθες, ἢ ἐπελάθȣ; Α. Μικρȣ̃ δεῖν ἐπελαθόμην. Κ. Τί ȣ̃ν ȣ̓κ ἐπαναλαμβάνεις; Α. Οὐ σχολή μοι νῦν. Κ. Ἀνθʼ ὅτȣ γε δή; Α. Ὅτι ἀπεςάλην παρὰ τȣ̃ πατρὸς ἐς τὸ προάςειον πρὸς τὸν βιβλιοπηγόν. Κ. Ἀληθῆ λέγεις; ἕψομαί σοι. Α. Οὐδαμῶς. Κ. Ἵνα τί δή; ἐπαναληψόμεθα καθʼ ὁδὸν τὸ μάθημα. Α. Τȣ̃τʼ ἄμεινον, ἢ ληρεῖν. Κ. Πάντως δήπȣ.

ΔΙΑʼΛΟΓ. Θ!

Πέτρος. Δημήτριος.

Π. Τί ποιεῖς ἀπὸ δείπνȣ, Δημήτριε; Δ. Βȣ́λει τȣ̃τʼ εἰδέναι; Π. Τȣ́τȣ γʼ ἕνεκα πυνθάνομαι. Π. Μετὰ τὸ δειπνεῖν περιπατῶ. Δ. Εἶτα τί; Π. Εʼπαναλαμβάνω, ὧν ἀκήκοα ἐν τῷ Φροντιςη-

πιξηρίῳ. Δ. Τῷ τρόπῳ τȣτο ποιεῖς; Π. Θαμὰ ἀναγινώσκων. Δ. Οὑτωσὶ γίγνεται τȣτὶ τὸ ἔργον; Π. Κομιδῆ μὲν ȣ̃ν. Δ. Τί δὲ, εἴτι σȣ τὴν μνήμην διέφυγε; Π. Μανθάνω τῇ ὑςεραίᾳ.

ΔΙΑʹΛΟΓ. Ι!

Ἰωάννης. Πέτρος.

Ι. Τίνος ἕνεκεν ȣ̓κ ἀφῖξαι σήμερον πρωῒ ἐς τὸ διδασκαλεῖον; Π. Ἠσχολȣ́μην. Ι. Περὶ τί; Π. Περὶ τὸ γράφειν πρὸς τὸν πατέρα γράμματα. Ι. Τί ἐδέησέ σοι γράψαι ἐκείνῳ; Π. Ὅτι ἐπέςειλέ μοι. Ι. Οὐκȣ̃ν ἀντεπέςειλας. Π. Ἔγωγε. Ι. Πόθεν σοι ἐπέςειλεν; Π. Ἐξ ἀγρȣ̃. Ι. Πότε ἀπῄει εἰς ἀγρόν; Π. Ταῖς παρελθȣ́σαις ἡμέραις. Ι Τί ποιεῖ ἐν τῷ ἀγρῷ; Π. Ἐπιμελεῖται τῶν γεωργικῶν ἔργων. Ι. Τίνος δὲ μάλιςα; Π. Προπαρασκευάζεται τὰ πρὸς τὸν τρυγητόν. Ι. Καλῶς ποιεῖ· ἀτὰρ πότε ἐπανήξει; Π. Σχολῆ γε πρότερον πρὶν ἢ γενέσθαι τὸν τρυγητόν. Ι. Τί δὲ αὐτός; ȣ̓κ ἄπει τρυγήσων; Π. Μεταπέμψεταί με, οἶμαι, ȣ̓κ εἰς μακρὰν ὁ πατήρ. Ι. Μὴ ἐπιλάθȣ ςαφυλὰς ἐμοὶ ἐνεγκεῖν. Π. Μεμνήσομαι, ἀλλὰ παυσώμεθα τῶν λόγων· ἤδη γὰρ ἅπαντες τρέχȣσιν ἐς διδασκάλȣ. Ι. Εὖ λέγεις· δράμωμεν ϰ̀ αὐτοὶ, μὴ ἔσχατοι ὦμεν.

ΔΕΚΑʹΣ Δ!

Περὶ Σχολαςικῶν πραγμάτων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Αʼντώνιος. Λάζαρος.

Α. Τίς κλάιει ἐνταῦθα; Λ. Εʹγωγε ὁ δύςηνος. Α. Τίνος ἕνεκα εἶ δύςηνος; Λ. Οʹτι πληγὰς ἔλαβον παρὰ τȣ̃ διδασκάλȣ. Α. Τί ἐπλημμέλησας; Λ. Οὐδὲν μεμάθηκα. Α. Δίκαια πέπονθας· ἔδει γάρ σε μαθεῖν τὸ μάθημα. Λ. Μῶν ϗ σὺ καταγελᾷς; Α. Διὰ τί δὲ ȣ̓ μεμάθηκας; Λ. Μετὰ ταῦτα ἐπιμελέςερος ἔσομαι. Α. Εʹμαθες ἄρα ἐξ ὧν ἔπαθες. Λ. Οʹρθῶς λέγεις· τὰ παθήματα γὰρ τοῖς ἄφροσι γίγνονται μαθήματα.

ΔΙΑʹΛΟΓ. Β!

Αʼλέξανδρος. Κωνςαντῖνος.

Α. Οὐαὶ ἡμῖν τοῖς δειλαίοις! Κ. Τί ἐςι; τί τρέμεις ϗ ὠχριᾷς; Α. Αʼπολώλαμεν! Κ. Πῶς; ὅτȣ χάριν; Α. Οʻ Καθηγητὴς ἥκει. Κ. Φεῦ τȣ̃ λόγȣ! Α. Αἲ αἲ τῶν ἡμετέρων πυγῶν! Κ. Πȣ̃ ἐςιν; ἀντιβολῶ. Α. Ηʹδη ἄνεισι τὴν κλίμακα. Κ. Τίς τȣ̃τό φησι; τίς ἑώρακεν; Α. Εʹγωγέ φημι αὐτὸς ἑώρακα. Κ. Εʻώρακεν ἡμᾶς παίζοντας;

Α.

Α. Τȣ̃τʼ αὐτὸ δέδια. Κ. Τί ȣ̃ν ποιήσομεν; Α. Μετάςησον τȣ̀ς βέμβηκας, ἢ τȣ̀ς ῥέμβȣς. Κ. Οʹρθῶς λέγεις. Α. Αʹναπτύξωμεν τὰς βίβλȣς. Κ. Δεινὸς ἄρα, ὡς ἔοικε, πέφυκας. Α. Οὕτως ἡγήσεται ἡμᾶς μανθάνειν.

ΔΙΑʹΛΟΓ. Γ!

Θεόδωρος. Εὐςάθιος.

Θ. Βȣ́λει ἐπαναλάβωμεν ὁμȣ̃, ἃ μεμαθήκαμεν; Ε. Σφόδραγε. Θ. Πόθεν ἄρξομαι; Ε. Αʺρξαι, ὅπȣ ὕςατα ἔληξας. Θ. Αʺρξομαι, σὺ δὲ ὅρα, εἰ καλῶς λέγω, ϗ ȣ̉χ ἁμαρτάνω περὶ τὸν λόγον. Ε. Ηʺδη ἥμαρτες. Θ. Σὺ ἐπανόρθȣ, εἴ τι μὴ καλῶς λέγω. Ε. Ποιήσω ἄσμενος· ἀλλὰ κατάτεινε. πάλιν ἥμαρτες. Θ. Ωʺ τάλας ἐγώ! ᾤμην καλῶς εἰδέναι. Ε. Τὸ αὐτὸ κἀμοὶ πολλάκις συμβαίνει, ὅτε ȣ̉ πάνυτοι ἡ μνήμη ἐςήρικται. Θ. Μακάριος, ὃς ἀγαθὴν ἔλαχε μνήμην! Ε. Μέγα τι ὡς ἀληθῶς ἀγαθὸν τοῖς Παισὶν ὑπάρχει· θησαυρὸς γὰρ πέφυκε τῶν μαθημάτων· ἀλλʼ ὁ χρόνος διέρχεται. Αʺκȣε δὴ κἀμȣ̃ ἀπαγγέλλοντος. Θ. Λέγε, ἀκȣ́σω. Οʹρθῶς ἀπήγγειλας ἅπαντα. Ε. Πολλάκις ταῦτʼ ἀνέγνων καὶ ἐπανέγνων. Θ. Οʹρθῶς ποιεῖς· μελέτη γὰρ τὸ πᾶν κατὰ τὸν εἰπόντα Σοφόν.

ΔΙΑʹΛΟΓ. Δ!

Ιʹγνάτιος. Θεοδόσιος.

Ι. Παρασκεύασόν μοι τȣτὶ τὸ πτερόν. Θ. Εʹςι

Ε'ςι σοι μαχαιρίδιον; Ι. Ε'ςι μὲν, ἀλλὰ πάνυ ἀμβλύ. Θ. Τομώτερον, ἢ ὀξύτερον φέρε. Ι. Πόθεν λήψομαι; Θ. Χρῆσαι. Ι. Φέρω, κέχρησο. Θ. Πάτερον βᾶλει παχὺ ἢ λεπτὸν ἔχειν; Ι. Μέσον. Θ. Δός μοι μέλαν. Ι. Ἠνὶ τὸ μελανοδοχεῖον. Θ. Ε'πίδος μοι ϗ χάρτην. Ι. Καὶ ᾶτος ἐν χερσίν. Θ. Ο' χάρτης διαῤῥεῖ. Ι. Οὐκ ἔςι μοι ἕτερος. Θ. Τί βᾶλει σοι καταγράψω; Ι. Κατάγραψόν μοι τᾶς χαρακτῆρας τῶν Ε'λληνικῶν γραμμάτων. Θ. Σὺ δὲ τάτας μιμήσῃ; Ι. Τᾶτ' αὐτὸ βᾶλομαι. Θ. Θαμὰ τάτας κατάγραφε. Ι. Ποιήσω, ὡς λέγεις.

ΔΙΑ'ΛΟΓ. Ε'

Βασίλειος. Α'λέξανδρος.

Β. Σὺ μὲν εἰς κάλλος γράφεις, ἀλλ' ὁ χάρτης σᾶ διαῤῥεῖ· ὑγρὸς γάρ ἐςι ϗ πίνει τὸ μέλαν. Α. Δέομαί σᾶ παρασκευάσαι μοι τᾶτὶ τὸ πτερόν. Β. Οὐκ ἔςι μοι μαχαιρίδιον. Α. Ἠνὶ λαβέ. Β. Πάνυ ἀμβλύ ἐςι. Α. Λαβὲ τὸ ἀκόνιον. Β. Ποτέρῳ φιλεῖς γράφειν παχυτέρῳ, ἢ λεπτοτέρῳ; Α. Προσάρμοζε τῇ χειρί σᾶ. Β. Ἔγωγε λεπτοτέρῳ εἴωθα χρῆσθαι. Α. Δέομαί σᾶ καταγράψαι μοι τῶν Ε'λληνικῶν ςοιχείων τᾶς χαρακτῆρας, ᾶς ἂν γράφων μιμοίμην. Β. Πᾶ ἔχεις τὸ ἀρχέτυπον, ὃ σοι πρώην κατέγραψα; Α. Α'πώλεσα σήμερον ἐν τῇ ὁδῷ δεῦρο βαδίζων. Β. Καταγράψω σοι ἕτερον, ἀλλὰ φυλάττε, μὴ ϗ τᾶτο δι' ἀμέλειαν ἀπολέσῃς. Α. Φυλάξομαι, ὡς ἐπιτάττεις. Β. Χορήγησόν μοι χάρτην.

Α.

Α. Λαβέ. Β. Πάνυ παχύς ἐςιν. Α. Ἠ'νὶ ἕτερος. Β. Οὗτος ὑπέρλεπτός ἐςιν. Α. Ἴδὲ δὴ ἕτερος ςεγανός. Β. Ἀγαθός ἐςιν, ἀλλὰ τὸ ἐμὸν μέλαν ἐςὶ φαιὸν, ἢ σποδοειδές. Α. Τὰ μὲν ἐμὰ νήματα ὅλως ἐξήρανται. Β. Ἔγχεε ὕδωρ, καὶ κύκα τῷ καλάμῳ. Α Μᾶλλον μὲν ἂν χρήσομαι παρ᾽ ἄλλε. Β. Κρεῖττον οἴκοι κεκτῆσθαι, ἢ παρ᾽ ἄλλων χρήσασθαι. Α. Τί ἐςι σχολαςικὸς ἄνευ καλάμε καὶ μέλανος; Β. Στρατιώτης ἄνευ ἀσπίδος καὶ ξίφες. Α Ἄγε μοι γραμμὰς, ἢ ὑπόγραψόν μοι γραμμὰς τῇ γραφίδι. Β. Ὄρεξόν μοι τὸν κανόνα καὶ τὴν μολύβδαιναν. Α. Εἴη μοι ὀξεῖα χείρ! ἐπεὶ ἐκ ἔχω τὴν τε ὑπαγορεύοντος φωνὴν γράφων φθάνειν. Β. Πρῶτον μελέτω σοι εἰς κάλλος γράφειν· εἶτα ὀξέως, ἢ ταχέως. Α. Μελήσει πάντως.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Πέτρος. Ἰωάννης.

Π. Σὺ δὲ ἀεὶ ἀργὸς εἶ· ἔτε γὰρ ἀναγινώσκεις, ἔτε γράφεις. Ι. Τί βέλει με ποιεῖν; Π. Σπεδάζειν ἐπιμελῶς. Ι. Μάτην παραινεῖς. Π. Πῶς ἔτω; Ι. Ὅτι ἐκ ἔςι μοι ὁ νᾶς ἐν τοῖς μαθήμασι. Π. Τί ἂν βέλει μανθάνειν; Ι. Τέχνην τινὰ τῶν βαναύσων. Π. Ἤδη ποτὲ ἐννενόηκας, τίς ἀρίςη τῶν τεχνῶν εἴη, καὶ σοὶ ὅτι μάλιςα πρέπεσα; Ι. Ἔγωγε. Π. Τίνα ἂν ἔγνως ἐκμαθεῖν; Ι. Τὴν Ἀρχιτεκτονικήν. Π. Τί ἂν ἐλέγεις τῷ πατρί; Ι. Οὐ τολμῶ. Π. Ὅτε χάριν; Ι. Ὀρρωδῶ, μὴ ὀργῇ κατ᾽ ἐμε ληφθῇ.

Π.

Π. Ἐγὼ δεήσομαί αὐτοῦ ποιῆσαι τὸ σοὶ βουλητόν. Ι. Τὰ μέγιστα ἂν εἴης μοι χαριζόμενος.

ΔΙΑΛΟΓ. Ζ!

Γεώργιος. Δημήτριος.

Γ. Ἀπόδος μοι τὸ ἐμόν. Δ. Τί βούλει με ἀποδοῦναί σοι; Γ. Ὅπερ ὑφήρπακας. Δ. Οὐδὲν ὑφήρπακα. Γ. Μὴ σκῶπτε, φημί. Δ. Οὐ μὰ Δία. Γ. Πότε μοι ἀποδώσεις; Δ. Οὐδὲν πάντως εἴληφα. Γ. Δεῖξον τὴν χεῖρα. Δ. Ἠνὶ δείκνυμι, σκέψαι. Γ. Τί ἀφεῖλες; Δ. Οὐδὲν δήπου ἀφεῖλον. Γ. Ἀπόσεισαι τὴν χειρῖδα. Δ. Πειρῶ, ὅποι βούλει. Γ. Οἶδά σου τὸν δόλον. Δ. Οὐ παύῃ μοι πράγματα παρέχων; Γ. Ἀπόδος, φημὶ, ὅπερ ἀφεῖλες. Δ. Μῶν κλοπῆς με διώκεις; Γ. Οὔτοι γε κλοπῆς, ἀλλὰ δόλου. Δ. Ἀμυνοῦμαί σε τῆσδε τῆς ἀδικίας. Γ. Κἀγώ σε.

ΔΙΑΛΟΓ. Η!

Φίλιππος. Θωμᾶς.

Φ. Οὗτος! τί οὑτωσὶ μύζεις; Θ. Οὐ τολμῶ φθέγγεσθαι γραικιστί. Φ. Τίς ἀπεῖπεν; Θ. Ὁ Καθηγητὴς ἡμῶν. Φ. Ὁ δὲ οὐ πάρεστι. Θ. Πάρεισιν ἀλλ' οὖν οἱ Κωρυκαῖοι. Φ. Τίνας Κωρυκαίους φῂς; Θ. Οἳ λάθρα ἡμᾶς ἀποσημαίνονται. Φ. Οὐδένα τούτων οἶσθα; Θ. Πῶς ἂν εἰδείην; Φ. Οὑτωσὶ κρύφα δρῶσιν; Θ. Οὕτως ἄρα δεινοί εἰσι. Φ. Φθέγγου τοίνυν ἑλληνιστί. Θ. Ὡς βουλοίμην, εἰ εἰδείην.

εἰδείην. Φ. Αʹλλὰ θᾶττον ἂν ὅτω τὴν Εʹλλάδα φωνὴν ἐκμάθοις. Θ. Υʹπακέσω σοι τῦτο.

ΔΙΑʹΛΟΓ. Θ!

Δημήτριος. Γεώργιος.

Τί γελᾷς, Γεώργιε; Γ. Οὐκ οἶδα. Δ. Τί φής; Οὐκ οἶσθα μέγα τεκμήριον μωρίας τῦτο εἶναι; Γ. Εʹμὲ γῦν μωρὸν λέγεις; Δ. Οὐ μὲν ὖν, ἀλλὰ λέγω σοι τεκμήριον εἶναι μωρίας, ἡνίκα γελᾷ τις μὴ εἰδὼς δι᾽ ὅ,τι γελᾷ. Γ. Τί ἐςι μωρία; Δ. Μέμνησο, ὅπερ εἴρηκα. Γ. Τί ἦν; Δ. Μὴ γελᾶν εἰκῆ καὶ ὡς ἔτυχε. Γ. Αʹλλὰ γελᾶν ὃ κακόν. Δ. Οὐ τῦτο λέγω. Γ. Τί ὖν; Δ. Μωρία ἐςὶν ἄνευ λόγυ γελᾶν. Γ. Νῦν συνίημι. Δ. Μέμνησο ἀεὶ τῦ λόγυ· Γελᾷ ὁ μωρὸς, κἂν τι μὴ γελοῖον ᾖ. Γ. Χάρις σοι πολλὴ τῆς παραινέσεως, φίλε Δημήτριε.

ΔΙΑʹΛΟΓ. Ι!

Ιʹωάννης. Παῦλος.

Ι. Δεῦρο σύ. Π. Τί ἐςι; τί με καλεῖς; Ι. Εʹχω σοί τι εἰπεῖν. Π. Οἶδα, μᾶλλον δὲ ἐξεπίςαμαι. Ι. Τί οἴει με βέλεσθαι; Π. Ξυμπαίζειν σοι. Ι. Τῦ παντὸς διαμαρτάνεις. Π. Τί ὖν; Ι. Ξύμβαλε. Π. Οὐκ ἔχω ξυμβαλεῖν. Ι. Αʹπαντήσομεν ἐς τὸ κῆδος. Π. Τὸ ποῖον λέγεις; Ι. Αʹγνοῶ, ὁποῖόν ἐςι. Π. Πόθεν ὖν οἶσθα; Ι. Οʹ Εʹπιςάτης ἀνήγγειλε. Π. Πηνίκα ἐξενεχθήσεται ὁ νεκρός; Ι. Τῇ τρίτῃ ἀπ᾽ ἀρίςα. Π. Κἀγὼ

γὼ ἀπαντήσω. Ι. Οὐκ ἂν συμπορεύσῃ μοι; Π. Πάνυ ἄσμενος. Ι. Κἀμοὶ ἂν καταθύμιος εἴης.

ΔΕΚΑʹΣ Εʹ.

Περὶ Περιπάτου καὶ ἄλλων τινῶν.

ΔΙΑʹΛΟΓΟΣ Αʹ.

Πατήρ. Υἱός.

Π. Πρόειμι περιπατήσων, καὶ σύγε παρακολουθήσεις μοι, Υἱέ. Υ. Ποῖ πορευσόμεθα, Πάτερ; Π. Εἰς τὸ πεδίον· ὀψόμεθα τὰ ἐκεῖ πα γιγνόμενα. Υ. Ἰδοὺ πάρειμι, Πάτερ ἄριστε. Π. Ἴωμεν οὖν· νῦν ἐσμὲν πρὸ τῆς πύλης. Υ. Παπαί! ἡλίκος ποταμός· μὴ διὰ τῆς γεφύρας ταύτης διελθεῖν ἡμᾶς δεῖ; Π. Οὕτω· βάδιζε δεῦρο, Ἰωάννη! Χειραγωγήσω σε, μὴ καταπέσῃς εἰς τὸν ποταμόν. Υ. Ἔστι βαθὺ τὸ ὕδωρ; Π. Πάνυ βαθύ. Υ. Ποία τίς ἐστιν αὕτη ἡ οἰκία; Π. Μύλη ἐστίν. Υ. Ὁρῶ τοὺς τροχοὺς ὑπὸ τοῦ καταρρυγνυμένου ὕδατος περιφερομένους. Π. Ὁρᾷς ἐκεῖ παῖδα ἐπ' ὄχθης καθήμενον; Υ. Ὁρῶ· ἀλλὰ τί ποιεῖ ἐκεῖνος; Π. Ἰχθῦς ἀγρεύει· κάλαμον ἔχει ἐν τῇ χειρὶ μετὰ καλωδίου, ᾧ προσῆπται ἄγκιστρον σὺν δελέατι. Βάλλεται οὖν τὸ ἄγκιστρον κατὰ τοῦ ὕδατος, προσνήχεται ἰχθῦς λάβρος καὶ καταπίνει αὐτὸ ἅμα τῷ δελέατι, τότε εὐθέως αἴρεται ὁ

καλα-

κάλαμος, καὶ ὁ προσπεπηγὼς τῷ ἀγκίστρῳ ἀνασπᾶται. Υ. Οὕτως ἕκαστοι τῶν ἰχθύων ἁλίσκονται; Π. Πολλοὶ τῶν ἰχθύων τοῖς δικτύοις καὶ ἀμφιβλήστροις ὥσπερ θυλάκῳ αἱροῦνται.

ΔΙΑʹΛΟΓ. Βʹ

Υἱός. Πατήρ.

Υ. Ποῖ νῦν πορευσόμεθα; Π. Εἰς τοὺς ἀγροὺς· θεασόμεθα τὰ λήϊα. Υ. Τίνα δὲ ὁδὸν βαδιοῦμεθα; ταύτην τὴν πλατεῖαν, ἢ ἐκείνην τὴν ἀτραπόν; Γ Ἡ γὰρ λεωφόρος, ἥπερ ὀχημάτων ἕνεκά ἐστιν, οὔπω ξηρὰ ὑπάρχει τοῦ ὑετοῦ. Υ. Αὕτη γε μὴν ἡ τρίβος πάνυ στενή ἐστι καὶ ὀλισθηρά. Π. Μὴ δέδιθι· ἐπειδὰν γενώμεθα ἐπὶ τὴν αἱμασιὰν, εὐρυτέρα ἔσται καὶ εὐοδωτέρα. Υ. Ὡς εὔδιός ἐστι καὶ γαληνὸς ὁ οὐρανός! Π. Ἀκούεις τῆς ἀηδόνος; Υ. Ἀκούω μὲν, οὐχ ὁρῶ δέ. Π. Ἔπαρον τοὺς ὀφθαλμοὺς καὶ ὄψει. Υ. Ἤδη ὁρῶ αὐτήν· πάνυ σμικρά ἐστι. Π. Τούτους τοὺς καρποὺς γιγνώσκεις; Υ. Ἔγωγε· ὁ μὲν πυρός ἐστιν, ὁ δὲ ὄλυρα· ἐκεῖ ὁρῶ κριθὴν καὶ ζειάν. Π. Ταῦτα τὰ πεδία τοσούτοις καρποῖς βρίθοντα ὅσον πλοῦτον τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἡμῖν προσφέρουσιν! Ὁρᾷς πόσοις ἄνθεσι καλλίστοις οὗτοι οἱ λειμῶνες πεποικιλμένοι εἰσίν; Υ. Ἔξεστι τούτων ἀποδρέπεσθαι; Π. Ἔξεστιν, ὅσον ἂν βούλοιο.

Γ Π: Τὴν ἀτραπόν·

ΔΙΑʹ-

ΔΙΑʼΛΟΓ. Γ!

Π α τ ή ρ. Υ ἱ ό ς.

Π. Νῦν ἀφικόμεθα ἐπὶ τὸν λόφον, ἐν ᾧ καλλίςη ἀναπετάννυται ἐπὶ τὴν πεδιάδα πρόοψις· ἀναβῶμεν δή. Υ. Ω῏ καλλίςης ἀπόψεως! Π. Εʼνταῦθα μὲν τὴν πόλιν ἡμῶν ὁρᾷς, ϗ τὸν ποταμὸν καμπύλαις ῥέοντα καμπαῖς· ἐπὶ τὰ δεξιὰ δὲ πεδία ἀναπεπταμένα ϗ λίμνην μεγάλην· ἐπ᾽ ἀριςερὰ δὲ ὄρη δρυμοῖς ξυλοφόροις πεποικιλμένα, ϗ ἀμπελῶνας τερπνοτάτȣς, ϗ βρίθοντας ςαφυλαῖς. Υ. Εʼκεῖ ὁρῶ ἀγέλην οἴων νεμȣσαν· ἀλλὰ πȣ͂ ἐςιν ὁ ποιμήν; Π. Εʼκεῖ ὑπὸ τῇ πλατάνῳ κάθηται ἁρμοζόμενος τὴν σύριγγα ϗ τȣ̀ς αὐλȣ́ς. Υ. Οὐκ εἰσὶν αὐτῷ κύνες; Π. Οὐχ ὁρᾷς αὐτȣ̀ς παρὰ τῷ ποιμένι εὐνάζοντας; Υ. Δέδοικα, μή με δάκωσι. Π. Θάῤῥει· μὴ φοβȣ͂· ȣ̓ λυμανȣ͂νταί σε. Υ. Ηʼνὶ ἐκεῖ χηνῶν ἀγέλη ἐν τῇ λίμνῃ νηχομένων. Π. Ηʼ̓δη ποθ᾽ ἑώρακας, τέκνον Ιʼωάννη, ἔλαφον; Υ. Οὐδεπώποτε. Π. Εʼκεῖσε ἀπόβλεψον ἐπὶ τὰ λαιά. Τ. Ωʽ́ς καλή ἐςιν ἰδεῖν! κέρατα ὑπερφυῆ φέρει· ἐνταῦθα ὁρῶ λαγὼν δρόμῳ θέοντα. ὡς ἅλλεται! Π. Οʽ λαγὼς δειλότατον δήπȣ πέφυκε ζῶον. Υ. Τίνες εἰσὶν αὗται αἱ οἰκίαι; Π. Κώμη ἐςίν· ὁρᾷς τὸν πύργον; Υ. Οʽρῶ· ȣ̓κ ἔςι λίαν ὑψηλός.

ΔΙΑʼΛΟΓ. Δʹ.

Υ ἱ ό ς. Π α τ ή ρ.

Υ. Εὖγε! ὡς ἡδέως ᾄδȣσιν οἱ ὄρνιθες.

Π. Αʼγαλ-

Π. Ἀγάλλονται τῷ ζῆν, καὶ ἡμᾶς τῇ ἑαυτῶν ᾠδῇ προτρέπεσθαι δοκοῦσι τὸν δι' ἡμᾶς τούτους ποιήσαντα Θεὸν ὑμνεῖν τε καὶ γεραίρειν. Ἠνὶ δύω ἅμαξαι, ἡ μὲν ζειᾶς, ἡ δὲ χόρτου γέμουσα. Υ. Πῶς δὲ τηλικοῦτος θημὼν ζειᾶς, ἢ χόρτου οὐκ ἐκφέρεται τῆς ἁμάξης; Π. Ὅτι συνδέδεται ἰσχυρῶς τῷ καμίλῳ ἐν τῇ ἁμάξῃ. Υ. Ὁ δὲ τὸ πράσινον ἐνδεδυμένος τίς ὢν τυγχάνει; Π. Κυνηγέτης. Υ. Ἔχει μεθ' ἑαυτοῦ δύω κύνας θηρευτικοὺς, ὧν ἅτερος θατέρου μείζων ἐστίν. Π. Οὗτοι ἀεὶ ἐπακολουθοῦσι τῷ ἑαυτῶν δεσπότῃ πρὸς τὴν θήραν. Υ. Ὁρῶ ἄνθρωπον πένητα ἡμῖν προσιόντα· ἔοικεν ἡμῖν προσδιαλεξόμενος· προαπαντήσω αὐτῷ, ὡς, εἴτι ἡμῶν δεηθείη, προφθάσαι τὴν αἴτησιν. Π. Ὀρθῶς ποιεῖς, Παῖ, ἴθι. Υ. Οὐκ ἦν προσαίτης, ὡς ἐγὼ ᾤμην, ἀλλ' ὁδίτης, ὃς ἐδεήθη μου ὑποδεῖξαι αὐτῷ τὴν εἰς ἄστυ φέρουσαν. Π. Ὑπέδειξας αὐτῷ τὴν ἐπιτομωτάτην; Υ. Ὑπέδειξα, ὥστε μὴ διαμαρτεῖν ἔτι αὐτῆς.

ΔΙΑ'ΛΟΓ. Ε!

Π α τ ή ρ. Υἱ ό ς.

Π. Ἀλλ' ἐπανίωμεν ἤδη οἴκαδε· ἅλις γὰρ ἡμῖν περιπεπάτηται. Υ. Βουλοίμην ἂν καὶ ταύτην τὴν κώμην ἐπισκέψασθαι. Π. Ἄλλοτε ταύτην ἐπισκεψόμεθα. Οὐ κέκμηκας βαδίζων; Υ. Ἤκισα. Π. Καθεζώμεθα ἀλλ' οὖν παρὰ τοῦτον τὸν καθαρὸν καὶ διαφανῆ ποταμὸν ὑπὸ τὴν τῶν δένδρων σκιάν. Υ. Ὡς καλὸς οὗτος ὁ τόπος! Π. Τί οὕτως ἀκριβῶς θεωρεῖς; Υ. Πολύ τι πλῆθος ζωϋφίων ταχέως ἔνθα καὶ ἔνθα κινουμένων. Π.

Μήρ-

Μύρμηκές εἰσιν οὐδέποτε ἀργοί. Υ. Τί φέρουσι; Π. Οἱ μὲν σῖτα, οἱ δὲ ἔλυτρα, ὅθεν νέοι μύρμηκες γίγνονται· νῦν δὲ ἐπειγώμεθα οἴκαδε· ὥρα γὰρ ἤδη ἀριστᾷν. Μῶν εὑρήσεις τὸν ἡμέτερον οἶκον; Υ. Πῶς γὰρ οὔ; Π. Πρόϊθι οὖν· ὄψομαι, εἴπερ εὑρήσεις αὐτόν. Υ. Ἤδη ὁρῶ τὸν ἡμέτερον οἶκον, καὶ τὴν ἀδελφὴν Μάρθαν πρὸ τῆς θύρας ἑστηκυῖαν. Αὐτῇ δώσω τοῦτον τὸν φάκελλον τῶν ἀνθέων ἐν τῷδε τῷ λειμῶνι συνειλεγμένον.

ΔΙΑΛΟΓ. ΣΤ'

Πατήρ. Υἱός.

Π. Παῖ! ποῦ εἶ; Υ. Ἰδοὺ πάρειμι! τί κελεύεις, Πάτερ; Π. Κόσμησον τὴν τράπεζαν. Υ. Ἔστιν ὥρα ἀρίστου; Π. Πάνυ γε, ὅθ' οὕτω δοκεῖ. Υ. Ἐπιμελήσομαι, ὅπως ἂν πάντα διαπραχθείη. Π. Ὄρεξον τὰς μαχαίρας, τὰς κρεάγρας καὶ τοὺς δοίδυκας, ἤτοι τὰ κοχλιάρια. Υ. Ἕτοιμά ἐστιν. Π. Ἐπίδος τὰ χειρόμακτρα. Υ. Καὶ ταῦτα ἐν χερσίν. Π. Ἐπίθες τὸ ἁλοδοχεῖον. Υ. Πρότερον ἁλῶν ἐμπλήσω. Π. Ἔκλυε (ἔκπλυνε) τὰς κύλικας. Υ. Πάλαι ταύτας ἐξέλουσα. Π. Ἔνεγκε τοὺς ἐπιτραπεζίους δίσκους. Υ. Ἐπὶ τῆς βάθρας κεῖνται. Π. Καὶ τὸν γύργαθον. Υ. Ἐκ τοῦ παττάλου ἤρτηται. Π. Ἐφάρμοσον τὸν κυλίσκον. Υ. Πεποίηκα. Π. Φέρε ταχέως κατὰ χειρὸς ὕδωρ· παράπεμπε τὸ χειρόμακτρον· τίθει κατὰ τάξιν τὰς ἕδρας. Υ. Πάντα καλῶς ἔχει· τί οὖν; Π. Νυνὶ ἤδη μάνθανε. Υ. Τὰ ποῖα; Π.

Τὰ

Τὰ παρὰ τὴν τράπεζαν. Υ. Δίδαξόν με, δέομαι. Π. Πάνυ ἄσμενος τοῦτο ποιήσω. Υ. Αὐτὸς ὑπακούσω. Π. Μὴ διάκοπτέ με. Υ. Οὐδὲ γρὺ φθέγξομαι. Π. Πρῶτον μὲν τοὺς ὄνυχας κάθαρον· εἶτα τὰς χεῖρας νίψον, καὶ τοῦ Θεοῦ δεήθητι. μετὰ ταῦτα δὲ δεόντως ἀνακλίθητι. Ἅπτου τῶν βρωμάτων τοῖς δακτύλοις, μὴ τῇ παλάμῃ. Μὴ πρῶτος ἄρχου τοῦ ἐσθίειν, μηδὲ πρῶτος πίνε. Μὴ ἐπερείδου τῷ ἀγκῶνι, μηδ' ἐπίκυπτε τῇ τραπέζῃ, ἀλλ' ὀρθὸς ἵστασο. Μὴ ἀναπετάννυε τὰς χεῖρας. Μὴ ἀδηνῶς ἔσθιε, μηδ' ἀμυστὶ πίνε. Τῶν ἐγγιστάτου ἅπτου. Μὴ ἐξασχολοῦ περὶ τὴν παροψίδα, μηδὲ περίβλεπε τοὺς ἄλλους. Πίνειν δὲ μέλλων ἀπόματτε τὸ στόμα μὴ τῇ χειρὶ, ἀλλὰ τῷ χειρομάκτρῳ. Τὰ δηχθέντα μὴ ἀνάβαπτε. Μὴ λεῖχε τοὺς δακτύλους, μηδὲ τὰ ὀστᾶ περίτρωγε. Ἕκαστα τῇ μαχαίρᾳ τέμνε. Μὴ ἄλειφε τὸ στόμα. Τὰς χεῖρας θαμὰ ἀποκάθαιρε εἰς τὰ χειρόμακτρα. Μὴ ἀνακάθαιρε τὴν ῥῖνα τοῖς δακτύλοις. Μὴ ἐρωτηθεὶς σίγα. Τὸ ἱκανὸν ἔσθιε. Ἅλις σχὼν τοῦ φαγεῖν (ἐμφορηθεὶς) ἐξανίστασο. Ἀπόνιψόν τὰς χεῖρας· ἆρον τὴν τράπεζαν, καὶ τῷ Θεῷ ὕμνους εὐχαριστηρίους ἀνάπεμψον.

ΔΙΑΛΟΓ. Ζ'.

Υἱός. Πατήρ.

Υ. Προσαίτης ἔξω ἐστὶ, Πάτερ. Π. Γινώσκεις τὸν ἄνθρωπον; Υ. Ὁ γέρων ἐκεῖνος Νικόλαος, οἶμαι, ἐστί· βαδίζει κάτω ἐπικεκυφὼς, καὶ βαθὺν καὶ πολιὸν πώγωνα καθειμένος. Π. Λαβὲ ταυτὶ τὰ κέρματα, καὶ δὸς αὐτῷ, ἅμα δὲ ἐροῦ,

ποσα

πόσα ἔτη τυγχάνει γεγονώς; Υ. Δέκα πρὸς τοῖς ἑκατὸν ἔτη γεγονέναι φησί. Π. Σπάνιον γῆρας! Υ. Γυνή τις πτωχὴ ἕςηκε πρὸ τῆς θύρας. Π. Δὸς αὐτῇ τέμαχος ἄρτȣ καὶ τυρόν. Υ. Πλείȣς ὁρῶ ἐπαίτας προσερχομένȣς· πάρεςι πρεσβύτης ἀνὴρ ἐπὶ καμάκων ξυλίνων βαδίζων· ἔτι δὲ ςρατιώτης ποδὶ ἐκ ξύλȣ χρώμενος· οὕτως δηλαδὴ τὸν ἕτερον τῶν ποδῶν ἐν τῷ πολέμῳ ἀπέβαλεν, ἀντ' αὐτȣ͂ δ' ἐκ ξύλȣ περιεποιήσατο. Π. Οὗτοίγε ἄξιοί εἰσιν εὖ παθεῖν κακῇ τύχῃ χρησάμενοι, ὡς μὴ ἔχειν ἐργαζομένȣς τὰ ἐπιτήδεια πορίζεσθαι. Υ. Πάρεςι παῖς ἐκ τȣ͂ Ὀρφανοτροφείȣ φέρων πυξίδα κατὰ συλλογὴν ἐλέȣς. Π. Δὸς αὐτῷ τὼ δύω τȣ́τω ὀβολώ, ἀλλ' αὐτὸς τȣ́τω βάλε εἰς τὴν πυξίδα.

ΔΙΑʹΛΟΓ. Η!

Υἱός. Πατήρ.

Υ. Ἥκει παῖς διεῤῥωγὸς ἱμάτιον ἠμφιεσμένος, ὃς ὅλος ὑπὸ τȣ͂ ψύχȣς ῥιγοῖ, ἢ τρέμει· δωρήσομαι αὐτῷ τὸν ὑπενδύτην μȣ τὸν τετριμμένον, τὰς περικνημίδας τε καὶ τὰ πέδιλα, εἴμοι ἐπιτρέψειας. Π. Ἔγωγε ȣ̓κ ἐνίςαμαι. Πάνυ μοι κεχαρισμένα ποιεῖς, φίλε τέκνον, ȣ̔́τω φιλάνθρωπον σαυτὸν τοῖς πένησι παρεχόμενος. Ἡλέως καὶ ἀφθόνως ἐπαρκεῖν τοῖς δεομένοις ἐπέταξεν ὁ Θεός. Υ. Πλακȣ͂ντος τεμάχιον σήμερον ἐταμιευσάμην· τȣ͂το τῇ τυφλῇ τῇδε γυναικὶ δώσω. Π. Πρόσθες ταυτὶ τὰ κέρματα. Υ. Ἀνήρ τις ἕςηκεν ἔξω ἔρανον αἰτῶν· ἐμπρησμῷ φησι τὰ ἑαυτȣ͂ ἀπολωλέ-

λωλέναι. Π. Ἔρυ ποδαπός ἐςι, ϗ ὅπως καλεῖται; Υ. Ἁβράμιος. Π. Οἶδα τὸν ἄνθρωπον· ὁ ἀγρότης δηλονότι ἐςὶν ὁ πάλαι ἡμῖν πολλάκις ξύλα πεπρακώς. Υ. Τί ἐπιδώσεις αὐτῷ, Πάτερ; Π. Ἑκκαίδεκα ὀβολὺς· ἔτι τε σιτίον καὶ ποτὸν αὐτῷ χορηγήσομεν. Υ. Δύω ἄνδρε πάρεςον ἔξω ἔρανον αἰτῦντε ἐπὶ νεὼ οἰκοδομὴν, ὥγε ἐπὶ τῦτο ἐπεδωκάτην ἐμοὶ τήνδε τὴν δέλτον, ἐφ᾽ ᾧ, ὅ,τι ἂν δοίης, ταύτῃ ἐγγράψαι. Π. Ὄρεξόν τὴν δέλτον, ἵν᾽ ἐγγράψω.

ΔΙΆΛΟΓ. Θ!

Πέτρος. Ἰωάννης.

Π. Τῦ χάριν ὕτω φαιδρὸς εἶ, Ἰωάννη; Ι. Ὁ πατήρ μυ ἐπανῆκεν οἴκαδε. Π. Πῦ δὲ ἐτύγχανεν ὤν; Ι. Ἐν Βιέννῃ τῆς Ἀυςρίας. Π. Τίνος ἕνεκα ἀπεδήμησεν ἐκεῖσε; Ι. Ἀγνοεῖς ἐκεῖ πανήγυριν κατ᾽ ἔτος γίγνεσθαι, εἰς ἣν συχνοὶ ἐπιδημῦσι κατὰ χρείαν ἐμπορικήν; Π. Πότερον πεζός, ἢ ἱππεύς, ἢ ἁμάξῃ ἐποχύμενος ἐπανῆκεν; Ι. Ἔφιππος. Π Πότε ἀφίκται; Ι Πρὸ ὥρας. Π. Τίς σοι ὕτω ταχέως ἀπήγγειλεν; Ι. Ὁ θεράπων, ὅς γε πόῤῥωθεν αὐτὸν ἥκοντα ἐθεάσατο. Π. Ἠσπάσω αὐτόν; Ι. Ἠσπασάμην ἅμα ἀπὸ τῦ ἵππυ καταβάντα. Π. Τί δ᾽ ἄλλο ἐποίησας αὐτόν; Ι. Τὺς μύωπας ἐξείλκυσα ϗ τὰ ὑποδήματα. Π. Εὖ ἐποίησας· ἀλλὰ θαυμάζω, πῶς ὐκ ἔμεινας οἴκοι τῦ πατρὸς ἀφικομένυ. Ι. Τῦτ᾽ ὐδ᾽ ἂν ὁ πατὴρ ἐπέτρεπεν, ὐδ᾽ ἂν αὐτὸς ἠβυλόμην, παρὸν νῦν ἐς τὸ διδασκαλεῖον φοιτᾷν.

Π. Ἄγαμαί σε τῦ τρόπε· ἀλλὰ πῶς ἔχει ὁ σὸς πατήρ; Ι. Ἄριςα τῦ Κρείττονος συναντιλαμβανομένε. Π. Συγχαίρω σοι, ἐφ' οἷς σῶος ἐπανῆλθεν. Ι. Οἶδά σοι χάριν μεγίςην, φίλε Πέτρε, ἀλλ' ἀπίωμεν ἤδη ἐς διδασκάλε.

ΔΙΆΛΟΓ. Ι!

Ἀνασάσιος. Ἰωάννης.

Α. Ὁ πατήρ σε, ὥςγε πυνθάνομαι, ἐπεδήμησεν ἐκ τῆς ἀποδημίας. Ι. Ναί. Α. Πότε χρόνε; Ι. Χθὲς πρὸ ἀρίςε. Α. Οὐκ ἔν ἀηδής σοι ἦν ἡ παρεσία αὐτῦ; Ι. Μᾶλλον δὲ ἡδίςη· ἀτὰρ πρὸς τί με τῦτο ἐρωτᾷς; Α. Ὅτι ἴσως ἐκείνε ἀπόντος ἔξεςί σοι ἐλευθερώτερον ζῆν. Ι. Οὐκ οἶδ' ἥντινα ἐλευθερίαν λέγεις. Α. Παίζειν δηλαδὴ ϗ ἄνω κάτω περιπατεῖν. Ι. Οἴει με ἄλλως ζῆν ἀπόντος τῦ πατρὸς, ἢ παρόντος; Α. Ἔγωγε. Ι. Σφόδραγε ἁμαρτάνεις. Α. Οὐκ ἔν παίζεις ἀπόντος τῦ πατρός; Ι. Παίζω, ἡνίκα ἔξεςιν, ἐδὲ περιτρέχω τῇδε κἀκεῖσε, ἀλλ' ἐπιτρεπέσης τῆς μητρὸς πρόειμι τῆς οἰκίας, εἴτι πράττειν ἔχω. Α. Καὶ τῇ μητρίγε ἔτωσὶ πείθῃ; Ι. Ἶσα καὶ τῷ πατρί· τί γὰρ οἴει; ἐχ ἡ αὐτή ἐςι τῦ Θεῦ ἐντολὴ περὶ ἀμφοτέρων; φησὶ γάρ· Τίμα τὸν πατέρα σε ϗ τὴν μητέρα σε. Α. Οἶδα ταῦτα, ϗ ἅπερ ἔφης πάντα μοι ἀρέσκει. Ι. Τί ἔν ἀντέλεγες; Α. Ἵνα λόγες πρὸς ἀλλήλες ἀντιβάλλοιμεν· ἀλλ' ἄκεσον τῦ ὡρολογίε. Ι. Ἐν καιρῷ ἡμᾶς ὑπομιμνήσκει· ἀπαλλαχθῶμεν ἔν. Α. Ἔρρωσο, φίλε Ἰωάννη, ϗ εὐνόει μοι.

ΔΕ-

ΔΕΚΑΣ ΣΤ!

Περὶ τῆς ἀπὸ τῶν Μαθημάτων Σχολῆς.

ΔΙΑΛΟΓΟΣ Α!

Ἰωάννης. Προκόπιος.

Ι. Τί δήποτε ἀνιωμένῳ ἔοικας, ἑταῖρε; Π. Ἀποδύρομαι τὴν ἐμαυτῦ τύχην. Ι. Τίς σε ἀνάγκη πιέζει; Π. Ἀπορία· διηλλαξάμεθα ἤδη τὰς τάξεις, ὐδ᾽ ἔςι μοι χρήματα, ὥςε πρίασθαι τὰς ἀναγκαίας βίβλυς. Ι. Οὐ δίδωσί σοι ὁ πατήρ; Π. Δίδωσι μὲν ἔσθ᾽ ὅτε, ἀλλὰ πάνυ φειδομένως. Ι. Οὐκῦν τῶν φιλαργύρων ἐςίν. Π. Οὐχ ἕπεται. Ι. Τί ὖν τὸ κωλύον ἐςὶ μὴ χορηγεῖν σοι χρήματα; Π. Πενία. Οὐ μὴν ἀλλὰ θαυμάζει αἰτῦντός μυ, ὡς τοσύτων ἡμῖν δεῖ βίβλων. Ι. Οὐδὲν ξένον, εἰ πενία τὸν ἄνδρα κατατρύχει. πλὴν ἀλλὰ θάῤῥει καὶ μὴ ἀνιῶ· ἐπιμελήσομαι γὰρ, ὅπως σοι ὁ Πατήρ μυ ἐπαρκέσει· ἐπαρκεῖ γὰρ ἡδέως πᾶσι μὲν τοῖς δεομένοις, ὐχ ἥκιςα δὲ τοῖς ἐρωτικῶς περὶ τὺς λόγυς ἔχυσιν. Π. Ὢ εὐδαίμων ἐγώ! εἴμοι τὸ Θεῖον διὰ σῦ ἐπιβοηθήσειεν. Ι. Οὐκ ἀμφισβητῶ ὅλως μὴ ἂν αὐτὸν τῦτο ποιήσειν. Π. Χάριν σοι ἔχω τὴν μεγίςην τῆς πρὸς ἐμέ σῦ εὐεργετικῆς διαθέσεως. Ι. Ἔῤῥωσο τέως, φίλε Προκόπιε, ἤδη μετελεύσομαι τὸν πατέρα.

ΔΙΑʹΛΟΓ. Β!

Ἀνανίας. Βαρνάβας.

Α. Τίνα ὁδὸν βαδιῦμεθα οἴκαδε; Β. Ταύτην. Α. Ἔγωγε ἐ βέλομαι ταύτην ἰέναι. Β. Τῦ χάριν; Α. Ὅτι ἔδακέ με πρώην ὁ τῦ ἀρτοποιῦ κύων. Β. Μὴ δέδιθι· ἐλθὲ μετ᾽ ἐμῦ. Α. Αὐτὸς ἄπειμι διὰ τῆς ἀγορᾶς· ὠνήσομαι κέρασα, καὶ εἴτι ἄλλο ἡδὺ ὀπώρας ἐςίν. Β. Ἐπιθυμῶ ἰδεῖν, πόσε ὠνήσῃ τὰ κέρατα. Α. Ὠνῦμαι τὴν λίτραν δυοῖν λεπτῶν· ἀτὰρ τί πρὸς σέ; Β. Ἡ ἀδελφὴ προσέταξέ μοι τήμερον πρωῒ πυθέσθαι, πόσε πιπράσκοιτο ἐν ἀγορᾷ τάτε κέρασα, καὶ τἄλλα ἀκρόδρυα· καὶ ἔςι τις γραῦς λαχανοπῶλις, παρ᾽ ἧς ἐὰν ὠνήσῃ, οἶδ᾽ αὐτὴν καὶ ἐλάττονος ἢ τὰς ἄλλας πωλήσεσαν, καὶ ἡμῖν δώσεσαν τῶν κεράσων, ἢ τῆς ἄλλης ὀπώρας· ἡ γὰρ θυγάτηρ αὐτῆς ὑπηρετήσατό ποτε τῇ ἐμῇ μητρὶ καὶ ἀδελφῇ. Α. Δέδοικα, μὴ πληγὰς λάβωμεν παρὰ τῶν τεκόντων τῆς βραδυτῆτος. Β. Ἥκιςα· ἐν δέοντι γὰρ ἥξομεν.

ΔΙΑʹΛΟΓ. Γ!

Γεώργιος. Ἀνανίας.

Γ. Πόθεν ἥκεις, Ἀνανία; Α. Ἐκ τῦ διδασκαλείε διὰ τῆς ἀγορᾶς. Γ. Τί ὠνήσω ἐν τῇ ἀγορᾷ; Α. Κέρασα, καὶ ἄλλα ἀκρόδρυα. Γ. Δεῖξόν μοι αὐτά. Α. Ἠνὶ λαβέ. Γ. Πάνυ ἡδέα ἐςί· ποῖ διανοῇ ἀπιέναι; Α. Οἴκαδε. Γ. Ἐκεῖ-

Εʹκεῖθεν δὲ ποῖ; Α. Οὐδαμόσε. Γ. Τί ποιήσεις οἴκοι; Α. Μαθήσομαι, ἃ ἐπέταξεν ἡμῖν ὁ Καθηγητὴς ἀπομνημονεύειν. Γ. Πȣ̃ ποτ᾽ ἐτύγχανες ὢν πρότριτα; Α. Εʹν τῷ κήπῳ. Γ. Τί ἐποίεις ἐκεῖ; Α. Εʹτύγχανον περιπατῶν καὶ μελετῶν. Γ. Τί ἐμελέτας; Α. Αʹ μεμάθηκα καὶ ἀκήκοα ἐν τῷ Παιδευτηρίῳ τȣ̃ Διδασκάλȣ. Γ. Πότε ἥξεις ἐπισκεψόμενός με; Α. Αʹύριον, σὺν Θεῷ, ἐλεύσομαι. Γ. Χαρίῃ μοι τὰ μέγιϛα.

ΔΙΑʹΛΟΓ. Δ!

Ιωάννης. Πέτρος.

Ι. Χαῖρε, φίλε Πέτρε! Π. Ωʹς ἒυ παρέϛης, προσφιλέϛατε Ιʹωάννη! Πῶς ἔχεις; Π. Κάλλιϛα, τῷ Θεῷ χάρις· σὺ δὲ πῶς ἔχεις; Ι. Καλῶς γε τȣ̃ Κρειττονος συναντιλαμβανομένȣ· ἀλλὰ πότε ἐπανῆλθες οἴκαδε; Π Οʹψὲ τῆς ἡμέρας. Ι. Εἰς καιρὸν πάρει. Π. Ηʹδειν δηλονότι τὴν ἀπὸ τῶν μαθημάτων ϛχολὴν μετ᾽ ȣ̓ πολὺν ἐσομένην. Ι. Βȣ́λει διαμυθολογησώμεθα μικρὸν ἐπὶ ϛχολῆς πρὸς ἀλλήλȣς; Π. Μάλιϛά γε. Ι. Μέμνησαι ὃ σοι εἶπον, ϗ αὐτὸς ὑπέϛχȣ; Π. Εʹγωγε· ἠνεγκόμην δύω βότρυς. Ι. Σαυτῷ ἄρα μόνῳ. Π. Οὐ μὲν ȣ̃ν, ἀλλὰ νῷν. Ι. Τȣ̃ χάριν ȣ̓ πλείȣς ἤνεγκες; Π. Οʹτι ȣ̓κ ἦσαν πέπειροι. Ἠνὶ λαβὲ ἅτερον τȣ́των. Ι. Χάριτάς σοι ὁμολογῶ.

ΔΙΑʹΛΟΓ. Ε!

Κοσμᾶς. Πέτρος.

Κ. Συγχαίρω σοι ἐπανιόντι· πότε ἀνέϛρεψας

ψας ἐξ ἀγρῦ; Π. Χθὲς πρὸς ἑσπέραν. Κ. Πεζὸς ἥκες, ἢ ἔφιππος; Π. Δὶ ὅ,τι ἐρωτᾷς; πεζός· ὀυκ ἠβυλήθην ἔφιππος ἥκειν. Κ. Ο'υκ ἀηδής σοι ἦν ὁ τῆς πορείας πόνος; Π. Οὐδαμῶς. Κ. Πόσον ἀπέχει ἐντεῦθεν ὁ ἀγρὸς ὑμῶν; Π. Ε'ξ σαδίων, ἢ δυοῖν σημείων. Κ. Οὐ πόῤῥω ἀφέσηκε τῆς πόλεως· ἀτὰρ τί ἤνεγκες ἐμοὶ ἐκεῖθεν; Π. Μῆλα, ἄπια ϗ κάρυα. Κ. Τί δὲ, βότρυας ὀυκ ἤνεγκες; Π. Ε'τι ὄμφακές εἰσιν· ἤδη γὰρ περκάζειν ἄρχονται. Κ. Δός μοι τέως ἧς ἐκόμισας ὀπώρας. Π. Εἰσίωμεν εἰς τὸ ἐμὸν δωμάτιον· ἐκεῖ δώσω σοι. Κ. Προηγῦ αὐτὸς, ἐγὼ δ'ἕψομαι. Π Ε'ξελθ᾽ ὥσπερ βύλει ὀπώρας. Κ. Πολλήν οἶδά σοι χάριν, φίλε Πέτρε.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Α'θανάσιος. Βασίλειος.

Α. Πῶς ἔχεις, Βασίλειε; Β. Εὖ ἔχω, Θεῦ θέλοντος. Α. Η'δέως τῦτ᾽ ἀκύω. Β. Οἶδά σοι χάριν. Α. Πῦ ποτ᾽ ἦσθα; Β. Ε'ν τῷ διδασκαλείῳ. Α. Πόσε σπεύδεις; Β. Οἴκαδε. Α. Τί ποιήσεις οἴκοι. Β. Παρασκευάσομαι τὴν τράπεζαν. Α. Ποίᾳ ὥρᾳ ἐσθίεις; Β. Τῇ ἑνδεκάτῃ. Α. Ο'υτωσὶ πρωὶ ἀρισᾷς; Β. Πείθομαι τῷ πατρί. Α. Ποιεῖς, ὡς εἰκός. Β. Α'πειμι· ἔῤῥωσο. Α Αἰσίως! ἐς καλόν!

ΔΙΑΛΟΓ. Ζ!

Γεώργιος. Δημήτριος!

Γ. Ποῖ πορεύῃ, Δημήτριε; Δ. Εὐθὺ τῦ προαςείυ. Γ. Πρὸς τίνα; Δ. Πρὸς τὺς ἀγχιςέας ϗ τὺς κατὰ γένος προσήκοντας· ἕπυ μοι. Γ. Πότε ἐπανήξομεν οἴκαδε; Δ. Ἐν δέοντι. Γ. Ἴσως, ἀλλὰ μόγις. Δ. Διςάζεις, ὦ ἑταῖρε; Γ. Πόῤῥω οἰκῦσιν. Δ. Ἐπειξόμεθα. Γ. Χελώνης τρόπον. Δ. Τῇ νεαρᾷ ἡλικίᾳ πρέπει τάχος. Γ. Οὕτω φασὶ, μᾶλλον δ' ὕτως ἔχει. Δ. Μὴ κέκραχθι. Γ. Μόνω δέ ἐσμεν. Δ. Πῶς ὖν παίξομεν σήμερον; Γ. Σφαίρᾳ, μυΐνδα, βασιλίνδα, ἀποδιδρασκίνδα, ςροβίλῳ. Δ. Πόσον χρόνον; Γ. Ἄχρις ἂν ἑσπέρα γένηται. Δ. Ἡράκλεις! ὡς ὑπέρπολύ ἐςιν. Γ. Ἑορταὶ δέ εἰσιν. Δ. Εἴθε ἀποςαίημεν κακίας!

ΔΙΑΛΟΓ. Η!

Θεόδωρος. Νικόλαος.

Θ. Χαίρειν πάρεςιν, ὦ ἑταῖροι ϗ συχολαςαί! Ν. Τί ἐςι; τῦ χάριν ὑτωσὶ σφόδρα χαίρεις; Θ. Εὀρτὴ ἡμῖν παρέςη. Ν. Τίνα ἑορτὴν φῄς; Θ. Τὴν ἀπὸ τῶν μαθημάτων σχολήν. Ν. Πότε σχολὴν ἄξομεν ἀπὸ τῶν μαθημάτων; Θ. Σήμερον ἀπ' ἀρίςυ. Ν. Οὐκῦν παίξομεν; Θ. Πῶς ὖν παίξομεν; Ν. Σφαίρᾳ, ἢ πίλῳ. Θ. Παιδικὸν τυτὶ τὸ ἄθυρμα. Ν. Ὁποῖον αὐτὸς βύλει; Θ. Ἀγωνισώμεθα, εἰ δοκεῖ, τὸ ἅλμα. Ν. Οὐ ςέργω τῦτον τὸν ἀγῶνα. Θ. Τίνος

Τίνος ἕνεκα; Ν. Ἐκλύει γὰρ τοὺς πόδας. Θ. Οὐκ αἰσχύνῃ; Ν. Ἐπὶ τίνι ἂν αἰσχυνοίμην; Θ. Ἐφ' οἷς οὕτω νωθὴς πέφυκας. Ν. Οὔτοι νωθής εἰμι ἐγώ. Θ. Τί δὴ οὐ πηδήσεις; Ν. Ὅρα, μὴ προκαλέσῃ. Θ. Ἀλλὰ προκαλέσομαί γε. Ν. Εἴσῃ (γνώσῃ) ὅ,τι περ δύναμαι.

ΔΙΆΛΟΓ. Θ'

Ἀλέξανδρος. Βασίλειος. Γεώργιος. Δημήτριος.

Α. Εὔδιος ἡμέρα ἐστὶ σήμερον· ἐξίωμεν εἰς τὸ πεδίον παίζειν. Β. Πυθώμεθα πρῶτον τοῦ Διδασκάλου, εἰ ἔξεστιν ἡμῖν παίζειν, ἵνα μὴ πληγὰς παρ' αὐτοῦ λάβωμεν· δεινὸς γάρ ἐστι καὶ ὀξύχολος. Α. Εὖ λέγεις· οὕτω ποιήσωμεν. Γ. Ἀλλὰ θᾶττον ἄν τις ὑπ' ἀνδριάντος τύχοι ἐλέους, ἢ ὑπ' ἐκείνου ἐξουσίας τοῦ παίζειν. Δ. Καὶ μὴν πάλαι οὐδεὶς ἐκείνου μᾶλλον τοῦ παίζειν ἤρα. Β. Ἀληθῆ λέγεις, ἀλλὰ πάλαι ἐπελέληστο παῖς εἶναι· εἰς μάστιγας μὲν ἑτοιμότατός ἐστι καὶ ἐλευθέριος, ἐνταῦθα δὲ φειδωλότατός τε καὶ δυσκολώτατος. Δ. Χρὴ μέντοι πέμψαι τινὰ αἰτήσοντα ἡμῖν τὴν τοῦ παίζειν ἄδειαν. Α. Ἴτω ὅτῳ βουλομένῳ ἐστίν· ἐγὼ αἱροῦμαι οἴκοι καθῆσθαι, ἢ αὐτοῦ δεῖσθαι. Β. Οὐδεὶς πρὸς τὴν πρεσβείαν ταύτην τοῦ Γεωργίου δεινότερος. Α. Πάντως· ἀναιδὴς γάρ ἐστι καὶ λάλος· εἶτα καὶ τὸν νοῦν τοῦ ἀνδρὸς εὖ οἶδεν. Δ. Ἄπιθι, φίλε Γεώργιε, καὶ μεγίστην σοι ἅπαντες χάριν ἕξομεν. Γ. Πειράσομαι μέν, εἰ δὲ μὴ κατὰ νοῦν χωρήσειε, μὴ μέμψη-

σθε

σθε τὸν ὑμέτερον πρέσβυν. Α. Νῦν δὴ εὐφημῶμεν χάριν οἰωνȣ̃. Αʼ̓πιθι πρεσβευτὴς, ἐπάνιθι δυπωπητής! Γ. Αʼ̓πειμι· εἴηγε τυχεῖν τῆς εὐχῆς!

ΔΙΑʹΛΟΓ. Ι!

Γεώργιος. Καθηγητής. Αʼλέξανδρος. Βασίλειος. Δημήτριος.

Γ. Χαῖρε, Καθηγητά! Κ. Τί βȣ́λεται ȣ̃τος ὁ ἀδόλεσχος; Γ. Χαῖρε, Καθηγητὰ σεβασμιώτατε! Κ. Μὴ ἐνόχλει· εἰπὲ ὅ,τι βȣ́λει. Γ. Αʽ̓πας τῶν σῶν μαθητῶν ὁ θίασος αἰτεῖ ἐξȣσίαν (ἄδειαν) τȣ̃ παίζειν. Κ. Υʽμεῖς ȣ̓δὲν ποιεῖτε, ἀλλʼ ἢ παίζετε, ϗ ἄνευ ἀδείας. Γ. Οὐ λέληθέ σε τὴν σύνεσιν, ὡς ἡ ψυχὴ παραθήγεσθαι πέφυκε τῇ μετρίᾳ παιδιᾷ, ϗ ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐςι. Κ. Καλῶς δήπȣ μέμνησαι, ὅ σοι διαφέρει. Αʼνέσεως δεῖ τοῖς λίαν πονȣ̃σιν, ὑμῖν δὲ τοῖς ἀμελῶς σπȣδάζȣσι ϗ προθύμως παίζȣσι κημȣ̃ μᾶλλον χρεία ἐςὶ ϗ χαλινȣ̃, ἢ χαλαρῶν ἡνιῶν. Γ. Σπȣδάζομεν ἐκ τῶν ἐνόντων· ϗ εἴτι ἡμῖν ἄχρι τȣ̃δε ἠμέληται, τῇ ἐπιμελείᾳ τȣ̃ λοιπȣ̃ ἐπιδιορθωθήσεται. Κ. Τίς ἐχέγγυος τȣ́τȣ ἔςαι; Γ. Εʼ̓γωγε αὐτός. Κ. Οἶδα μὲν ȣ̓κ ἀσφαλὲς ὂν πιςεῦσαί σοι, πεῖραν δὲ νῦν λήψομαι, εἰ ἀξιόπιςος εἶ· εἰ ψεύσαιο τῷ λόγῳ, ȣ̓δὲν τȣ̃ λοιπȣ̃ παρʼ ἐμοὶ διαπράξῃ. Παιζέτωσαν μὲν, ἀλλʼ ἀγεληδὸν ἐν τῷ πεδίῳ, ϗ ἐν καιρῷ οἴκαδε ἐπανίτωσαν πρὶν ἢ τὸν ἥλιον καταδῦναι. Γ. Εʼ̓ςαι· ἔτυχον τῆς ἀδείας, καίπερ δυχερῶς. Α. Ωʼ̃ φίλη

κεφα-

κεφαλή! ἅπαντές σε περὶ κῆρι (ἐκ ψυχῆς) φιλȣ̃μεν. Γ. Α'λλὰ μεταξὺ φυλακτέον ἡμῖν βοαῖς ἀπρεπέσι μὴ χρῆσθαι, μηδ' ἔρισιν ἀπαιδεύτοις· ἐχέγγυος γὰρ ἐγενόμην ὑπὲρ ἁπάντων. Β. Φυλαξόμεθα· ἀτὰρ ποῖον τῆς παιδιᾶς εἶδος μάλιςα ἀρέσκει; Δ. Περὶ τȣ́τȣ ἐν τῷ πεδίῳ βȣλευσόμεθα.

Δ Ε Κ Α' Σ Ζ!

Περὶ Α'γώνων τινῶν ϗ Παιδιῶν.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Α'λέξανδρος. Βασίλειος.

Α. Οὐδὲν ȣ̃τως ἅπαν τὸ σῶμα ἀσκεῖ, ὡς ἡ σφαῖρα, ἀλλὰ χειμῶνος ὥρα μᾶλλον, ἢ θέρȣς ἁρμόττει. Β. Οὐδεμία τȣ̃ ἐνιαυτȣ̃ ὥρα ἡμῖν ȣ̓χ ἁρμόττȣσά ἐςι πρὸς τὸ παίζειν. Φ. Διακληρωσώμεθα ȣ̃ν τȣ̀ς ἑταίρȣς· μικρȣ̃ γὰρ δεῖν ἅπαντες ἐφάμιλλοι ἐσμεν. Ω῞ςε μικρὸν διαφέρει, τίς τίνι παραζεύγνυτο. Β. Σὺ μέντοι μακρῷ ἐμȣ̃ εὐςοχώτερος ὑπάρχεις. Α. Σὺ δὲ εὐτυχέςερος. Β. Κἀνταῦθα δύναται ἡ τύχη; Α. Πανταχȣ̃ ἐκείνη κρατεῖ. Β. Εἶα βάλωμεν κλῆρον! εὖ πέπτωκεν! ἐλάχομεν ȣ̃ς ἐβȣλόμεθα. Α. Καὶ ἡμῖν τῆς ἑταιρείας ȣ̓ μεταμέλει. Β. Α῎γε ἀνδριζώμεθα. Ε῞καςος τὴν ἑαυτȣ̃ χώραν τηρείτω· σὺ ἴςασο ὄπι-

ὄπισθεν ἐκδεξόμενος τὴν σφαῖραν, ἣν διαπτήσῃ. Α. Σὺ ἐνταῦθα ἐπιτήρει ἀπωθούμενος δεῦρο ὑπὸ τῶν ἀνταγωνιστῶν πεμπομένην. Β. Φέρε αἰσίοις ὄρνισι βάλετε τὴν σφαῖραν! ὃς ἂν ῥίψειε μηδὲν προειπὼν, μάτην ῥίψει. Α. Ἠνὶ λαβὲ αὐτήν. Β. Ῥῖψον, ἀλλ' ἐπ' εὐθείας· οὔτοι καλῶς βάλλεις. Α. Σοὶ μὲν δὴ, ἡμῖν δὲ πάνυ καλῶς. Β. Ὡς βάλλεις, οὕτω τοι βαλῶ· ἄμεινον δὲ σὺν δίκῃ παίζειν. Α. Ἐν ἀθύρμασι καλὸν τέχνῃ νικᾶν. Β. Κἂν πολέμῳ· πλὴν ἀλλ' ἑκάτερον ἔχει τοὺς νόμους. Α. Λαβὲ αὖ πάλιν τὴν σφαῖραν. Β. Ῥῖψον αὐτήν· ἐδεξάμην· τριάκοντα ἔχομεν· νενικήκαμεν. Α. Πρὸ τῆς νίκης ᾄδεις τὸ ἐγκώμιον· ὀψόμεθα παρὰ τίσιν ἔσται ἡ νίκη. Ἄγε βάλε. Β. Ἠνὶ βάλλω. Α. Εὖγε! εὐτυχήσαμεν· πλείω ἔχομεν. Β. Νενικήκατε· ἀλλ' ἅλις ἡμῖν σήμερον πέπαικται. Ἀπίωμεν ἤδη οἴκαδε. Α. Καλῶς λέγεις· ἤδη γὰρ ἑσπέρα κατέλαβε.

ΔΙΑ'ΛΟΓ. Β!

Γεώργιος. Δημήτριος.

Γ. Ἄγε παλαίωμεν, εἰ δοκεῖ. Δ. Οὐ δέχομαι τὴν πρόκλησιν. Γ. Τίνος ἕνεκα; Δ. Ἐπείπερ ἀσθενὴς πέφυκα πρὸς τοῦτον τὸν ἀγῶνα. Γ. Ἀλλ' ἡ πάλη θαυμαστὸν ὅσον ῥώννυσι τὸ σῶμα. Δ. Οἶδα τοι, ἀλλ' οὐκ ἴση ἡ ἰσχύς. Γ. Οὐκ ἐν ἰσχύϊ, ἀλλ' ἐν τέχνῃ τὸ πάλαισμα. Δ. Δέδοικα, μή με σφοδρῶς καταβάλῃς. Γ. Μηδὲν δείσῃς· ἄγε περιπλεξώμεθα. Δ. Μὴ οὕτω θλίβε, μηθ' ὑποσκέλιζέ με. Γ. Αὐτὰς

ὑπα-

ὑποσκελίζεις, ἀλλ' ἐν κατεπάλαισά σε. Δ. Ὁμολογῶ τὴν ἧτταν, ἀλλὰ πειρασώμεθα αὖ πάλιν. Γ. Τί ὑφέλκεις τὼ πόδε, ὥστε με πεσεῖν; Δ. Παρὰ σοῦ τοῦτ' ἔμαθον. Γ. Οὐδὲν ἧττον αὖ πάλιν κατέβαλόν σε. Δ. Ἰσχυρώτερος πέφυκας. Γ. Οὐ μὴν ἀλλὰ καὶ ἐμπειρότερος. Δ. Νενίκηκας σήμερον, αὔριον δ' ὀψόμεθα, τίς ὁ νικήσων.

ΔΙΑ'ΛΟΓ. Γ!

Εὐστάθιος. Θεοδόσιος. Πέτρος.

Ε. Ἀγωνισώμεθα δρόμον, Θεοδόσιε. Θ. Ἵππον ἐς πεδίον καλεῖς, τὸ τοῦ λόγου. Ε. Οὐδ' αὐτὸς ὄψῃ χωλοῦ δρόμον, τὸ δὴ λεγόμενον. Θ. Περίγραψον οὖν τὸ στάδιον. Ε. Οὑτοσὶ μὲν ὁ λίθος ἔστω ἡ βαλβὶς, ἐκείνη δὲ ἡ δρῦς τὸ τέρμα. Ἀτὰρ τίποτε βραβεῖον ἔσται τῷ νικήσαντι; Θ. Ἱκανὸν ἆθλον ἔσται αὐτῷ ὁ παρὰ πάντων ἔπαινος. Π. Τῷ ἡττηθέντι μᾶλλον δοτέον ἂν εἴη βραβεῖον παραμυθίας ἕνεκα. Ε. Ἔστω δὴ ἆθλον τῷ ἡττημένῳ στέφανον ἐξ ἀκανθῶν περικειμένῳ ἐς τὸ ἄστυ ἐπανιέναι. Θ. Δεξαίμην ἄν, ἢν αὐτὸς προηγῇ αὐλῶν. Ε. Ἄγε δὴ δράμωμεν ἀπὸ τῆς βαλβίδος ἐπὶ τὸ τέρμα. Θ. Ἤδη κατέλαβόν σε, μᾶλλον δὲ παρήλασα, κἀπὶ τὸ τέρμα ἀφικόμην. Ε. Νυνὶ νενίκηκας· ἀλλ' ἀναδράμωμεν ἀπὸ τοῦ τέρματος ἐπὶ τὴν βαλβίδα. Θ. Ἰσχυρὸς καύσων ἐστίν. Π. Οὐδὲν θαυμαστὸν σφοδρῶς φλέγοντος τοῦ ἡλίου. Θ. Ἅλις ἡμῖν ἱδρῶται. Ε. Παυσώμεθα τοίνυν τοῦ τρέχειν μεμνημένοι τοῦ· Μηδὲν ἄγαν.

ΔΙΑ'-

ΔΙΑ'ΛΟΓ. Δ!

Κωνςαντῖνος. Νικόλαος.

Κ. Γυμνασώμεθα δίσκοις, εἰ δοκεῖ. Ν. Λάβωμεν πεῖραν, εἰ ἄῤῥενές ἐσμεν. Κ. Πȣ̃ εἰσιν οἱ δίσκοι; Ν. Ἡνὶ δύω ὅμοιοι· ȣ̓κ ἂν διαγνοίης ἅτερον θατέρȣ. Ὁπότερον ἂν ἐθέλῃς, ἑλȣ̃. Κ. Βάλε σὺ πρῶτος· εὖγε πόῤῥω βέβληκας! Ν. Μὴ σκῶπτε, ἀλλὰ βάλε αὐτός. Βαβαὶ τῆς ἰσχύος! Κ. Νικῶ δ᾽ ὅμως· εἰμὴ ὁ ἐπικατάρατος λίθαξ ἐκεῖνος ἐμποδὼν ἐγένετο, ποῤῥωτέρω ἂν ἔβαλον. Ν. Θȣ̃ σημεῖον. Κ. Ἤδη τέθεικα· βάλε ȣ̃ν. Ἐξαίσιος πάντως ἡ βολή! Ν. Μὴ γέλα, πρὶν ἂν νικήσῃς. Κ. Ἀλλ᾽ ἤδη νενίκηκα ποῤῥωτέρω βαλών. Ν. Οὔπω ὁμολογῶ τὴν ἧτταν. Κ. Τί φῄς; ȣ̓ γινώσκεις τὸν νικητήν; Ν. Βάλε αὖ πάλιν, ὅπως ἰδὼν πιςεύσω. Κ. Ὁρᾷς, ὡς ποῤῥωτέρω ἔβαλον; Ν. Εὖγε! νενίκηκας.

ΔΙΑ'ΛΟΓ. Ε!

Παῦλος. Στέφανος.

Π. Ἀγωνισώμεθα, εἰ δοκεῖ, Στέφανε, τὸ ἅλμα. Σ. Οὗτος ὁ ἀγὼν ȣ̓ λυσιτελεῖ τοῖς ἠριςηκόσιν. Π. Ὅτι τί δή; Σ. Ἐπείπερ τὸ τῆς γαςρὸς φορτίον βαρύνει τὸ σῶμα. Σ. Ἀλλ᾽ ȣ̓χ ἡμῶν πάντως γε τῶν λιτῶς ἠριςηκότων. Σ. Ποῖον ȣ̃ν τῶν τȣ̃ ἅλματος εἰδῶν ἐςί σοι φίλον; Π. Ὅπερ καὶ σοὶ ἂν δόξειε. Σ. Ἁλώμεθα τοίνυν ἑνὶ τῶν σκελῶν. Π. Τȣτὶ τὸ ἅλμα χαιρέτω. Σ. Πη-

Σ. Πηδήσωμεν ἂν ἀμφοῖν τοῖν ποδοῖν. Π. Τί ποτε δὲ λήψεται ὁ μέγιςον πηδήσας; Σ. Στέφανον ἐκ κοτίνε, εἰ δὲ βέλει, ἐλαίας. Π. Θῶμεν ἂν τὲς ὅρες· ἐνταυθοῖ μὲν ἔςω ὁ βατὴρ, ἐκεῖ δὲ τὸ σκάμμα. Ἄγε δὴ πήδησον αὐτὸς πρῶτος. Σ. Ἤδη πηδῶ, ὅρα. Π. Γιγαντιαῖον ἀτεχνῶς τὸ πήδημα! Σ. Μὴ ἐρεσχέλει, πρὶν ἂν αὐτὸς πηδήσῃς· Ὑπεργιγαντιαῖον ὄντως τὸ σόν! Π. Ἀλλὰ πολλῷ σε τῷ μέτρῳ παρήλασα. Σ. Πάντως ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷς, τὸ δὴ λεγόμενον.

ΔΙΑΛΟΓ. ΣΤ!

Τιμόθεος. Φίλιππος.

Τ. Κολυμβήσωμεν, Φίλιππε. Φ. Ἔμοιγε ἐκ ἀρέσκει ὁ τῶν βατράχων βίος· χερσαῖον γάρ εἰμι, ἐκ ἀμφίβιον. Τ. Ἀλλὰ τῶν ἐπαινεμένων ἐςὶ τετὶ τὸ εἶδος τῆς ἀσκήσεως. Φ. Μᾶλλον δὲ τῶν χρησίμων. Τ. Πρὸς τί; Φ. Πρὸς τὸ σωθῆναι, εἰ δεήσοι ποτὲ ἐν ποταμῷ ἢ θαλάττῃ κινδυνεῦσαι. Τ. Ἀγαθὴν ϗ σωτήριον λέγεις τὴν τέχνην· ἐγὼ δὲ ἐκ ἐπίςαμαι νεῖν, ἀλλ᾽ ἔτε θαῤῥῶ ἐμαυτὸν ἐπαφιέναι τῷ ὕδατι. Τ. Μαθεῖν σε δεῖ· ἐδεὶς γὰρ τεχνίτης ἐγεννήθη. Φ. Αὐτὸς δὲ πολλὲς τῶν τοιέτων τεχνιτῶν ἀκήκοα κεκολυμβηκέναι μὲν, ἐκ ἐκκεκολυμβηκέναι δέ. Τ. Πειράσῃ πρῶτον φελλῷ ἐρειδόμενος. Φ. Οὐ μᾶλλον τῷ φελλῷ πέποιθα, ἢ τοῖς ποσίν· Εἰ τοίνυν φίλον σοί ἐςι νήχεσθαι, θεωρεῖν μᾶλλον βέλομαι, ἢ νεῖν.

ΔΙΑ-

ΔΙΑΛΟΓ. Ζ!

Ἀνδρέας. Βαρνάβας. Γεώργιος. Διονύσιος. Εὐθύμιος.

Α. Ἄλλῳ μὲν γὰρ ἄλλο φίλον ἐστὶν, ἐμοὶ δὲ τὸ θηρᾶν. Β. Κἀμοὶ τοῦτό γε φίλον· ἀλλὰ ποῦ οἱ κύνες; ποῦ τὰ θήρατρα; ποῦ αἱ ἄρκυες; Α. Χαιρέτωσαν οἱ κάπροι, αἱ ἀλώπεκες καὶ αἱ ἔλαφοι· αὐτοὶ ἐνεδρεύσομεν τοὺς δασύποδας. Γ. Ἐγὼ δὲ λίνα περιβαλῶ ταῖς ἀκρίσιν· ἐπιβουλεύσω ταῖς βουταλίσιν. Δ. Αὐτὸς δὲ βατράχους αἱρήσω. Ε. Ἐγὼ δὲ ψυχὰς θηρεύσω. Δ. Χαλεπόν ἐστι διώκειν πτηνά. Ε. Χαλεπὸν μὲν, καλὸν δὲ, εἰ μὴ κρεῖττον ἡγῇ ἕλμινθας ἀγρεύειν, ἢ κοχλίας ἀπτέρους ὄντας. Δ. Βούλομαι μᾶλλον ἰχθῦς αἱρεῖν· ἔστι γάρ μοι καλὸν ἄγκιστρον. Ε. Πόθεν δὲ σκευάσεις τὸ δέλεαρ; Δ. Ἑλμίνθων πάντα ἐστὶ πλέα. Ε. Ἀλλ' οὐ τῷ αὐτῷ ἁλίσκονται πάντες δελέατι. Δ. Οἶδά τι τῶν ἐντόμων, ὥσπερ τοῖς πλείστοις ἐπιβουλεύειν φιλῶ. Ε. Σὺ μὲν ὅρα, εἴπερ ἔχεις τοὺς ἰχθῦς ἐξαπατᾶν, ἐγὼ δὲ τοῖς βατράχοις πράγματα παρέξω. Δ. Τῷ τρόπῳ; τῷ βόλῳ; Ε. Οὐκ, ἀλλὰ τῷ τόξῳ. Δ. Καινὸς οὗτος τρόπος τοῦ ἁλιεύειν. Ε. Οὐκ ἄχαρις μέντοι. Ὄψει καὶ ὁμολογήσεις, μᾶλλον δὲ θαυμάσεις. Γ. Τί δὲ, εἰ καρύοις παίζοιμεν; Α. Τὰ κάρυα τοῖς παισὶ καταλίπωμεν· ἡμεῖς ἁδρότεροί γε ἐσμεν. Γ. Παῖδες ἀλλ' οὖν ἔτι τυγχάνομεν ὄντες. Α. Οἷς γε μὴν πρέπον ἐστὶ καρύοις παίζειν, τούτοις οὐκ ἀπρεπὲς κάλαμον, ὡς ἵππον, ἐπιβαίνειν. Γ. Σὺ οὖν εἰπὲ τὸ τῆς παιδιᾶς εἶδος· ἔγωγε στέρξω,

ὅπερ

ὅπερ ἂν σοι ἀρέσκοι. Β. Κἀγὼ πρὸς πᾶν ἕτοιμος ἔσομαι, ὅπερ ἂν ὑμῖν φίλον εἴη.

ΔΙΑʹΛΟΓ. Η!

Κυριακός. Θεόφιλος.

Κ. Αʹγε παίξωμεν κώνοις. Θ. Οὐχ ἡδέως παίζω κώνοις, εἰ μή τῳ χαριζόμενος. Κ. Τίνος ἕνεκα; Θ. Οʹτι ἔργον ἐςὶ τὰς κώνας ἐπιτιθέναι καταβληθέντας. Κ. Εʹυροιμὲν ἂν ἴσως, ὃς ἂν τούτους ἐπιτιθείη. Θ. Τουτὶ τὸ σφαιριςήριον πάνυ σμικρόν ἐςιν. Κ. Οὐδὲν διαφέρει. Θ. Συντίθεμαι ἅπαντας τὰς ἐννέα κώνας καταβαλεῖν. Κ. Πῶς δὲ παίξομεν; Θ. Οʹς ἂν πλείους καταβάλλοι κώνας, οὗτος κερδανεῖ· ὃς δ᾽ ἂν ἐλάττους, οὗτος ἀποβαλεῖ. Κ. Θοῦ τοίνυν τὸ σημεῖον. Θ. Ηʹδη τέθεικα· βάλε τὴν σφαῖραν. Κ. Ἠνὶ βάλλω, ὅρα. Θ. Οὐ πάνυτοι πόῤῥω ἕςηκας τοῦ σημείου. Κ. Λίαν ἀκριβὴς εἶ τάγε τοιαῦτα. Θ. Πόσους κώνους κατέβαλες; Κ. Εʹξ κατήνεγκον. Θ. Ηʹρακλῆς εἶ ἐν τῷ βάλλειν τὴν σφαῖραν. Κ. Αʹγε βάλε αὐτός. Θ. Ηʹδη βάλλω, ὄψῃ. Κ. Αʹπαντας τοὺς ἐννέα ςροβίλου δίκην κατήνεγκες. Θ. Αʹλις ἡμῖν πέπαικται κώνοις. Κ. Εὖ λέγεις· Παυσώμεθα, ἵνα μὴ πρὸς τοὺς τῆς παιδείας ἀποκάμνωμεν πόνους.

ΔΙΑʹΛΟΓ. Θ!

Μαθητής. Παιδαγωγός.

Μ. Τί ἔχουσιν οὗτοι οἱ δύω παῖδες ταῖς δεξιαῖς; Π. Σφαίρας. Μ. Τί ποιήσουσι ταύταις;

Π. Βα-

Π. Βαλοῦσιν αὐτὰς ἐπὶ τοὺς κώνους, οὓς ἐκεῖ ὀρθωθέντας ὁρᾷς. Μ. Τί δὲ τοὺς κώνους σφαίραις βάλλουσιν; Π. Ἵνα τινάς γε, ἢ ἅπαντας καταβάλλωσιν. Μ. Ὁπότερος ἂν τοὺς πλείστους κώνους καταβάλλοι ἡττηθήσῃ; Π. Οὐμὲν οὖν· ἀλλ' οὗτος μᾶλλον νικήσει. Μ. Πόσους κώνους, ἀντιβολῶ, δύναται ὁ παῖς καταβαλεῖν; Π. Πόσους δύναται; πυνθάνῃ· δυνατὸν αὐτὸν ἅπαντας τοὺς ἐννέα κατενεγκεῖν. Ὁρᾷς γὰρ τρεῖς στίχους τῶν κώνων, ἐν ὧν ἑκάστῳ τρεῖς κῶνοί εἰσι· τρὶς δὲ τρία ληφθέντα ποιοῦσιν ἐννέα. Ἀλλ' νυνὶ τρεῖς μόνους κατήνεγκεν, καὶ μικροῦ ἐδέησε διαμαρτεῖν τὴν σφαῖραν. Μ. Τί ποτε βούλεται οὗτος ὁ παρεστηκὼς παῖς καὶ γυμνὸς τοὺς πόδας; Π. Ὑπηρετεῖται τοῖς παίζουσι τῶν παίδων ἀνορθῶν τοὺς καταβληθέντας κώνους, καὶ τὰς σφαίρας ἀντικομίζων, ἢ ἀναπέμπων. Μ. Τοῦ χάριν κατέθετο τὸ ἱμάτιον καὶ τὸν πῖλον; Π. Ἵν' εὐζωνότερος καὶ ἐπιτηδειότερος εἴη πρὸς τὸ ἐπιτιθέναι τοὺς κώνους. Μ. Τί δέ, εἰ τοῖς ποσὶν αὐτοῦ προσβάλλοιεν οἱ κῶνοι; Π. Ὅπως μὴ τοῦτο γένηται, φυλακτέον αὐτῷ, καὶ σκεπτέον, ὅποι φέρεται ἡ σφαῖρα. Μ. Τίνος δ' ἕνεκα οὗτοι οἱ παῖδες τῇ δεξιᾷ ἔχουσι τὰς σφαίρας, οὐ τῇ λαιᾷ; Π. Διὰ τὸ τὴν δεξιὰν μᾶλλον ἠσκημένην εἶναι, καὶ ἑπομένως ἐπιτηδειοτέραν πρὸς τὸ πέμπειν τὴν σφαῖραν· δεῖται δὲ δεξιότητος ἡ τῶν κώνων παιδιά, καὶ ξυμβάλλεται πρὸς εὐεξίαν. Μ. Ἰδοὺ πέντε ἤδη κῶνοι κατεβλήθησαν. Π. Πόσοι οὖν ὑπελείφθησαν; Μ. Τέσσαρες. Π. Εἰ τρεῖς κῶνοι μετὰ τὴν βολὴν μείναιεν, πόσους δεῖ τὸν παῖδα ἀνορθῶσαι; Μ. Ἕξ· τρεῖς γὰρ καὶ ἓξ ὡσαύτως ἐννέα ποιοῦσι.

ΔΙΑʹΛΟΓ. Ι!

Γεώργιος. Δημήτριος.

Γ. Βȣ́λει παίξωμεν σφαιρίοις; Δ. Ἔγωγε· πάνυ γὰρ ἥδομαι ταύτῃ τῇ παιδιᾷ. Γ. Ἀνάςηθι ȣ̃ν. Δ. Πότερος ἡμῶν ἄρξεται; Γ. Ἔγωγε ὁ πρεσβύτερος. Δ. Οὐ μὲν ȣ̃ν· ἀλλ᾽ ἐγὼ ὁ νεώτερος. Γ. Πῶς ȣ̃τως; Δ. Ὅτι δεῖ παντὸς μὲν καὶ ἔργȣ καὶ λόγȣ τὸν πρεσβύτερον ἡγεῖσθαι, παιδιᾶς δὲ τὸν νεώτερον. Γ. Ἔςω σὴν χάριν. Δ. Πόσας παιδιὰς παίξομεν; Γ. Ὅσας αὐτὸς βȣ́λει. Δ. Παίξωμεν ȣ̃ν ἕξ. Γ. Ἀγαπητῶς ἔχω. Δ. Ἄγε κύλισον τὰ σφαίρια. Γ. Πότερον βȣ́λει τὸ λευκὸν ἢ τὸ ἐρυθρόν; Δ. Τὸ ἐρυθρόν. Εὖγε! ἔωσας αὐτὸ κατὰ τῆς ὀπῆς. Γ. Κύλισον νῦν αὐτός. Οὐκ ἐπέβαλες. Δ. Ἀπείρως ἔχω τῆς παιδιᾶς ταύτης. Γ. Παῖζε θαμὰ καὶ μαθήσῃ, ὥσπερ ἐγώ. Δ. Καλῶς ἂν παρῄνεις, εἰμή μέ τι πραγματικώτερον ἀνθεῖλκεν. Γ. Ἔασον νῦν ταῦτα, ἀλλ᾽ ὦσον τὸ ἐρυθρὸν κατὰ τῆς ὀπῆς. Δ. Πειράσομαι, ἢν οἷός τε ὦ. Γ. Εὖγε! ἔωσας αὐτό.

ΔΕΚΑʹΣ

ΔΕΚΑʹΣ Η!

Περὶ Εὐωχίας καὶ Περιπάτȣ.

ΔΙΑʹΛΟΓΟΣ Α!

Δημήτριος. Γεώργιος.

Δ Χαῖρε, φίλτατε Γεώργιε! Γ. Νὴ καὶ σύγε φιλανθρωπότατε Δημήτριε! τί ποιεῖς; Δ. Ἔχω τι, ἐφ᾽ ᾧ χαλεπαίνω σοι. Γ. Πῶς ȣ̓́τω; τί ἐπλημμέλησα; Δ. Ὅτι τὸ παράπαν ἐμȣ̃ ἀμελεῖς, ϗ ȣ̓́τω σπανίως ἐπισκέπτῃ. Γ. Ἀλλὰ τȣτὶ ȣ̓κ ἐμῇ κάκῃ ξυμβέβηκε. Συγγνώμην μοι δώσεις τῶν ἀσχολιῶν, ὑφ᾽ ὧν ȣ̓κ ἔξεστί μοι ὁσάκις ἐπιθυμῶ ἐπισκέπτεσθαί σε. Δ. Οὕτω δέ σοι συγγνώσομαι, ἢν αὔριον παρ᾽ ἐμοὶ ἀριστήσῃς. Γ. Ἐπιεικεῖ ὁμολογίᾳ καταλλάττῃ μοι, Δημήτριε· πάνυ ἄσμενος ἥξω. Δ. Ἀλλ᾽ ὅρα, μήμε ψεύσῃ. Γ. Οὐ ψεύσομαίγε ἐν τȣ́τῳ· ἀτὰρ ȣ̃τος φυλάττȣ πλέον τι τῶν καθ᾽ ἡμέραν παρασκευάσαι. Δ. Φυλάξομαι ϗ πάνυ λιτῇ τραπέζῃ ξενιῶ σε· Ἀλλ᾽ ὥρα σοι πάσας τὰς φροντίδας ϗ μερίμνας, καὶ εἴτι ἄλλο τῇ εὐθυμίᾳ πολέμιόν ἐστιν, οἴκοι καταλιπεῖν. Γ. Ἔσται· χαλάσομεν τὸ μέτωπον, ϗ ἱλαρȣ̀ς ἑαυτȣ̀ς παρέξομεν. Δ. Μέμνησο τῇ δωδεκάτῃ ὥρᾳ παρεῖναι. Γ. Παρέσομαι· τέως δ᾽ ἔρρωσο.

ΔΙΑʹΛΟΓ. Β!

Γεώργιος. Δημήτριος.

Γ. Χαῖρε, Δημήτριε! Δ. Καὶ σύγε, φίλε Γεώργιε· εὖ ἐποίησας παραγενόμενος. Γ. Οὔπω; οἶμαι, ἤκουσαι ἡ δωδεκάτη. Δ. Μᾶλλον δὲ πάλαι ἠκούσθη· ἤδη ἐφέστηκεν ἡ πρώτη. Γ. Μικρὸν διαφέρει, εἰ μετὰ τὴν δωδεκάτην ἐλήλυθα, ἢ οὔ, μόνον εἰμὴ μετὰ τὸ ἄριστον· ἀτὰρ ἐς τί ἡ τοσαύτη παρασκευή; μὴ λύκον με οἴει, ἢ γῦπα; Δ. Οὐδέτερον, ἀλλ᾽ οὐδὲ τέττιγα, ὥστε σὲ δρόσῳ τρέφεσθαι. Οὐδὲν περιττόν· ἄμεινον ἀλλ᾽ οὖν ὑπολείπεσθαί τι, ἢ ἐλλείπεσθαι. Γ. Οὐχ οὕτως ὡμολογήθη νῷν. Οὐδὲν εἰμὴ τὰ εἰθισμένα κατεπηγγείλω. Δ. Οὐδ᾽ ἄλλα ἕξομεν· ἀτὰρ ἐπεὶ ἕτοιμά ἐστι πάντα, δεηθέντες τοῦ Θεοῦ ἀνακλιθῶμεν. Γ. Ποῖός τίς ἐστιν οὗτος ὁ ζωμός; Δ. Ἐσκευασμένος ἐκ κρέως καὶ ὀρύζης. Γ. Φεῦ! ὡς ζεῖ. Δ. Φύσα τοίνυν πρὶν ἢ ῥοφῆσαι. Ὁποῖός τίς ἐστι τὴν γεῦσιν; Γ. Ἥδιστος· τοιοῦτον ἔγωγε ζωμὸν πάνυ ἡδέως προσφέρομαι. Δ. Οὐχ ἧττον αὐτός. Ἆρον, παῖ, τὴν παροψίδα, καὶ δὸς τῇ θεραπαίνῃ.

ΔΙΑʹΛΟΓ. Γ!

Δημήτριος. Γεώργιος.

Δ. Ἤδη τοῦτον τὸν ἐκτομίαν ἀλεκτρυόνα διατεμοῦμεν. Πότερον βούλοιο ἂν τοῦ πτεροῦ μᾶλλον, ἢ τοῦ μηροῦ; Γ. Ὁπότερον ἂν ἐθέλῃς. Οὐδὲν

δὲν ἐμοὶ διαφέρει. Δ. Ἐν τῷ τοιῷδε τοῖς πτεροῖς τὰ πρωτεῖα ἀποδεδώκασι. Λάβε τοίνυν τὸ πτερόν. Γ. Αὐτὸς δὴ ἐμοὶ ὑπηρετήμενος ἐδὲν ἐσθίεις. Ἔγωγέ σοι τὴν ἑτέραν τῶν πτερύγων ἐπιδώσω. Δ. Μὴ φοβῦ, ὡς ἀφέξομαι ἐν τῷ δείπνῳ σιτίων ἅπτεσθαι. Παῖ! πῦ εἶ; τί δὲ ἔςηκας; ἔοικας τὸ παράπαν ἡμῶν ἀμελεῖν. Οὐχ ὁρᾷς, πόσος αὐχμὸς ἐνταῦθά ἐςιν; εἰ δὲ ἐν τοιαύτῃ τῶν πραγμάτων καταςάσει ἐμπρησμὸς γένοιτο, πῶς ἂν ἀποσβέσαιμεν; δὸς τῷ Γεωργίῳ πλήρη τὸν κύαθον. Γ. Ὁμολογῶ ἐμοὶ ἔθος εἶναι παρὰ τὸ δεῖπνον πίνειν. Δ. Ἀλλὰ τὶ παθὼν, ὦ λῷςε, ἐχ ἱλαρός εἶ; τὸν Χρύσιππον ὑποκρίνῃ, Μελίσσης σοι δεῖ. Γ. Τίνα τῦτον μῦθον ἐμοὶ διηγῇ; Δ. Χρύσιππος ὁ Φιλόσοφος λέγεται ἕτω τοῖς ἑαυτῦ σοφίσμασι προσεσχηκέναι, ὥς ἐν τῷ δειπνεῖν ἂν τῷ λιμῷ διεφθάρη, εἰ μὴ ἂν αὐτὸν Μέλισσα ἡ παιδίσκη ἐψώμισεν. Γ. Ἀλλ' ἐκεῖνος σχολῆγε ἄξιος ἦν σώζεσθαι· εἰ δέ σε ἡ σιγὴ ἀνιᾷ, ἔχεις, ᾧ ἂν αὐτὴν καταπαύσαις. Δ. Μέμνημαι· ζωρότερον ποτέον ἡμῖν. Γ. Αὐτὸν κέκρυκας τὸν βατῆρα τῆς θύρας. Δ. Προπίνω σοι Γεώργιε. Γ. Ἡδέως δέχομαι. Ὄναιο τῦ οἴνυ!

ΔΙΆΛΟΓ. Δ!

Δημήτριος. Γεώργιος.

Δ. Παῖ! ἆρον ταῦτα τὰ λεκάνια (τρυβλία) ϗ παράθες ἕτερα ἐδέσματα. Γ. Ὑπηρετησάμην ἄν σοι, εἰ ᾔδειν ὅ,τι μάλιςά σοι ἡδύ ἐςιν.

Δ. Ἄ-

Δ. Ἄξιον δήπȣ θαυμάζειν, πόθεν τοσαύτη διαφορὰ ἐν ταῖς ἀνθρωπίναις Ὑπερῴαις. Γ. Πάντως ὐκ ἂν ῥαδίως εὕροις δύω τοῖς αὐτοῖς σιτίοις χαίροντας. Πολλὰς οἶδα μηδ' ὀσφραίνεσθαι τȣ̃ τυρȣ̃ ἀνεχομένȣς· εἰσὶν οἳ τὸ ὕδωρ πρὸ τȣ̃ οἴνȣ τιθέασι. Δ. Καὶ μὴν εἶδον ἄνθρωπον μήτ' ἄρτω μήτ' οἴνω χρώμενον. Γ. Οὗτος ἀποπεμπτέος ἂν εἴη ἐπὶ τὰ ἔθνη, ἅπερ ἀντ' ἄρτων καὶ κρεῶν ἰχθῦς ὑπ' ἀνέμȣ σκληρυνθέντας προσφέρονται. Δ. Ἀλλὰ μεταξὺ λόγων ἐπιλελήσμεθα τȣ̃ σιτεῖσθαι. Βȣ́λει τι πλέον; ἑταῖρε! Γ. Οὐδ' ὅ,τι ȣ̃ν. Οὕτως ἐκορέσθην, ὡς ὐκ ἂν ἔτι προσφέρεσθαι. Δ. Οὐ βȣ́λει πίνειν; Γ. Ἱκανῶς (ἅλις) ἔπιον.

ΔΙΑΛΟΓ. Ε!

Δημήτριος. Γεώργιος.

Δ. Παῖ, ἀποσκεύασαι τὴν τράπεζαν, καὶ παράθες τὰ τραγήματα. ἄλλαξον τὰς κύκλȣς (δίσκȣς) καὶ ἔνεγκε μῆλα, ἄπια, κοκκύμηλα. Γ. Ὡς ἡδέα ἐςὶ ταῦτα πάντα. Δ. Νῦν, παῖ, παράθες τυρὸν, ἵνα τὸ γαςρίδιον, ὥς φασι, πωμάσωμεν. Γ. Τὸ ἐμὸν ἤδη πεπώμαςαι. Δ. Ἔκπιε τὴν κύλικά σȣ, Γεώργιε. Γ. Πεποίηκα. Ἀναςῶμεν ἤδη, εἰ δοκεῖ, καὶ τῷ Θεῷ ὅτω ποικίλοις καὶ ἡδέσι βρώμασι καὶ πόμασιν ἡμᾶς ἀναψύξαντι ὕμνȣς εὐχαριςηρίȣς ἀποθύσωμεν. Δ Χάριν οἶδά σοι, φίλτατε Γεώργιε, ἐπὶ τȣ̃το τὸ ἄριςον ἐλθεῖν ἀξιώσαντι· δέομαί σȣ ςέργειν αὐτῷ καίπερ εὐτελεῖ. Γ. Ἐγὼ δὲ μᾶλλον μεγίςην χάριν ὀφείλω σοι, προσφιλέςατε Δημήτριε, ἐπὶ

ἐπὶ τῦτο τὸ ἄριςον καλέσαντι, ὥπερ ὐκ ἔσθ' ὅ,τι ἄντις ἐπιμέμψαιτο, εἰ μὴ ὅτι πολυτελέςερον ἦν τῦ δέοντος. Δ. Πάνυ εὐγνωμόνως κρίνεις· ἀτὰρ περιπατήσωμεν μικρὸν, εἰ δοκεῖ, ἵνα τὴν τροφὴν ἐκπονήσωμεν. Γ. Εʹςω· γενέσθω.

ΔΙΑʹΛΟΓ. ΣΤ!

Δημήτριος. Γεώργιος.

1 Δ. Αʹκουσον, ἑταῖρε! Γ. Τί ἐςιν; Δ. Αʹπίωμεν ἐς τὸν κῆπον τῦ Ἡγεμόνος περιπατήσοντες. Γ. Τί ποτε καλὸν ἢ τερπνὸν ἐκεῖ ὀψόμεθα; Δ. Παντοδαπὰ ϗ καλὰ δένδρα καρποῖς βρίθοντα, χόρτων τε καὶ ἀνθέων θαυμαςήν τινα ποικιλίαν, τερπνοτάτυς περιπάτυς, πηγὰς ἀναπηδώσας, ϗ ἀγάλματα πάμπολλα. Γ. Πόῤῥω ἀπέχει ἐντεῦθεν; Δ. Οὐ πάνυ τοι· ὐδέποτε ἦσθα ἐν αὐτῷ; Γ. Οὐδεπώποτε. Δ. Ιʹδὲ ἡ πύλη· εἰσίωμεν. Γ. Σὺ προηγῦ, ἐγὼ δ' ἕψομαι. Δ. Οʹρᾷς περίπατον κάλλιςον φιλύραις σύμφυτον. Εʹνταῦθα ἐπὶ τὰ δεξιὰ δύω ςίχυς σμιλάκων, ὧν αἱ κορυφαὶ ἐς πυραμίδος σχῆμα τετμημέναι εἰσί. Γ. Καὶ τὰ ἀγάλματα ὡς εὐφυῶς ἐκ ξύλυ ἔξεςαι. Εʹκεῖ ἔςιν ἃ ἐκ μαρμάρυ ὁρῶ.

ΔΙΑʹΛΟΓ. Ζ!

Γεώργιος. Δημήτριος.

Γ. Πῦ δέ ἐςιν ἡ πηγὴ ἀλλομένων ὑδάτων; Δ. Αʹυτίκα ὄψει. Γ. Ἤδη ὁρῶ· Ἡράκλεις! ὡς

ὑψῦ

ὕψȣ ἀναῤῥίπτει τὸ ὕδωρ. Δ. Οὗτος ξυςός ἐςιν, ἐν ᾧ, ἡνίκα ὕει, ἐμπεριπατȣ̃σιν, ἵνα μὴ ὑπὸ τȣ̃ ὄμβρȣ βρέχωνται. Γ. Τίνα ἐςὶ ταῦτα τὰ δένδρα τὰ ἐν ξυλίναις κίςαις κείμενα; Δ. Κίτριοι, μηδικαὶ ϗ χρυσαῖ μηλέαι, ϗ συκαῖ. Περινοςήσωμεν μικρὸν ἐν τȣ́τῳ τῷ ὀπωροφυλακίῳ. Γ. Ὦ κάλλιςος τόπος! Ὅσαι πρασιαὶ καλλίςοις ἄνθεσι πεφυτευμέναι! Δ. Ἠνὶ ἐκεῖ τȣ̃ κηπωρȣ̃ τὸ θυγάτριον πρὸς τȣ́τῳ ἐςὶν, ἐφ᾽ ᾧ φάκελλον ἀνθέων συνδῆσαι. Σοὶ, οἶμαι, ἐκεῖνον προσόισει. Γ. Ἐγὼ δὲ τῇ ἀδελφῇ μȣ προσάξω· ἥδιςον αὐτῇ τȣ̃τ᾽ ἐσόμενον οἶδα. Δ. Ἀλλὰ δοτέον μικρόν τι δῶρον τῇ κόρῃ. Γ. Πρέπον ἐςί· τοιαῦτα γὰρ καλὰ προῖκα λαβεῖν αἰσχρὸν ἂν εἴη. Δ. Καὶ τὴν δίαιταν ἐκεῖ ἐν μέσῳ τȣ̃ κήπȣ ᾠκοδομημένην περισκοπήσομεν; Γ. Τȣ̃το μὲν ȣ̓χ οἷόν τε νῦν γενέσθαι· κεκλεισμέναι γάρ εἰσιν αἱ θύραι· ἄλλοτε δὲ δεησόμεθα τȣ̃ κηπωρȣ̃ ἀνοῖξαι αὐτάς.

ΔΙΑ'ΛΟΓ. Η!

Δημήτριος. Γεώργιος.

Δ. Σκόπει! ȣ̓δεμία αἴσθησίς ἐςιν, ἣ ȣ̓κ ἂν ἡδονῆς τινος αἰσθάνοιτο. Πρῶτον μὲν ἡ Ὄψις· οἷον κάλλος, οἵα ποικιλία χρωμάτων, οἷς τοσαῦτα δένδρα ϗ μυρία ἄνθη διαπρέπει· εἶτα ἡ Ἀκοή. οἷαι ᾠδαὶ ὀρνίθων, διαφερόντως δὲ τῆς ἀηδόνος ȣ̃τωπερ ἥδειαι, ὥς᾽ ἂν μὴ ἐμφορεῖσθαι ἀκȣ́οντας. ἔπειτα ἡ Ὄσφρησις· ὡς ἡδὺ πνέȣσι πανταχόθεν τὰ ἄνθη, αἱ βοτάναι ϗ τὰ φυτά. μετὰ ταῦτα ἡ Γεῦσις· ὡς ποικίλοι καρποὶ ἐνθάδε φύονται (ἄυξονται) ἡδȣ̃ντες αὐτήν. καὶ τὴν Ἁφὴν

δὲ

δὲ εἰ σκοπήσαις, τί ἁπαλώτερον ταύτης τῆς αὔρας, ἥπερ ἠρέμα πνέουσα δι' ὅλου τοῦ σώματος διΐησι· καὶ οὐ τὸ σῶμα μόνον, ἀλλὰ καὶ ἡ ψυχὴ ἡμῶν ὑπερφυῶς πως εὐφραίνεται τοιαύταις χάρισιν. Γ. Ἀληθῆ ἐστιν, ἃ φῂς, πάντα· ἀλλὰ περὶ γεύσεως λέγων τοῦ ἐσθίειν με ὑπέμνησας· ἐκλήθην γὰρ ὑπὸ τοῦ πρὸς μητρὸς θείου ἐπὶ τὸ δεῖπνον, καὶ δεῖ με πρῶτον τὸν χιτωνίσκον μεταβαλέσθαι: Δ. Ποῦ οἰκεῖ ἐκεῖνος; Γ. Ἐν μισθωτῇ οἰκίᾳ παρὰ τὴν ἀγορὰν κειμένῃ. Δ. Οὐκ ἔστιν αὐτῷ οἰκία; Γ. Ἔστι μὲν, ἀλλὰ μισθοῖ ταύτην μετοίκοις. Δ. Οὐκοῦν μισθοῖ τὴν ἑαυτοῦ, καὶ μισθοῦται ἀλλοτρίαν; Γ. Οὕτως ἐστί. Δ. Τίνος ἕνεκα οὐ τὴν ἑαυτοῦ μᾶλλον οἰκεῖ; Γ. Ὅτι οὐκ ἐν ἐπιτηδείῳ κεῖται τόπῳ. Δ. Πόσου μισθοῖ; Γ. Πεντήκοντα χρυσίων. Δ. Τὴν δὲ ἀλλοτρίαν πόσου μισθοῦται; Γ. Πολλῷ μείζονος. Δ. Πόσου τοίνυν; Γ. Ἑκατὸν χρυσίων. Δ. Τιμία οἴκησις. Γ. Τιμιωτάτη· τί γὰρ ἂν καὶ πάθοι; τὸ ἐπιτήδειον τοῦ τόπου ἀπαιτεῖ τοῦτο. Δ. Ἐπανίωμεν οὖν οἴκαδε· οἶμαι τοῦτον τὸν περίπατον τῇ ὑγιείᾳ ξυνοίσειν.

ΔΙΑ'ΛΟΓ. Θ!

Γεώργιος. Δημήτριος!

Γ. Ἀκούεις τοῦ ἀνέμου σφοδρῶς πνέοντος, Δημήτριε; Δ. Ἀκούω. Γ. Οὐκ ἂν ἄμεινον ἐφέρετο τὰ ἡμέτερα, εἰ μήτ' ἄνεμος, μήτε χειμὼν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ ἦν; Δ. Οὐμενοῦν· ἔστι γὰρ ταῦτα χρήσιμα. Γ. Πρὸς τί συμβάλλεται; Δ. Οἱ ἄνεμοι ἐκκαθαίρουσι τὸν ἀέρα τῶν νοσηρῶν ἀτμῶν

μῶν, ϗ κινῦντες αὐτὸν προφυλάττυσιν, ὅπως μὴ λοιμικῶν ἀναπιμπλάμενος ἀτμῶν βλάψῃ ἡμᾶς. Γ. Συνίημι· τί δὲ ὁ χειμὼν ὀνίνησι; Δ. Παρέχει τῇ γῇ ϗ τοῖς ἄλλοις πράγμασι δυνάμεις, ἃς ἐν τῷ θέρει ἀπέβαλον· εἶτα ὐκ ἂν τὰ δένδρα ἀεὶ ὑπὸ τῦ καύματος τῦ ἡλίυ αὔξεσθαι, ϗ καρπὺς φέρειν βιαζόμενα τῷ χρόνῳ ἀπόλοιτο; Γ. Πόθεν δὲ συμβαίνει ἐν τῷ χειμῶνι τὴν γῆν τῷ ψύχει πήγνυσθαι, ϗ τὺς ποταμὺς τῷ κρυμῷ κρυςαλλῦσθαι; Δ. Τῦτὶ δὴ τὸ αἴτιόν ἐςιν, ὅτι χειμῶνος ὥρᾳ αἱ τῦ ἡλίυ ἀκτῖνες πλαγιώτεροι φέρονται ἐπὶ τόδε τῆς γῆς μέρος, ἔνθα νῦν χειμών ἐςι, ϗ διάτοι τῦτο ἥττονα δύναμιν ἔχυσι θερμαντικήν. Εʹπὶ δὲ τύτοις συμβαίνει ἐν τῷ χειμῶνι τὰς μὲν νύκτας μείζυς εἶναι, τὰς δὲ ἡμέρας ἐλάττυς.

ΔΙΑʹΛΟΓ. Ι.

Γεώργιος. Δημήτριος.

Γ. Αʹλλὰ κρεῖττον ἂν ἦν, εἰ ἀεὶ τῦ ἔαρος ἀπελαύομεν. Δ. Αʹμαρτάνεις· τὸ γὰρ διηνεκὲς ἔαρ σοί τε κἀμοὶ ϗ ξύμπασι προσκορὲς τῷ χρόνῳ ἂν γένοιτο. Γ. Σχολῇ γ᾽ ἂν πιςεύσαιμι. Δ. Πᾶν ἡδὺ ποικίλον τί ἐςι, ϗ ὐχ ἁπλῦν· πᾶν ὅ,τιῦν κάλλιςόν τε ϗ ἥδιςον προσκορὲς τῷ χρόνῳ γίγνεται, εἰ διὰ παντὸς αὐτῷ χρώμεθα. Εʹνθυμῦ, ὡς μὲν ἡδύ ἐςιν ἡ τῦ σώματος ὑγιεία τοῖς χαλεπήν τινα νόσον νενοσηκόσιν, ὡς δ᾽ ὀλιγωρεῖται ταῖς μηδεπώποτε πεῖραν τῆς νόσυ εἰληφόσι. Γ. Τί δὲ περὶ τῶν βροντῶν λέγεις; Οὐκ

εὐχ-

εὐκτὸν ἦν μηδέποτε ἡμᾶς τὰς βροντὰς ϗ ἀστραπὰς ἐκδεδίττεσθαι; Δ. Καὶ αἱ βρονταί εἰσιν ἀναγκαῖαι· εὐφορωτέραν γὰρ τὴν γῆν ποιοῦσι, ϗ τοὺς ἐπιβλαβεῖς ἀτμοὺς ἀναλίσκουσι· τὸ δὲ Θεῖον ϗ τὰ δεινὰ ἡμῖν δοκοῦντα πρὸς τὸ συμφέρον ἡμῖν ἐποίησεν. Γ. Ὀρθῶς φιλοσοφεῖς· ὁρῶ τὸν Θεὸν πάντα σοφῶς οἰκονομοῦντα.

ΔΕΚΑ'Σ Θ!

Περὶ Ἐπισκέψεως.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Νικόλαος. Παναγιώτης.

Ν. Χαῖρε, φίλων μοι ἄριστε! Π. Νὴ ϗ σύγε, φιλτάτη μοι κορυφή! Ν. Τί πράττεις; πῶς ἔχεις; Π. Εὖ ἔχω, χάρις τῷ Κρείττονι· σὺ δὲ πῶς ἔχεις; πολλοῦ γάρ σε οὐχ ἑώρακα. Ν. Κἀγὼ σέ. Π. Ποῦ τοσοῦτον διέτριψας χρόνον; πῶς οὐκ ἀφῖξαι ἐπισκεψόμενός με; ᾠήθην σε ἐν λήθῃ με πεποιῆσθαι. Ν. Συγγνώμη, ὦ φιλότης! οὐ γὰρ ἐμὸν τὸ ἁμάρτημα· πολλάκις μὲν γὰρ βουλομένῳ μοι ἦν ὡς σὲ ἀφικέσθαι, ἐκωλύθην δὲ ὑπὸ τοῦ τῶν πραγμάτων ὄχλου. Πάντως γε ἀφικέσθαι ἠβουλήθην. Π. Καὶ βουληθῆναι ἀρκεῖ τῷ φίλῳ· χαίρω σε σῶν ϗ ὑγιᾶ θεασάμενος. Ἐπυθόμην τὸν σὸν αὐτάδελφον

πυρε-

πυρετῷ προσπαλαίειν· νυνὶ πῶς ἔχει; Ν. Κομψότερον (ἄμεινον) Θεȣ̃ συναιρομένȣ. Π. Ποίῳ πυρετῷ κατέχεται; Ν. Τῷ τεταρταίῳ. Π. Πόσον χρόνον νοσεῖ; Ν. Οʹκτὼ πȣ μῆνας. Π. Ηʹ ϗ ἔτι νῦν πυρέττει; Ν. Εʹςιν ὅτε. Π. Αʹνακαλέσαιτο Κύριος αὐτῷ τὴν ὑγείαν! ἀποκαταςή σοι τὸ Θεῖον αὐτὸν ὑγιᾶ! Ν. Οἶδά σοι χάριν μεγίςην.

ΔΙΑʹΛΟΓ. Β!

Πέτρος. Ιʹωάννης.

Π. Μῶν ὑγιαίνεις; Ι. Θεῷ τὸ πρόσωπον. Π. Διὰ τὶ ȣ̓ μᾶλλον τὸ ȣ̃ρον κελεύεις; Αʹρ᾽ ȣ̃ν ἰατρόν με εἶναι νομίζεις; Οὐκ ἐρωτῶ, εἰ ὑγιῶς ἔχεις· καὶ γὰρ αὐτὸ τὸ πρόσωπον δηλοῖ σε εὖ ἔχειν τὸ σῶμα· ἀλλὰ πῶς ἔχει τὰ κατὰ σέ; Ι. Τὸ μὲν σῶμα εὖ ἔχει, ἡ δὲ ψυχὴ κακῶς διάκειται. Π. Οὔκȣν ὑγιαίνει ὁ τȣ̃τό γε τὸ μέρος νοσῶν. Ι. Οὕτως ἔχει τὰ ἐμά· τὸ μὲν σῶμα ἔρρωται, ἡ δὲ πήρα ἀσθενεῖ. Π. Ῥᾳδίως ταύτην τὴν νόσον ἰάσεται ἡ μήτηρ· πῶς ἔσχες ἕως ἄρτι; Ι. Ποικίλως, ὡς τὰ τῶν θνητῶν πέφυκε. Π. Πῶς διεγένȣ; μῶν ἀεὶ ὑγιῶς ἔσχες; Ι. Χάρις τῷ Κρείττονι! Εʹγωγε σὺν Θεῷ διὰ παντὸς ἐρρωμένος διετέλεσα. ἔτι ϗ νῦν εὖ ϗ ὑγιῶς ἔχω. Π. Πάνυ μοι καταθύμιον τȣ̃τό γ᾽ ἐςίν· ἡδέως παρὰ σȣ̃ τȣ̃το ἀκȣ́ω· χαίρω πυνθανόμενός σε ὑγιῶς ἔχειν. Εὔχομαι διὰ παντὸς ἐρρῶσθαί σε· χαριςήρια θύω τῷ Κρείττονι τῆς σῆς ὑγιείας. Ι. Κἀγὼ εὖ ἔχω, εἴπερ αὐτὸς ὑγιῶς διάγεις.

Π. Μȣ-

Π. Μεταξὺ δὲ ὐδέν σοι ξυμβέβηκεν ἀβύλητον; Ι. Οὐδὲν δήπυ, πλὴν ὅτι τῆς σῆς συνυσίας ὐκ ἐξῆν ἀπολαύειν.

ΔΙΑ'ΛΟΓ. Γ!

Ἀθανάσιος. Βασίλειος.

Α. Μῶν ἔῤῥωσαι; Β. Οὐ πάνυ τοι ἔῤῥωμαι· κακῶς ἔχω τὸ σῶμα· μοχθηρῶς ἢ πονήρως διάκειμαι. Οὕτως ἔχω τῦ σώματος, ὡς τῷ Θεῷ ἔδοξεν· ὕτω διάκειμαι, ὥσπερ πεφύκασιν, οἷς πρὸς τὺς ἰατρὺς ἔργον ἐςίν. Α. Ἄπαγε, εὐφήμει, μὴ γένοιτο, ἀπείργοι Θεός! μηδὲν ἀηδὲς λέγε! δεῖ σε θαρσεῖν· χρή σε ἀνδρωδῶς διακεῖσθαι· προσήκει σε εὐψύχως ἔχειν πρὸς τὰ συμπίπτοντα· μέγα γὰρ ἀγαθὸν ἐν τοῖς δεινοῖς ἡ εὐψυχία. Ἀλλὰ τί πάσχεις; τί κάμνεις; τίνι νόσῳ προσπαλαίεις; ποίῳ νοσήματι περιέπεσες; τίς νόσος κατέλαβέ σε; Ποίαν νόσον νοσεῖς; Β. Ἀγνοῶ, ὐ γινώσκω, ὐκ οἶδα, ὐκ ἐπίςαμαι, ὐ συνίημι, λέληθέ με, καὶ δι' αὐτὸ τῦτο ἐπισφαλέςερον νοσῶ, ἐπιθανάτως ἔχω. Α. Ὀρθῶς λέγεις· δεῖ γὰρ πρῶτον τὴν φύσιν τῆς νόσυ εἰδέναι. Οὐδενὶ συνεβυλεύσω ἰατρῷ; Β. Παμπόλλοις γε. Α. Τί ὖν φασιν; Β. Οἱ μὲν τὸ, οἱ δὲ τὸ, ἕτεροι δὲ συμβυλεύεσθαι δεῖν οἴονται· ἐν τύτῳ δέ με πάντες ἄθλιον εἶναι ὁμολογῦσι. Α. Πότε ἤρξω νοσεῖν; πόσος χρόνος ἐςὶν, ἐξ ὅτυ ταύτῃ τῇ νόσῳ προσπαλαίεις; πόσον χρόνον τύτῳ τῷ νοσήματι συνέχῃ; Β. Πέντε πρὸς ταῖς εἴκοσι ἡμέρας ἤδη νοσῶ. τρίτος

ὗτος

ὗτος ἤδη μήν ἐςιν, ἀφ᾽ ὗ πονήρως ἔχω· ὅλον ἤδη ἔτος κακῶς διάκειμαι· ἔμοιγε αἰὼν δοκεῖ, ἀφ᾽ ὗ νοσεῖν ἠρξάμην. Α. Πειρῶ ἐπιμελεῖσθαι σεαυτῦ, ὅπως μὴ ῥιζωθῇ, ἢ παλαιωθῇ ἡ νόσος. Β. Ἤδη ἐῤῥίζωται, πεπαλαιωμένη ἐςί. Α. Μῶν ὕδρωψ ἐςίν; Β. Οὔφασι. Α. Μῶν δυσεντερία; Β. Οὐκ οἶμαι. Α. Μῶν πυρετός; Β. Ἐμοὶ δοκεῖ πυρετῦ εἶδος εἶναι, ἀλλὰ νέον, ὥσπερ πολλαὶ ἐν τῷ νῦν νέαι ἐπιγίγνονται νόσοι, πρότερον ἄγνωςοι. Α. Ἀλλ᾽ ἅλις ἦν τῶν παλαιῶν. Β. Οὕτως ἔδοξε τῷ Κρείττονι. Α. Ποίᾳ ἡμέρᾳ ἀνακάμπτει τὸ ἄλγημα; Β. Ποίᾳ ἡμέρᾳ φής; ἑκάςης ἡμέρας, καθ᾽ ἑκάςην, ὁσημέραι, ὅσαι ὧραι, πλεονάκις ἢ ὁ Εὔριπος. Α. Φεῦ! οἷον ἀποτρόπαιον κακόν ἐςι! Πόθεν τῦτὶ τὸ νόσημα ἐπεισέφρησε; πόθεν ἐπεσπάσω ταύτην τὴν νόσον; πόθεν οἴει τῦτὶ τὸ κακόν σοι προσγεγονέναι; Β. Ἐκ τῦ ψύχυς οἶμαι τόδε γεγονέναι. Α. Ὅρα, μὴ ἐκ τῆς ἀμέτρυ ϗ ἀκαίρυ περὶ τὺς λόγυς σπυδῆς τῦτὶ τὸ κακὸν ἐπεσπάσω, ἢ ἐκ τῆς ἀδηφαγίας, ἢ πολυποσίας, ἢ ἄλλυ τυ τῶν τοιύτων. Τί δὲ ὐκ εἰσκαλῇ τινὰ τῶν ἰατρῶν; Β. Δέδοικα, μὴ θᾶττον τὴν νόσον αὐξήσῃ, ἢ θεραπεύσῃ· πάνυ ὀῤῥωδῶ, μὴ ἀντὶ τῦ ἰάσασθαι φαρμάκω με διαφθείρῃ. Α. Αἱρετέος σοι ὖν, ὅτῳ ἂν ἀδεῶς πιςεύοις. Β. Εἴμε δεῖ ἀποθανεῖν, αἱρῦμαι μᾶλλον ἅπαξ τελευτῆσαι, ἢ τοσύτοις φαρμάκοις ἐκτρυχωθῆναι. Α. Θεράπευσον ὖν αὐτὸς σεαυτόν. εἰ ἰατρῷ ἀπιςεῖς, ἱκέτευε τὸν Θεὸν τὴν ὑγιείαν σοι χαρίσασθαι. Β. Ὀρθῶς λέγεις· ὕτω ποιήσω· αὐτὸς γάρ ἐςιν ὁ ἀληθὴς ἰατρὸς τῶν ψυχῶν ϗ τῶν σωμάτων.

ΔΙΑʹ-

ΔΙΑ'ΛΟΓ. Δ'.

Γεώργιος. Δημήτριος.

Γ. Χαῖρε, φίλε Δημήτριε! Δ. Νὴ καὶ σύγε, ἑταῖρε Γεώργιε! Γ. Πῶς ὑγιαίνεις ἐκ τῆς ἔτω πολυχρονίε πορείας; πυνθάνομαι γὰρ ἔναγχος (ἀρτίως) ἐπανελθεῖν σε εἰς τὴν Πατρίδα. Δ. Οὕτως ἐςίν· ἐ γὰρ ἔφερον πλείω χρόνον ἀπὸ τῶν ἰδίων ἀπεῖναι. Γ. Εὖ ἐποίησας· σφόδρα χαίρω, ἐφ' οἷς διεσώθης εἰς τὴν ἐνεγκαμένην. Πῦ ποτ' ἐτύγχανες ὢν τοσαῦτα ἔτη; τίνας δὲ μεταξὺ πόλεις περιῆλθες; Δ. Τὴν Γερμανίαν, τὴν Γαλλίαν, μάλιςα δὲ τὴν Ἰταλίαν. Γ. Τίνας πόλεις ἐν τῇ Ἰταλῶν χώρᾳ ἐθεάσω; Δ. Πρὸ τῶν ἄλλων διέτριψα ἐν Φλωρεντίᾳ, Νεαπόλει, Ἑνετίῃσι, μάλιςα δὲ ἐν Ῥώμῃ, ἣ τὸ πάλαι κεφαλὴ τῆς Οἰκεμένης εἴρηται. Καταλιπὼν δὲ τὴν Ῥώμην διέβην εἰς Βονωνίαν, Πατάυιον καὶ Μεδιόλανα, ἀλλ' ἐν ἑκάςῃ τέτων μόνον τινὰς μῆνας ἔμεινα. Γ. Τί δὲ καινὸν ἐθεάσω ἐν τοσαύταις ἐπισημοτάταις πόλεσι; Δ. Μικρῦ δεῖν πάντά μοι καινὰ ἐδόκει, ἀλλ' ἐν τῷ παρόντι πάνυ μακρὸν ἂν εἴη πάντά σοι διηγήσασθαι. Γ. Εἰπὲ γὲν, πῶς τὰ ἐνταῦθα εὗρες; Δ. Πάντα μεταβεβλημένα· ὡς ὀξέως ὁ χρόνος πάντα τἀνθρώπινα μεταβάλλει! Μόγις δέκα ἔτη ἀπεδήμησα καὶ ἐκ ἄλλως ἐθαύμασα, ἢ Ἐπιμενίδης ὁ τῶν ὑπνωδῶν κορυφαῖος ἀνεγρόμενος. Γ. Ποῖον τῦτον μῦθον λέγεις; Δ. Μυθεύεσιν οἱ Ἱςορικοὶ περὶ Ἐπιμενίδε τινὸς Κρητὸς, ὃς ἐπὶ περίπατον ἐξιὼν μόνος τῆς πόλεως, ἐπειδὴ ὄμβρε ῥαγδαίε καταλαβόν-

λαβόντος αὐτὸν, εἴς τι σπήλαιον εἰσιὼν ἐκοιμήθη, ἑπτὰ πρὸς τοῖς τετταράκοντα ἔτη διετέλεσε καθεύδων. Γ. Τί φής; ἀπίθανα λέγεις· ἀτὰρ σύνειρε δὴ τὸν μῦθον. Δ. Ἐπιμενίδης ὖν διϋπνισθεὶς πρόεισι τῦ ἄντρυ, περισκοπεῖ, ὁρᾷ πάντα μεταβεβλημένα, τὰς ὕλας, τὰς ὄχθας, τὺς ποταμὺς, τὰ δένδρα, ϗ ὅλως εἰπεῖν, ὐδὲν ὅ,τι μὴ καινόν. Πρόσεισι τῇ πόλει, πυνθάνεται, διατρίβει αὐτόθι χρόνον τινὰ, ὐδ᾽ ἔγνω τινὰ, ὐδ᾽ ἐγνώσθη ὑπό τινος· ἄλλη μὲν γὰρ τῶν ἀνθρώπων ἡ ἐσθὴς, μεταβεβλημένη δὲ ἡ λέξις, διάφορα δὲ τὰ ἤθη· ὐδὲ θαυμάζω. εἰ τῷ Ἐπιμενίδῃ τῦτο μετὰ τοσαῦτα ἔτη ξυμβέβηκεν· ἐπειδὴ μικρῦ δεῖν ταυτὸν ἐμοὶ ξυμβέβηκεν ὀλίγα ἔτη τῆς πατρίδος ἀπογενομένῳ. Γ. Οὐ βύλομαί σε πλείω χρόνον κατέχειν· ἄλλοτε τὰ πολλὰ διηγήσῃ μοι. Ἔῤῥωσο τοίνυν, Δημήτριε φίλτατε! Δ. Καὶ σύγε ἔῤῥωσο ἄριςα, Γεώργιε προσηνέςατε.

ΔΙΑ'ΛΟΓ. Ε!

Ἰωάννης. Θωμᾶς.

Ι. Ἦν σοι εὐτυχὴς ϗ χρήσιμος ἡ πορεία; Θ. Μετρίως· πάντα γὰρ κινδύνων ἐν ταῖς πορείαις ἐςὶ μεςά. Ι. Τοιῦτόν ἐςιν ὁ πόλεμος. Θ. Ἀνοσιώτατον δηλαδή. Ι· Πεζὸς ἥκεις, ἢ ἔφιππος; Θ. Πῇ μὲν πεζῇ βαδίζων, πῇ δὲ ἵππῳ χρώμενος, πῇ δὲ ἁμάξῃ ὀχύμενος, πῇ δὲ νεὼς ἐπιβαίνων. Ι. Πῶς ἔχει τὰ τῶν Γάλλων; Θ. Μάλα ςασιωδῶς· πολλαί εἰσιν αἱ τῦ πολέ-

μυ

μȣ τύρβαι ϗ ςάσεις. Ὅ,τι ἂν ἀγαθὸν τȣ̃ πολέμȣ ἀπόναιντο (ἀπολαύσειαν) ȣ̓κ οἶδα, πάντως μυρίαις ὅσαις πιέζονται συμφοραῖς. Ι. Πόθεν ȣ̃τοι οἱ τȣ̃ πολέμȣ θόρυβοι; Θ. Πόθεν, εἰ μὴ ἐκ τῆς δοξομανίας; Ι. Ὀρθῶς λέγεις· ἀλλὰ ταῦτα μὲν ἐάσωμεν· τί γὰρ ἡμῖν ϗ τῷ Ἄρει; τὰ δὲ σὰ πῶς ἔχει; Θ. Εὖ, καλῶς, κάλλιςα. Ι. Οὐκ εὖ πράττεις; ȣ̓κ εὐτυχεῖς; ȣ̓κ εὐροεῖς; Θ. Ἄριςα, εὐδαιμονέςατα, εὐτυχέςατα. Ι. Πῶς ἔχει τὰ κατὰ σέ; μὴ κατ' εὐχήν; μὴ κατ' αἶσαν; Θ. Δεξιῶς, ὑπὲρ πᾶσαν εὐχήν, ὑπὲρ αἶσαν. Ι. Πῶς φέρεται τὰ σά; μὴ κατὰ γνώμην; μὴ κατὰ θυμόν; Θ. Μᾶλλον δὲ παρὰ γνώμην, κάκιςα· τὰ ἐμὰ χεῖρον ἔχειν ȣ̓ δύναται. Ι. Οὐχ εἷλες, ὅπερ ἤγρευες; Οὐκ ἔλαβες, ὅπερ ἐθήρευες; Θ. Ἐθήρευον μὲν, ἀλλὰ τῆς Ἀρτέμιδος ὀργιζομένης. Ι. Οὐδεμία ἐλπὶς ὑπολείπεται; Θ. Ἐλπὶς μὲν πολλή, ἔργον δὲ ȣ̓δέν. Ι. Ὁ δεσπότης ȣ̓δεμίαν παρέχει ἐλπίδα; Θ. Ἐλπίδας πολλὰς μὲν ϗ μεγάλας, ἔργον δὲ ȣ̓δὲ ἕν. Ι. Οὐδὲν ἔτι ἔπεμψε; Θ. Δαψιλῶς μὲν ὑπέσχετο, ȣ̓δ' ὀβολὸν δ' ἔπεμψε· λόγῳ μὲν πολλὰ κατεπαγγέλλεται, ἔργῳ δὲ ȣ̓δὲν ἐκτελεῖ. Ι. Δεῖ ȣ̃ν τὴν ψυχὴν τῇ ἐλπίδι τρέφειν. Θ. Ἀλλὰ ταύτῃ ȣ̓ πιαίνεται ἡ κοιλία. Ι. Εὐζωνότερος ȣ̃ν ἦσθα πρὸς τὴν πορείαν, μηδὲν ἐν τῇ ζώνῃ φέρων. Θ. Καὶ ἀσφαλέςερός γε· ȣ̓δὲν γὰρ ἰσχυρότερον ὅπλον τῆς πενίας πρὸς τȣ̀ς λῃςάς· ἐγὼ δ' ἂν μᾶλλον βȣλοίμην τοῦτο φόρτον ϗ τὸν κίνδυνον φέρειν. Ι. Οὐδὲν ἀφῃρέθησοι ἐν τῇ ὁδῷ; Θ. Ἔμοιγε; τί δ' ἂν ἀφέλῃς τὸν γυμνόν; Ἄλλοις μὲν μᾶλλον ἦν φόβος ὑπ' ἐμȣ̃, ἐμοὶ δὲ γυ-

μνῶ ὁδίτῃ ἐξῆν δι' ὅλης τῆς ὁδȣ̃ ᾄδειν ϗ πεινῆν· μὴ ἄλλο τί; Ι. Ποῖ δὲ νῦν ἄπει ἐντεῦθεν; Θ. Εὐθὺ τῆς οἰκίας ἀσπασόμενος τȣ̀ς οἰκείȣς διὰ πολλȣ̃ ȣ̓κ ὀφθέντας. Ι. Ἔυχομαι εὑρεῖν σε πάντας εὖ ϗ ὑγιῶς ἔχοντας. Θ. Εἴη γε τυχεῖν τῆς εὐχῆς!

ΔΙΑΛΟΓ. ΣΤ!

Κωνςαντῖνος. Λεόντιος.

Κ. Ἐπανῆκες ἡμῖν πιότερος ϗ μακρότερος τȣ̃ δέοντος. Λ. Βȣλοίμην ἂν μᾶλλον σοφώτερος ϗ ἐλλογιμώτερος ἐπανελθεῖν. Κ. Ἀπῆλθες μὲν ἀπώγων, ἐπανῆλθες δ' εὐπώγων· τί σημαίνει αὕτη ἡ ὠχρότης τȣ̃ προσώπȣ; τί δὲ ἡ ἰσχνότης τȣ̃ σώματος; τί δὲ αἱ ἐν τῷ μετώπῳ ῥυτίδες, ἃς ἔχεις; Λ. Οἵα ἡ τύχη, τοιάδε ϗ ἡ ἕξις τȣ̃ σώματος. Κ. Ἆράγε κακῶς πράττεις; Λ. Οὐδέποτε μὲν ἔγωγε εὖ ἔπραττον· ἐξ ȣ̓ρίας ἔπλεον, νῦν δὲ εἴπερ ποτὲ κακῶς πέπραγα, δεδυςύχηκα. Κ. Μῶν κακῶς ἀπαλλάττεις; ἆρά γέ σοι τῶν μὴ καταθυμίων τί ξυμβέβηκε; Λ. Καίτοι τὸν πάντα χρόνον ἡ τύχη ἠναντιȣ̃τό μοι, ȣ̓δέποτε μέντοι μᾶλλον, ἢ νῦν ἀντέπνευσε. Κ. Συναλγῶ σοι· ἄχθομαι τῇ συμφορᾷ σȣ· ἀτὰρ τί τȣ̃το ἐςὶ τὸ κακόν; Λ. Ἐναυάγησα πάντα τὰ χρήματα· ἀπέβαλον τὰ ὄντα· ἀπεκτησάμην πᾶσαν τὴν ȣ̓σίαν· ἀπώλεσα πάντα τὸν πλȣ̃τον. Ι. Πȣ̃ ὦ φίλτατε; Λ. Ἐν Εὐξείνῳ πόντῳ πλέων ἐκ Βυζαντίȣ εἰς Ἀξιȣ̃πολιν. Ι. Καλῶς ἔχει, ὅτι αὐτὸς ἡμῖν διεσώθης. Βέλτιόν ἐςι τὰ

χρή-

χρήματα, ἢ τὸ ζῆν ναυαγῆσαι· κρείττων ἡ τῦ βίε σωτηρία τῆς τῶν χρημάτων ἀποβολῆς. Λ. Ἐγὼ μὲν διεσώθην, τα δὲ χρήματα ἀπόλωλε. Ι. Τὸ ζῆν μὲν ἀνακαλέσασθαι ὅλως ἀδύνατον. τὰ δὲ χρήματα ἀνακτήσασθαι ῥάδιον· πῶς τῦτ' ἐγένετο; Λ. Οὐκ οἶδ', ἀλλ' ὅτι ὕτως ἔδοξε τῇ προνοίᾳ, τῇ θείᾳ βυλῇ, τῷ Κρείττονι. Ι. Ὁρᾷς ὖν τὴν παιδείαν ἀναφαίρετον κτῆμα ὖσαν; Λ. Σὺ μὲν ὀρθῶς φιλοσοφεῖς, ἐγὼ δὲ τέως ἄχθομαι.

ΔΙΑΛΟΓ. Ζ!

Νικόλαος. Προκόπιος.

Ν. Συνήδομαί σοι διασωθέντι, Προκόπιε. Π. Κἀγώ σοι περιλειπομένῳ, Νικόλαε. Ν. Συγχαίρω σοι ἐπανελθόντι εἰς τὴν πατρίδα. Π. Σύγχαιρε δὲ μᾶλλον ἐκ τῆς Γαλλίας ἀποδράντι. Ν. Πῶς ὕτως; Π. Ὅτι ἐκεῖ πολέμων πλέα ἐςὶ πάντα. Ν. Τί κοινὸν ταῖς Μϋσαις ϗ τῷ Ἄρει; Π. Ἀλλ' ὐκ ἀσφαλὲς μένειν, ἔνθα πόλεμός ἐςι. Ν. Σὺ ὖν ἐξέφυγες. Π. Οὐκ ἀκινδύνως μέντοι. Ν. Ὅλος ἀλλοῖος ἡμῖν ἐφάνης. Π Πῶς ὕτως; Ν. Ὅτι ἐξ Ἕλληνος μετέβαλες ἐς Γάλλον. Π. Τί τῦτο; μὴ ἐπελαθόμην τῆς Ἑλλάδος φωνῆς; Ν. Οὔμενυν, ἀλλ' ἡ ἐσθὴς δείκνυσί σε Γάλλον ὄντα. Π. Ἀλλ' ἡ σκευὴ (ὁ ἱματισμὸς) ὐ ποιεῖ Γάλλον. Ν. Ἐπαΐεις τῆς τῶν Γάλλων φωνῆς; Π. Ἱκανῶς. Ν. Τῷ τρόπῳ ταύτην ἐξέμαθες; Π. Θαμὰ φθεγγόμενος, γράφωντε ϗ μελετῶν. Ν. Οὕτω ῥᾳδίως ἄν τις πᾶσαν ἐκμάθοι φωνήν·

χαίρω σε σῶν ϗ ὑγιᾶ ἰδών. Π. Κἀγώ σε σῶν ϗ ὑγιᾶ εὑρών. Ν. Ἔῤῥωσο. φίλε Προκόπιε. Π. Καὶ σύγε, φίλτατε Νικόλαε.

ΔΙΑΛΟΓ. Η!

Στέφανος. Τιμόθεος.

Σ. Πόθεν φαίνῃ ἡμῖν, Τιμόθεε; Τ. Ἐκ τῆς πατρίδος, Στέφανε. Σ. Τί καινὸν ἡμῖν αὐτόθεν ἀγγέλλεις; ἐδὲν καινὸν παρὰ τῶν ἡμετέρων κομίζεις; τίνα καινὰ ἡμῖν μηνύεις; μὴ ἀγαθὰ ἡμῖν νέα φέρεις; Τ. Καινὰ μὲν πολλὰ, ἀληθὲς δὲ ἐδέν· ὥστε τῶν καινῶν ἔρως ἔχει ἑλὼν, ὅλας ἁμάξας, ὅλες μεδίμνες κομίζω· τοσαῦτα ψεύδη φέρω, ὅσα μόγις ἂν μία ναῦς ἄγοι. Σ. Ἀποφορτίζε τοίνυν ὡς τάχιστα, ἵνα μὴ ὑπὸ τηλικέτε φόρτε ἀπώλῃ. Τ. Οὐδὲν ἔχω, ὅ,τι μὴ ἐν τοῖς κερείοις, ϗ καπηλείοις ϗ ταῖς καφφενίτισι θρυλλεῖται. Σ. Τί δὲ ἐκ ἀπήλλακται ἡ πατρὶς τε λοιμε; Τ. Οὔμενεν, ἀλλ᾽ ἐ συνεχής ἐστιν· ὁτὲ μὲν γὰρ ἀνίησιν, ὁτὲ δ᾽ ἐπιτείνει· ἔστι δ᾽ ὅτε διαλείπει, εἶτ᾽ αὖ πάλιν ἀκμὴν λαμβάνει. Σ. Οὐχ ἅλις ἦν τῶν κακῶν, ὅπερ Ἄρης ὁ βροτολοιγὸς τοσαῦτα ἔτη κρατεῖ; Τ. Ἅλις μὲν ἦν, ἄλλως δ᾽ ἔδοξε τῷ ὑπὲρ ἡμᾶς, τῷ Κρείττονι. Σ. Ἀνάγκη σιτοδείαν αὐτόθι εἶναι. Τ. Ἁπάντων τῶν ἐπιτηδείων σπάνις ἐστὶ, πλὴν τῶν παλαμναιοτάτων στρατιωτῶν, οἳ πάντα ἄγεσι ϗ φέρεσι. Σ. Ῥᾳδίως πιστεύω· ὅπε γὰρ πόλεμός ἐστιν, ἐνταῦθα θεῖά τε ϗ ἀνθρώπινα ἄρδην ἀνατρέπεται. Τ. Δεινόνγε ὁ πόλεμος,

μος, καὶ πολλῶν κακῶν ἀνθρώποις αἰτία. Σ. Τί-ποτε παθόντες οἱ στρατιῶται ταῦτα ποιοῦσιν; Τ. Ὅτι μᾶλλον θύουσι τῷ Ἄρει, ἢ τῇ Ἀθηνᾷ. Σ. Οὐ καθέξω σε πλείονα χρόνον· ἄλλοτε πλείω διαλεξόμεθα πρὸς ἀλλήλους, ὅτε ἑκατέρῳ ἡμῶν ἁρμόδιον ἔσται· νῦν ἀλλοσέποι με καλεῖ τὰ πράγματα.

ΔΙΑʹΛΟΓ. Θ!

Χρέμης. Καλλίας.

Χ. Ποῖ πορεύῃ σὺ ὁ ἐμὸς Καλλίας; Κ. Ὡς σὲ τὸν φίλτατον Χρέμητα. Χ. Παρὰ τὸ εἰωθὸς τοῦτο ποιεῖς. Κ. Ὅτι τί δή; Χ. Ἐπείπερ ἤδη ἐνιαυτός ἐστιν, ἐξ ὅτου οὐκ ἐπεσκέψω με. Κ. Βούλομαι μᾶλλον περιπόθητος, ἢ ὀχληρὸς τοῖς φίλοις εἶναι. Χ. Τοῦ ἀγαθοῦ φίλου οὐδεὶς κόρος παρ᾽ ἐμοί. Ὅσῳ ἂν θαμινώτερον ἥκῃς, τοσούτῳ μοι ποθεινότερος ἔσῃ. Κ. Πῶς σοι φέρεται τὰ κατ᾽ οἶκον. Χ. Ἄμεινον, ἢ ὡς ἠβουλόμην. Κ. Μὴ γὰρ τέτοκέ σοι ἡ γυνή; Χ. Πάλαι, ὦ ἑταῖρε. Κ. Οὕτω δὴ φιλεῖ ὁ οἶκος αὔξεσθαι. Χ. Εἴθε τὸ Κρεῖττον αὔξοι τὸν βίον, ὥσπερ ἡ γυνὴ τὸν οἶκον. Κ. Ἐξέδου τὴν θυγατέρα; Χ. Οὔπω ὡραία γάμου ἐστί. Κ. Ποσαετής ἐστιν; Χ. Ἤδη δέκατον ὄγδοον ἔτος ἄγει. Κ. Ὅρα, μὴ οὐκ ἀσφαλὲς ᾖ κόρην οὕτως ἁδρὰν οἴκοι φυλάττειν. ζητητέος σοι γαμβρός. Χ. Πειράσομαι ταύτην ἐκδόσθαι, ἵνα μὴ ὕβρις μοι προστριβήσηται δι᾽ ἐκείνην. Κ. Τί δὲ οἱ παῖδες ποιοῦσιν; Χ. Ὁ μὲν πρεσβύτερος ἤδη ἐμπορεύεται· ὁ δὲ νεώτερος εἰσέτι

τι φοιτᾷ ἐς διδασκάλε· μέλλει γὰρ ἱερᾶσθαι. Κ. Γένοιτο Θεῷ ἐυδοκιμεῖν ϗ ἀνθρώποις.

ΔΙΑ'ΛΟΓ. Ι!

Σωφρόνιος. Λαυρέντιος.

Σ. Πῶς ἔχεις; τί ποιεῖς; Λ. Καθέζομαι. Σ. Ὁρῶ· ἀλλὰ πῶς ἔχει τὰ σά; Λ. Κάκιςα. Σ. Εὐφήμει! τί πράττεις; Λ. Οὐδὲν, ὡς ὁρᾷς· σχολὴν ἄγω. Σ, Κρεῖττον σχολὴν ἄγειν, ἢ περὶ φαῦλα σπεδάζειν. Ἀλλὰ μήσοι ἐμποδὼν γίγνομαι περὶ σπεδαῖα ἀσχολεμένῳ. Λ. Μᾶλλον δὲ σχολάζοντι· ἤδη γάρ με κόρος τῆς σχολῆς ἔλαβε, ϗ συνομιλε ἐπεθύμησα. Σ. Ἴσως ἀπασχολῶ σε τῶν ἀναγκαίων ἔργων. Λ. Μᾶλλον δὲ αὐτὸν τὸν τῆς σχολῆς κόρον με ἀφαιρῇ. Σ. Σύγγνωθι, εἰ ὀκ ἐς δέον σοι ἐντετύχηκα. Λ. Ἐν αὐτῷ τῷ καιρῷ πάρει· ἡ παρεσία σε πάνυ μοι καταθύμιός ἐςιν. Σ. Ἴσως ὑμῖν δὴ ὄχλε γίγνομαι σπεδαιολογεμένοις. Λ. Ἐχαρίσω ἡμῖν τὰ μέγιςα παραγενόμενος. Σ. Ἴσως επέσχον ὑμᾶς τῶν λόγων, ὧν πρὸς ἀλλήλες ἐποιεῖσθε. Λ. Ἀλλὰ περὶ σε τὲς λόγες ἐποιέμεθα. Σ. Ῥαδίως ἂν πιςεύσαιμι· ϗ γὰρ δεῦρο βαδίζοντί μοι σφόδρα ἤχησε τὸ ὀς. Λ. Πότερον; Σ. Τὸ ἀριςερόν· ὅθεν τεκμαίρομαι μηδὲν καλὸν περὶ ἐμε εἰρῆσθαι. Λ. Μᾶλλον δὲ πᾶν ὅ,τι περ ἔυφημόν ἐςιν. Σ. Ἑωλὸν ἄρα ἦν τὸ σημεῖον. Ἀλλὰ τί τετό ἐςί; φασί σε κυνηγέτην γεγονέναι. Λ. Καὶ μάλα· ἥτε θήρα ἐντὸς ἤδη τῶν ἀρκύων ἐςί. Σ. Τίς δὲ ἡ θήρα; Λ. Κόρη καλλί-

ςη,

ςη, ἣν εἰς τρίτην ἀγχγῦμαι. Δέομαι οὖν ὑμῶν ἐκτενῶς τιμῆσαίμε τὸν γάμον τῇ ὑμετέρα παρεσία. Σ. Ὢ τῆς καλλίςης θήρας! ἀλλὰ τίς ἡ νύμφη; Λ. Καλλιςὼ ἡ τε Χρέμητος. Σ. Βαβαὶ τε κάλλες! ἄλλη Ἑλένη ἐςί. Λ. Μὴ σκῶπτέμε τὴν νύμφην· ἐμαυτῷ ἠγαγόμην, ἐχ ὑμῖν. Ἀπίτω φθόνος τε κάλλες! Σ. Ἔχε αὐτήν· Οὐδεὶς φθόνος.

ΔΕΚΑ'Σ Ι!

Περὶ διαφόρων Πραγμάτων.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Ἰωάννης. Λεκᾶς.

Ι. Τί σοι ὄνομά ἐςιν; Λ. Ἔςι μοι ὄνομα Λεκᾶς. Ι. Ἀγνοῶ, ὅςις εἶ. Λ. Οὐ γινώσκεις ἐμέ; Ι. Οὐκ ἂν ἔξαρνος γενοίμην, εἴπερ ἐγίνωσκον. Λ. Μῶν ἐπιλήσμων ἐμε ἐγένε; Ι. Οὐδεπώποτέ σε πρότερον εἶδον. Λ. Γνώσῃ ἀλλ' ἐν με τελευτῶν. Ι. Οὐχ ὑγιαίνειν μοι δοκεῖς. Λ. Πότερος ἔγωγε, ἢ σὺ μᾶλλον; Ι. Πε ἄν σε ἔγνων; Λ. Ἐν τῷ φροντιςηρίῳ. Ι. Μῶν συνεφοίτας ἐμοί; Λ. Ἔγωγε περίπε δύω ἔτη. Ι. Ἔασόν με ἀναμιμνήσκεσθαι. Λ. Ἄθρει δὴ τὴν ελήν. Ι. Ταύτην σοι αὐτὸς ἐνεποίησα· ἐκ τῆς ελῆς σε ἐπέγνων. Λ. Ὁρᾷς, ὡς ε μαίνομαι. Ι. Ἐκ τε εἴδες εκ ἄν σε ἐπέγνων.

ΔΙΑ'-

ΔΙΑʹΛΟΓ. Β.

Αʹθανάσιος. Θεοδόσιος. Γεώργιος.

Α. Χαῖρε, Θεοδόσιε! Θ. Καὶ σύγε, Αʹθανάσιε φίλτατε! τί κομίζεις; Α. Εʹμαυτόν. Θ. Οὕτοι πολλȣ̃ ἄξιον χρῆμα δεῦρο ἐκόμισας. Α. Καὶ μὴν πολλȣ̃ ἦν τῷ πατρί. Θ. Πλείονος, οἶμαι, τῆς ἀξίας. Α. Αʹλλʹ ἔςιν οἴκοι ὁ Γεώργιος; Θ. Οὐκ οἶδα· κόψον τὴν θύραν αὐτȣ̃ ϗ ὄψει. Α. Ωʹ ȣ̃τος! Οἴκοι τυγχάνεις; Γ. Οὐκ εἰμὶ. Α. Αʹναίσχυντε! ȣ̓κ ἀκȣ́ω σȣ φθεγγομένȣ; Γ. Μᾶλλον δὲ αὐτὸς εἶ ἀναίσχυντος. Εʹγὼ μὲν πρώην πεπίςευκα τῇ σῇ θαραπαίνῃ μὴ εἶναί σε οἴκοι ὄντα γε, σὺ δὲ νῦν ȣ̓ πιςεύεις ἐμοί. Α. Oʹρθῶς λέγεις· τοῖς ἴσοις ἠμείψω. Γ. Εʹγωγε ὥσπερ ȣ̓χ ἅπασι καθεύδω, ȣ̃τως ȣ̓χ ἅπασίν εἰμι οἴκοι· νῦν δὲ πάρειμι. Α Αʹλλὰ σύμοι δοκεῖς κοχλίȣ βίον ζῆν. Γ. Πῶς ȣ̃τως; Α. Oʹτι ἀεὶ οἴκοι ἐμφωλεύεις, ϗ μηδαμόσε ἕρπεις. Γ. Εʹξω ȣ̓δὲν ἔχω, ὅ,τι ἂν ποιῶ. Α. Αʹλλʹ ὁ εὔδιος ȣ̓ρανὸς παρακαλεῖ νῦν ἐπὶ τὸ περιπατεῖν. Γ. Αʹληθῆ λέγεις· εἴσοι φίλον ἐςὶ περιπατεῖν, ἕψομαί σοι ἐπὶ ὥραν· ὅλον γὰρ τȣ̃τον τὸν μῆνα ȣ̓κ ἐξήνεγκον τῆς πύλης τὸν πόδα. Α. Καλέσω ϗ τὸν Βασίλειον, ὥςε συμπεριπατεῖν ἡμῖν. Γ. Αʹρέσκει· ȣ̃τω γὰρ ἡδίων ἔςαι ὁ περίπατος.

ΔΙΑ-

ΔΙΑ'ΛΟΓ. Γ!

Ἀθανάσιος. Βασίλειος. Γεώργιος.

Β. Τίς ἔσθ' ὁ κόπτων τὴν θύραν; Α. Ἔτι καθεύδεις; Β. Οὐ καθεύδω, ἀλλ' ὑπνώττω. Α. Ἔγειραι ταχέως· ὥρα ἤδη τῆς εὐνῆς ἐξανίςασθαι. Β. Ἄνοιξον τὴν θύραν. Α. Κεκλεισμένη ἐςίν. Β. Ἤδη ἠνέῳκται· εἴσελθε. Α. Ἔυχομαί σοι αἴσιον ἡμέραν! Β. Κἀγώ σοι τὴν αὐτὴν ἐπεύχομαι! Α. Ὁ καιρὸς, ὡς ὁρᾷς, παρακαλεῖ ἐπὶ τὸ περιπατεῖν. Β. Οὐ σχολήμοι σήμερον ξυμπεριπατεῖν σοι· ἀσχολία γάρ μοι πρόσεςιν. Α. Ἡ ἀσχολία σȣ ȣ̓χ ȣ̔́τω κατεπειγȣσά ἐςιν, ὥςε μὴ ἂν σε ταύτην ἐς ἄυριον ὑπερθέσθαι· ἃ γὰρ ἂν τήμερον ποιήσειας, ταῦτα κἂν ἄυριον ἐπιτελέσειας. Β. Ὅτε τοίνυν ȣ̔́τω σοι δοκεῖ, παρακολȣθήσω σοι· ἀτὰρ πȣ̃ δὴ περιπατήσομεν; Α. Παρὰ τὸ τεῖχος τῆς πόλεως. Β. Οὐ μᾶλλον παρὰ τον ποταμόν; Α. Οὐ καλὸν ἕωθεν ἐκεῖ περιπατεῖν, ἀλλὰ πρὸς ἑσπέραν. Β. Ὀρθῶς φιλοσοφεῖς. Α. Ἐξίωμεν ȣ̃ν· ὁ γὰρ Γεώργιος πάλαι ἡμᾶς περιμένει ἔξω πρὸ τȣ̃ πυλῶνος. Β. Χαίροις, φίλε Γεώργιε. Γ. Καὶ σὺ φίλος μάλα χαῖρε! Ἀλλὰ τί τὸ καινὸν τȣ̃το; ȣ̔́τω πάνυ πρωῒ ἐξηγέρθης; Β. Ἔγωγε βαθὺν ἐκάθευδον· ἀλλ' ȣ̔̃τος ὁ ἑταῖρος ȣ̓κ εἴασέ με ἐς κόρον καταδαρθεῖν. Γ. Εὖ ἐποίησεν ἐπεγείρας σε· ὅλον γάρ σε ἀναψύξει καὶ ὡς εἰπεῖν ἐμψυχώσει ȣ̔̃τος ὁ περίπατος. Β. Μὴ περιπατῶμεν συντόνως καὶ σπȣδῇ, ἀλλ' ἠρέμα καὶ ἡσυχῇ. Α. Καθεζώμεθα μικρὸν ἐνταῦθα ἀπολαύοντες τῆς λεπτῆς ταύτης ἄυρας, ἥτις

ἥτις δἰ ὅλȣ ἴησι τȣ̃ σώματος. Β. Ὡ῾ς ἡδὺ μὲν ᾄδȣσιν οἱ ὄρνιθες ἐπὶ δένδρων! ὡς δ᾽ ἡδὺ ὄζει τὰ ἄνθη! Γ. Οὐδεμία ἄλλη ὥρα μᾶλλον ἁρμότ-τȣσά ἐςι πρὸς τὸ μανθάνειν ϗ μνημονεύειν, ἅπερ ἂν ἀκȣ́οι τις, ἢ ἀναγινώσκοι. Οὐκ ἀπεικότως ἔφη τις, ὅςις ποτ᾽ ἦν ὁ τȣ̃ λόγȣ τȣ́τȣ πατὴρ· φίλη ταῖς Μȣ́σαις ἠώς. Β. Πάντως δήπȣ· ἀλλ᾽ ἐγὼ ἤδη πεινῶ· ἐπανίωμεν οἴκαδε ἀκρατιϰμενοι. Α. Καλῶς ὑπέμνησας· κἀγὼ γὰρ λιμώττω. Γ. Γενέσθω, ᾗ φίλον ἡμῖν ἐςι.

ΔΙΑʹΛΟΓ. Δ!

Γεώργιος. Δημήτριος.

Γ. Εὔχομαί σοι πλεῖσθ᾽ ὅσα ἀγαθά! Δ. Κἀγώ σοι πολλαπλάσια, ὧν ἐμοὶ εὔχῃ! Γ. Τί πράττεις; Δ. Διαλέγομαι. Γ. Μόνος διαλέγῃ; Δ. Ὡ῾ς ὁρᾷς. Γ. Ἴσως σεαυτῷ· Ὥρα δέ σοι σκοπεῖν, ὅπως χρηςῷ διαλέξῃ ἀνδρί. Δ. Τῷ κομψοτάτῳ ϗ ἡδίςῳ. Γ. Τίνι τῶν ἀνδρῶν προσομιλεῖς; Δ. Τῷ Λȣκιανῷ. Γ. Σὺ μὲν ἀεὶ φιλοσοφεῖς· διὰ παντὸς ἐντρυφᾷς τῶν λόγων· νυκτὸς ϗ ἡμέρας εἶ περὶ τȣ̀ς λόγȣς· ἀλλὰ τὸ ποικίλον ἡδύ. Δ. Οὐκ ἔςι κόρος τῶν λόγων. Γ. Ὀρθῶς λέγεις· ἀλλ᾽ ἐπὶ πᾶσι μέτρον ἄριςον. σὺ δ᾽ ἀεὶ πρόσκεισαι ταῖς βίβλοις, ἐγκύπτεις ταῖς δέλτοις, παρακαθίζῃ ταῖς βιβλίοις, νύκτωρ τε ϗ μεθ᾽ ἡμέραν τοῖς λόγοις ἐνδιατρίβεις. Δ. Κατὰ τὸ εἰωθὸς ποιεῖς. καταγελᾷς μȣ ὡς εἰώθας. προσπαίζεις ἐμοὶ, ὡς ἔθος σοί ἐςι. πικρῶς σκώπτεις με κατὰ τὸ ἔθος. Οὐ λέληθέ με

τὸ

τὸ σκῶμμα. γέλωτα ὀφλισκάνω παρά σοί. ταυτὶ γὰρ τὰ βιβλία κόνεως ϗ εὐρῶτος πλέω ἀριδήλως δηλοῖ μὴ τὴν περὶ τοὺς λόγους σπουδὴν, τὸν περὶ τὰ μαθήματα ἔρωτα, τὴν περὶ τὴν παιδείαν φιλοτιμίαν. Γ. Τεθναίην, εἰ μὴ ἀληθῆ λέγω. Ἀπολοίμην, εἰ μὴ ἐξ εἰλικρινοῦς γνώμης ἅμα ϗ γλώττης φθέγγομαι. Μὴ ἱκοίμην ὥρας, εἰ εἰρωνεύομαι. Δ. Οὕτω σοι ὁ πῖλος ἐπὶ τῆς κεφαλῆς ςαίη ἀληθεύοντι, ἀλλ᾽ οὐ χλευάζοντι· ἁπλῶς ταῦτα λέγοντι, ϗ οὐκ εἰρωνευομένῳ· σπουδάζοντι, ἀλλ᾽ οὐ παίζοντι.

ΔΙΑʹΛΟΓ. Ε!

Πέτρος. Λουκᾶς.

Π. Ποῖ νῦν ἄπει; βαδίζεις; πορεύῃ; Λ. Οἴκαδε, εἰς τὸν οἶκον. ἐπὶ οἴκου. Π. Τί ποιήσεις οἴκοι; Λ. Ἔγνων ταύτῃ τῇ ὥρᾳ ἀνδρί τῳ τῶν σεμνοτάτων ἐντυγχάνειν, συντυγχάνειν, συλλαλεῖν, προσομιλεῖν, προσδιαλέγεσθαι. Π. Τίνι; οὐκ ἂν εἴποις τίνι; Λ. Καρίωνι τῷ λάλῳ. Π. Εὔχομαι παρεῖναί σοι τὸν Ἑρμῆν. Λ. Τί δεῖ τοῦ Ἑρμοῦ εὐνοοῦντος; Π. Ὅτι πρὸς λάλον ἔςαι ὁ λόγος. Λ. Ἀλλὰ τούτου γε χάριν ἐχρῆν σε τὴν Μνημοσύνην εὔξασθαι ἵλεων ἐμοὶ εἶναι. Π. Πῶς οὕτως; Λ. Ὅτι καρτερικῶν ὤτων δεήσει μᾶλλον, ἢ δεινῆς γλώττης· τὸ δὲ οὓς ἱερὸν τῆς Μνημοσύνης ἐςί. Π. Τίνα ὁδὸν πορεύσῃ; βαδιῇ; Λ. Τὴν ἐπὶ τὰ δεξιὰ, τὴν ἐπὶ τὰ λαιὰ, ταύτην, ἢ ἐκείνην, διὰ τῆς ἀγορᾶς. Π. Οὐκοῦν παραπέμψομαί σε, προπέμψω σε, παρακολουθήσω σοι

καὶ

ϗ ἀποκαταςήσω ἐπὶ τὴν οἰκίαν. Λ. Οὐκ ἀνέξομαί σε ἄνω καὶ κάτω περισύρεσθαι. ὐ δέξομαί σε τῇδε κἀκεῖσε περιάγεσθαι· ὐ βȣ́λομαί σε τοσȣ̃τον ὑπὲρ ἐμȣ̃ ἀναδέξασθαι πόνον. ὐκ ἐθέλω ἀπασχολεῖν σε τῶν πρακτέων. Π. Οὐδεμία μοι ἀσχολία τυγχάνει γε ȣ̓́σα· ὐδὲν ἔχω, ὅ,τι ἂν ποιῶ· ὐκ ἔχω ὅ,τι πράττω· ὐκ εἰμὶ νωθὴς ὐδὲ ῥάθυμος, εἰ μὴ φορτικός σοι δοκῶ ἀκόλȣθος. Λ. Οὐδεὶς ἐμοὶ ἡδίων ὀπαδὸς, ἀλλ' ὐκ ἐάσω σε ἐπ' ἀριςερὰ βαδίζειν· ὐ δέξομαί σε ἐπὶ τὰ λαιὰ συμβαδίζειν· ὐ δέξομαί σε πορῤωτέρω προπέμπειν με. Ε'νταῦθά σε τῷ Κρείττονι παρατίθεμαι. Π. Σύ γε τῷ Καρίωνι τὰ μάλιςα σύςησον· αὐτὸς ἐμαυτὸν διὰ σȣ̃ ἐκείνῳ συνίςημι· σφόδρα ἐμαυτον τῇ σῇ φιλανθρωπίᾳ συνίςημι· ϗ αὖθις καὶ πολλάκις τῇ σῇ φιλίᾳ συνίςημι. Οʹρα, μὴ ὀλίγα τῷ λάλῳ διαλεχθῇς· σκόπει, μὴ πρὸς πολυλόγον ᾖς βραχυλόγος.

ΔΙΑʹΛΟΓ. ΣΤ!

Δεσπότης. Θεράπων.

Δ. Ω῏ ȣ̃τος! τί τοσȣ̃τον διατρίβεις χρόνον ἐνδυόμενος; ὡς ἀργὸς εἶ! περιβαλȣ̃ ταχέως. Θ. Οὕτω νῦν ἔθος ἐςίν· ȣ̓́τω νῦν εἰώθασιν. Δ. Α῏πτε λύχνον, ϗ ἔναυσον πῦρ. ἔνεγκε καὶ τὴν ψαλίδα, ϗ πρόμυττε τȣ̃τον τὸν λύχνον· φυλάττȣ, μὴ σβέσῃς αὐτὸν, μηδὲ ῥίψῃς τὸν μύκητα (τὴν θρυαλλίδα) ἐπὶ τȣ̃ ἐδάφȣς, ἵνα καπνὸν ποιήσῃ, ἀλλὰ κάτεχε ἐντὸς τῆς ψαλίδος. Εἰπὲ τῇ θεραπαίνῃ καθαρόν μοι χιτωνίσκον ἐνεγκεῖν.

εῖν. Στῆθι μικρόν· ὐ δέομαι ἑτέρυ· ὗτος ἔτι καθαρός ἐςιν· ἐπίδος μοι τὰς ἀναξυρίδας, ἢ τὰς περισκελίδας. Θ. Βύλει καὶ τὸν νυκτερινὸν χιτῶνα; Δ. Καὶ τὰς περικνημίδας γε. Θ. Ποτέρας τὰς σηρικὰς, ἢ τὰς ἐρέας; Δ. Οὐκ, ἀλλὰ τὰς ἐκ βάμβακος, ἢ ἐκ μίτυ. Θ. Αὗται διεῤῥωγυῖαί εἰσιν. Δ. Ἀπόῤῥαψον αὐτάς. Θ. Ἠνὶ αἱ ἐμβάδες. Δ. Ἐκκάθαρον τὰ ὑποδήματα καὶ τὰς σκελεάς· ὑπόδητόν μοι τὰ σανδάλια· ὐ γὰρ δύναμαι κύψαι· διευθέτητον τὴν κόμην, ἢ εὐθέτιτον τὰς τρίχας. ἐπίπαττον κόνιν τῇ κεφαλῇ· ἐκκάθαρον τὴν κόνιν τῆς κεφαλῆς. Θ. Οὐ βύλει πρότερον νίψασθαι; Δ. Ἡ φαύλη θεράπαινα ὐκ ἐκόμισέ μοι ὕδωρ πρὸς τὸ νίψασθαι. Φώνησον αὐτὴν εἰπὼν τὴν λεκάνην σὺν τῷ προχόῳ ἐνεγκεῖν. Πῦ ἐςιν ἡ σμίλη; τὸ σμῆγμα; ὁ σάπων; Θ. Οὐκ οἶδα, πῦ ἐςιν, ἢ ὅ,τι γέγονεν· ἀπόλωλεν. Ἰδὲ τὸ χειρόμακτρον, εἰ βύλει τὰς χεῖρας ἀπομάξασθαι. Δ. Τὼ χεῖρέ μυ ῥύπυ ἀνάπλεω ἤτην· τὸ ἐχέσαρκον ὐκ ἔςι θερμόν. Θ. Αὐτίκα θερμανῶ αὐτὸ, εἰ δοκεῖ. Δ. Ἔασον· ὔτοι χρειῶδές ἐςιν· ἐνδύσομαι αὐτὸ, ὥσπερ ἔχον ἐςίν· ἐπίδος μοι τὸ ἐν τῇ πήρᾳ χειρόμακτρον. Θ. Ἐπέδωκα τῇ πλυνθρίᾳ· πιναρὸν γὰρ ἦν. Δ. Ἐκόμισε πάντα τὰ λῖνεα; Θ. Πάνυ γε· ὐδὲν ἄπεςι· ποῖον τῶν περιτραχηλίων περιθήσῃ σήμερον; Δ Τῶν φαύλων· ἐπίπτυξον τὸν ἐπιτραχήλιον, ἀλλὰ φυλάττυ, ὅπως μὴ διαῤῥήξῃς αὐτόν. πῦ ἐςι τὰ πτερύγια τῶν χειρίδων; Ἐξένεγκέ μοι τὴν ςολὴν τῆς κιβωτῦ. Θ. Τίνα τῶν ςολῶν; Δ. Ἣν χθὲς εἶχον. Θ. Οὐ περιθήσῃ σήμερον τὴν καινὴν ςολήν; Δ. Τί δή; Θ.

Οʹτι τὰ γενέθλια τȣ͂ Βασιλέως σήμερον τελεῖται. Δ. Εὖγε ὑπέμνησας· νῦν ἕτοιμός εἰμι. ἐπίδος μοι τὰς χειρίδας, ϗ τὸν πῖλον. κάθαρόν μȣ τὸν χιτῶνα τῷ ἱματικῷ σαρώθρῳ ἢ τῷ καλλύντρῳ. Θ. Οὐκ οἶδα, πȣ͂ ἐςι. Δ. Πȣ͂ κατέθηκας αὐτό; ἐκεῖ ἐν τῇ θυρίδι κεῖται. Θ. Ἰδȣ̀ ϗ τὸ ἱμάτιον ἢ τὸ περίβλημα. Δ. Πάντα καλῶς ἔχει. Εʹγὼ μὲν ἤδη ἄπειμι· σὺ δὲ μένε οἴκοι, ϗ διευθέτει πάντα τὰ ἐν αὐτῷ, ὡς εἰκός.

ΔΙΑʹΛΟΓ. Ζʹ.

Δεσπότης. Θεράπων.

Δ. Πόθεν δὴ σὺ, Παῦλε; Θ. Παρὰ τȣ͂ κομμωτȣ͂, ἢ τȣ͂ κεροπλάςȣ· εὐθετησάμην ταύτην τὴν πρόσθετον κόμην ἢ τὴν πηνίκην, ἢ φενάκην. Δ. Αʹπτε λύχνον, ἵνα ταῦτα ἐπισημήνωμαι τὰ Γράμματα· παράδος ταῦτα τῷ δημοσίῳ δρόμῳ· εἰ Βιέννηθεν ἀφίκετο ὁ δημόσιος δρόμος, αἴτησον δοθῆναί σοι τὴν Εʹφημερίδα. Εʹπανιὼν κάλεσον τὸν κȣρέα, ἵνα μὴ τὸν μύςακα, ἢ τὸν πώγωνα, ἢ τὴν ὑπήνην κείρῃ· ἀλλʹ ἐν καιρῷ παρεῖναί σε δεῖ· τῇ ὀγδόῃ γὰρ πρόειμι τῆς οἰκίας. Θ. Εʹπανῆλθον, δέσποτα ἄριςε. Δ. Εʹξετέλεσας ἅπαντα; Θ. Εʹγωγε· Ἰδȣ̀ ἡ Εʹφημερὶς, ϗ δύω γράμματα Βιέννηθεν κομισθέντα. Δ. Κατέβαλες τὸν μισθὸν τȣ͂ δημοσίȣ δρόμȣ; Θ. Κατέβαλον. Δ. Πόσον; Θ. Οʹκτὼ χαλκȣ͂ς. Δ. Λάβε τὸ ἀργύριον. Θ. Εʹξω ἐςὶν ὁ κȣρεύς. Δ. Εἰπὲ αὐτῷ εἰσελθεῖν· Εʹσκεύασαι τὸ ῥόφημα; Θ. Πάνυ μὲν ȣ͂ν· ἀλλʹ ἤδη ἐψύγη. Δ. Θὲς ἐπὶ λεπτὴν ἀνθρακιάν· κόμι-

κόμισον ταῦτα τὰ γράμματα ἐπὶ τὴν Βελήν. Ἔνεγκέ μοι καὶ τὸν τρίβωνα· ὑετὸς γὰρ ἐπιγενήσεσθαι δοκεῖ· οἴκαδε ἐπανιὼν ἀντίγραψον ταῦτα τὰ γράμματα· τῇ δωδεκάτῃ ἐπανήξω οἴκαδε.

ΔΙΑʹΛΟΓ. Ηʹ.

Δεσπότης. Θεράπων.

Δ. Ὦ οὗτος! πάλαι ἐβραγχίασα κράζων, σὺ δὲ οὐκ ἐξανίστασαι· ἤτοι θᾶττον ἀνίστασο, ἢ ἐγώ σοι τῇ ῥάβδῳ τοῦτον τὸν ὕπνον ἀποσείσω. Ὅσοι ἀγαθοί εἰσι δοῦλοι εἰώθασι προφθάνειν τὸν ἥλιον ἀνατέλλοντα ἐπιμελούμενοι, ὅπως ὁ δεσπότης ἀνεγρόμενος πάντα ἕτοιμα εὑρήσει. Θ. Οὔπω διέλαμψεν ἡ ἡμέρα. Δ. Πιστεύω σοι· τοῖς γὰρ σοῖς ὀφθαλμοῖς ἔτι πολλὴ νὺξ περικέχυται. Θ. Τί κελεύεις με ποιεῖν; Δ. Ἔναυσον πῦρ· τίθει σχίδακας ἐν τῷ βαύνῳ, ἵνα θερμαίνηται τὸ οἴκημα· κόρησον τὸν πῖλον καὶ τὸν χιτῶνά μου· κάθαρον τὰ ὑποδήματα καὶ τὰς κρηπῖδας. Ἀναστρέψας τὰς ἀναξυρίδας πρῶτον μὲν ἔσωθεν κάθαρον τῷ καλλύντρῳ, εἶτ᾽ ἔξωθεν· μετάβαλέ μοι τὸν χιτωνίσκον, καὶ ξήρανον αὐτὸν πρὸς πῦρ ἄκαπνον πεπλυμένον. Θ. Γενήσεται. Δ. Ἆρον τὸ λάσανον· εὐθέτισον τὴν κλίνην· ἀναπέτασον τὰ παραπετάσματα· στόρωσον τὸ ἔδαφος, ἐκκόρησον τὸ δωμάτιον καὶ ἐνθυμίασον. Ἔνεγκε ὕδωρ πρὸς τὸ νίψασθαι· τί δῆτα ἔχων στρέφῃ; ἐνιαυτός ἐστι πρὶν ἢ λύχνον ἅψῃς. Θ. Μόγις εὑρίσκω σπινθῆρα πυρός. Δ. Οὕτω χθὲς ἐγκατέκρυψας αὐτὸ τῇ σποδιᾷ. Θ. Οὐδὲ φῦσαν ἔχω.

Δ.

Δ. Οὕτως ἀποκρίνῃ τῷ κεκτημένῳ σε, κύφων, ὡς ἀποροῦντι φύσης; Θ. Ὡς ἀργαλέον δεσπότην ἔχω· χολῆγ᾽ ἂν αὐτῷ δέκα ὀτρηροὶ θεράποντες ὑπηρετοῖεν. Δ. Τί φῄς; ὄνε; Θ. Οὐδέν· πάντα καλῶς. Δ. Οὐκ ἀκούω σου ὑποτονθορύζοντος; Θ. Προσεύχομαι τῷ Θεῷ. Δ. Οἶμαι τὸ Πάτερ ἡμῶν ἀνεστραμμένως· ἀκολούθει μοι ἐς τὸν νεών· εὐθέως ἐπάνηκε οἴκαδε· ἐκκόρησον τὰς κλίνας, διευθέτησον πάντα, κάλλυνον πᾶσαν τὴν οἰκίαν καὶ ἐνθυμίασον· εἴτι ἐλλιπὲς αἴσθωμαι, δαρήσῃ πολλάς. Θ Ἐνταῦθα δή που οἶδα σου τὸ φιλάνθρωπον. Δ. Οὐκοῦν φυλάττου, ἂν σωφρονεῖς. Θ. Ἀλλὰ μεταξὺ οὐδεμία περὶ ἀρίστου μνεία. Δ. Ἔα! ὅποι οὗτος ἔχει τὸν νοῦν ὁ κύφων! οὐκ ἀριστῶ οἴκοι. Ὥστε περὶ τὴν δωδεκάτην δράμε ὅτι τάχιστα ὡς ἐμὲ ἀπάξων με ἐκεῖσε, ὅπου ἀριστήσω. Θ. Προσκοπήσω μὲν σαυτῷ, ἐγὼ δὲ ἐνταῦθα οὐκ ἔχω, ὅ,τι φάγω. Δ. Ἔστιν ἄρτος. Θ. Ἔστι μὲν, ἀλλὰ μέλας καὶ πιτυρίτης. Δ. Τί δὲ βούλει με πλακοῦσί σε σιτεύειν; εἰ ἀπαναίνῃ ἄρτον ἄνευ ὄψου προσφέρεσθαι, προσίθει πράσον, εἰ δὲ βούλει, κρόμμυον.

ΔΙΑʹΛΟΓ. Θ!

Δεσπότης. Θεράπων.

Δ. Ἰτητέον σοι εἰς τὴν ἀγοράν. Θ. Οὑτωσὶ πόῤῥω; Δ. Οὐκ ἔστιν, εἰμὴ ἓξ βήματα· σοὶ δὲ τῷ ἀργῷ διακόσια. Πολλὰ διαπράξῃ καθ᾽ ὁδὸν, ἀρίθμει ἐπὶ δακτύλων, ὥστε μεμνῆσθαί σε. Πρῶτον μὲν ἀπιὼν ἐπανακάμψεις πρὸς τὸν Ἱματευ-

τυργὸν, παρʼ ȣ̓ λήψῃ τὸν κεντητὸν Θώρακα, εἰ τετελεσμένος ἐςίν· εἶτα δὲ ζητήσεις Καλλίαν τὸν δρομέα· ȣ̔͂τος ὡς ἐπὶ τὸ πολὺ ἐν τῷ Ἐλάφῳ διατρίβει· πίνει γὰρ ἐπιεικῶς. Πεύσῃ αὐτȣ͂, εἴπερ ἔχει Γράμματα πρός με, ᾗ πότε ἀποςαλήσεται. Ὕςερον ἐντεύξῃ τῷ Ῥακοπώλῃ ἐμπόρῳ· ἐρεῖς αὐτῷ παρʼ ἐμȣ͂ μηδὲν φροντίζειν, εἰ τἀργύριον ȣ̓ κατὰ τὴν προθεσμίαν ἔπεμψα, καταβαλῶ δὲ ȣ̓κ εἰς μακράν. Θ. Πότε; ὅταν ἡμίονοι τέκωσι. Δ. Γελᾷς, μαςιγία; εἰς τρίτην καταβαλῶ. Ἐπανιὼν ἀνακάμψεις ἐπὶ τὰ εὐώνυμα, ᾗ πεύσῃ τῶν Βιβλιοπωλῶν, εἴτι τῶν καινῶν βιβλίων ἐκ Γερμανίας ἐκομίσθη· ἐρώτησον αὐτȣ̀ς, ποῖα ἄττʼ ἐςὶ, ᾗ πόσȣ ὤνια; μετὰ ταῦτα καλέσεις τὸν Μαργȣ́νιον ἐπὶ τὸ δεῖπνον. Θ. Καὶ συμπότας γε καλεῖς; ȣ̓κ ἔχεις οἴκοι, ὅθεν ἂν μῦν τρέφοις. Δ. Πρςιὼν δὲ, τἄλλα διαπραξάμενος, ἄπιθι ἐπὶ τὸ κρεοπωλεῖον, ᾗ ὤνησαι ἡμῖν ὦμον ὄειον· τȣ͂τον φρόντιζε καλῶς ὀπτᾷν. Ἀκȣ́εις ταῦτα; Θ. Πλείω, ὧν ἂν βȣλοίμην. Δ. Ἀλλὰ μέμνησο τȣ́των ἁπάντων. Θ. Σχολῇ γʼ ἂν τῶν ἡμίσεων. Δ. Ἔτι ὧδε ἕςηκας, μελλητά; ἤδη σε ἐπανελθεῖν ἔδει. Θ. Τίς ἂν εἰς τοσαύταις διαρκέσειεν ἀσχολίαις; Δ. Πεφίμωσο, ᾗ ποίει σὺν τάχει τὰ προςαττόμενα, ἵνα μὴ πληγὰς βραδύνων λάβῃς.

ΔΙΑʹΛΟΓ. Ι!

Δεσπότης. Θεράπων.

Δ. Ἔνεγκε τὰ ὑποδήματα· ἱππευτέον γάρ.

Θ. Ἰδὲ

Θ. Ἰδὲ πάρεσιν. Δ. Ὡς καθαρά ἐςιν! ὅλα ςίλβει τῷ εὐρῶτι· ἐκκάθαρον ταῦτα, καὶ ἄλειψον τῷ λίπει. Θ. Πεπράξεται Δ. Πȣ̃ οἱ μύωπες; Θ. Πάρεισι. Δ. Πάρεισι μὲν, ἀλλὰ κατιωμένοι. Πȣ̃ ὁ χαλινὸς καὶ τὸ ἐφίππιον; Θ; Πρόχειρά ἐςι. Δ. Σκόπει, μήτι ἐνδεὲς ᾖ, ἢ διεῤῥωγὸς, ἵνα μήτι κώλυμα ἡμῖν γένηται ἐν τῇ ὁδῷ. Ἴθι ταχέως δραμὼν πρὸς τὸν ἐφιπποποιὲν, ὥςε τȣ̃τον τὸν ἱμάντα ἀκέσασθαι. Ἐπανιὼν ἐπίσκεψαι τὰ σεληναῖα πέδιλα τῶν ἵππων, εἴτινες τῶν ἥλων ἐλλείπȣσιν, ἢ σαλεύονται· ὡς κάτισχνοί εἰσιν οἱ ἵπποι καὶ λαγαροί· ποσάκις τȣ̃ ἐνιαυτȣ̃ καθαίρεις (ξέεις) τῇ ςλεγγίδι αὐτȣ̀ς; Θ. Μᾶλλον δὲ ἑκάςης ἡμέρας. Δ. Αὐτὸ δὴ τὸ πρᾶγμα δηλοῖ· νηςεύȣσιν, οἶμαι, ἐσθ' ὅτε τρεῖς ὅλας ἡμέρας. Θ. Ἥκιςά γε. Δ. Σὺ μὲν ἔξαρνος γίγνῃ· ἀλλ' ἄλλο ἂν ἔλεγον οἱ ἵπποι, εἴπερ φθέγγεσθαι εἶχον, καίτοι ἱκανῶς φθέγγονται αὐτῇ γε τῇ ἰσχνότητι. Θ. Θεραπεύω αὐτȣ̀ς ἐπιμελῶς. Δ. Τί ȣ̃ν πιότερος εἶ τῶν ἵππων; Θ. Ὅτι ȣ̓ νέμομαι (βόσκομαι) χόρτον. Δ. Τȣτὶ ȣ̃ν λοιπόν ἐςι· παρασκεύασον ταχέως τὴν ἀςκοπήραν. Θ. Πεπράξεται.

ἙΛΛΗ-

ἙΛΛΗΝΙΚΩ͂Ν ΔΙΑΛΟ'ΓΩΝ
ἙΚΑΤΟΝΤΑ'Σ Β!

ΔΕΚΑ'Σ Α!
Περὶ Θεοῦ.

ΔΙΑ'ΛΟΓΟΣ Α!
Πατήρ. Υἱός.

Π. Τί οἴει, ὦ παῖ, θεώμενος τούτους τοὺς καλοὺς λειμῶνας, ϗ ταυτὶ τὰ ποικίλα ἄνθη ϗ δένδρα, ϗ ὁρῶν τοὺς καρποὺς ἐν τοῖς ἀγροῖς, τοὺς ἰχθῦς ἐν τοῖς ὕδασι, τοὺς ὄρνιθας ἐν τῷ ἀέρι, ϗ τὸν ἥλιον ἐν τῷ οὐρανῷ, ἆρ' οὖν ταῦτα πάντα ὑπὸ τύχης γεγένηται; Υ. Τουτὶ πιστεύειν ἀφροσύνη ἂν εἴη μεγίστη. Π. Πόθεν οὖν ἔχει ταῦτα τὴν γένεσιν; Υ. Παρὰ τοῦ Θεοῦ, ὅς ἐστι δημιουργὸς ἁπάντων. Π. Ὀρθῶς γε· ὁ Θεὸς γάρ ἐστι ποιητὴς οὐρανοῦ, ἡλίου, σελήνης ϗ ἀστέρων· πυρὸς, ἀέρος, ὕδατος ϗ γῆς· ζώων λογικῶν ϗ ἀλόγων, πεζῶν ϗ πτηνῶν ϗ νηκτῶν ϗ ἑρπετῶν ϗ ἀμφιβίων, ἡμέρων τε ϗ ἀγρίων, χειροηθῶν τε ϗ ἀτιθασσεύτων, βοτανῶν, φυτῶν, θάμνων τε ϗ δένδρων, θαλασσῶν ϗ ποταμῶν, ὀρέων τε ϗ φαράγγων,

λίθωντε ϗ μετάλλων. Πόθεν ἒν οἶσθα τὸν Θεὸν ὑπάρχειν; Υ. Ἐκ τῶν ἀπείρων αὐτῒ ἔργων.

ΔΙΑʼΛΟΓ. Β!

Π. Πόθεν σὺ γεγένησαι; Υ. Ὑπὸ τῒ αὐτῒ· μόνος γὰρ ὁ Θεός ἐςιν ὁ τό,τε σῶμα συναρμόσας μοι ϗ τὴν ψυχὴν ἐνθεὶς, τήν τε βρῶσιν ϗ τὴν πόσιν χορηγῶν, τήντε ζωὴν ϗ τὴν ὑγίειαν συντηρῶν, ἄλλατε μυρία ἀγαθὰ καθʼ ἑκάςην ἐμοὶ ποιῶν. Π. Αʼρʼ ἒν κρείττων πέφυκας τῒ ἵππῒ, ἢ ἄλλῒ τῒ τῶν ζώων; Υ. Πάνυ μὲν ἒν· ἄνθρωπός γάρ εἰμι, ἐν ᾧ ἔνεςι Ψυχὴ λόγῒ μετέχῒσα, ὃν ἒδὲν ἄλλο τῶν ζώων ἔχει. Π. Τίνος δʼ ἕνεκα τὰ ζῶα λόγον ἒκ ἔχει; Υ. Οʼτι ἒτω τοῖς ἀνθρώποις, ὧν ἕνεκα γέγονε, χρησιμώτερά ἐςιν. Π. Οὐκ ἆρα μεγίςην χάριν ὀφείλομεν τῷ χρηςοτάτῳ Πατρὶ τοσαῦτα ϗ τηλικαῦτα ἡμῖν ἀγαθὰ παρεχομένῳ; Υ. Οʻ μὴ τῒτόγε ποιῶν, ἒτος δήπῒ ἀγνωμονέςατος ἂν εἴη.

ΔΙΑʼΛΟΓ. Γ!

Π. Πῒ δέ ἐςιν ὁ Θεὸς ὁ φιλανθρωπότατος ἐκεῖνος πατήρ; Υ. Πανταχῒ ἡμῖν πάρεςιν, ἒδʼ ἔςι τις γωνία, ἢ κρησφύγετον ἢ μυχὸς τῆς γῆς, ἐν ᾧ ἒκ ἂν ὁ Θεὸς παρείη. Π. Οὐδʼ ἂν λάθοι ἄράγέ τι αὐτόν; Υ. Οὐδὲν ὅλως ἐςὶν, ὃ ἒκ ἂν ὁ Θεὸς εἰδείη· οἶδε γὰρ πάντα τάτε λεγόμενα ϗ πραττόμενα ϗ τὰ σιγῇ βῒλευόμενα, ὁποῖα ποτʼ ἂν ᾖ, εἴτε ἀγαθὰ, εἴτε φαῦλα. Π. Εὐλαβῒ τοίνυν μηδὲν λέγειν ἢ πράττειν, ἢ διανο-

εισθαι

εἶσθαι, ὅπερ ἂν τῷ Θεῷ ἀπαρέσκοι· κἂν γὰρ ἀνθρώπους λάθῃς, ἀλλὰ τόν γε Θεὸν ὐδέποτε λήσεις. Χρηςὰ δὲ πράξας τέρπυ, ὡς τῦ Θεῦ ταῦτ' εἰδότος, ὃς ἀμείψεταί σέ ποτε τῆς τῶν τρόπων καλοκἀγαθίας.

ΔΙΆΛΟΓ. Δ!

Π. Ἆρ' ὖν δύνασαι τὸν Θεὸν ὁρᾷν; Υ. Ἥκιςάγε· ὐ γὰρ ἔχει σῶμα, ὡς οἱ ἄνθρωποι, κ̀ διὰ αὐτὸ τῦτο κ̀ πανταχῦ παρὼν ὐδαμῦ ὁρᾶσθαι πέφυκεν. Π. Οὐ κ̀ ἐν σοίγε ἔνεςι φύσις, ἣ ὐχ ὁρᾶται; Υ. Ἔνεςιν ἡ Ψυχὴ δηλαδὴ, ἥτις βασιλεύει ἐν ἡμῖν. Π. Ἦ κ̀ πεποίηταί ποτε ὁ Θεὸς, ὡς ἡ ψυχήσυ; Υ. Οὐδὲ πεποίηται πώποτε, ὥσπερ οἱ Ἄγγελοι, ὐδὲ γεγένηται, ὥσπερ οἱ Ἄνθρωποι, ἀλλ' ἀπ' αἰῶνος ἦν. Π. Ἆρ' ὖν τεθνήξεταί ποτε, ὥσπερ οἱ ἄνθρωποι. Υ. Οὐδέποτε ἀποθνήσκει, ἀλλ' ὥσπερ ἦν ἄναρχος, ὕτως ἔςαι κ̀ ἀτελεύτητος. Π. Ἐπιμελῦ τοίνυν, ὅπως φίλον σεαυτῷ τὸν Θεὸν ποιήσῃ, ὃς ἀΐδιος ὢν ἐπ' ἀϊδίυ αἰῶνος εὐδαίμονά σε ποιῆσαι δύναται.

ΔΙΆΛΟΓ. Ε!

Π. Πηλίκη ἐςὶν ἡ τῦ Θεῦ δύναμις; Υ. Ἄπειρος· δύναται γὰρ πάντα ποιεῖν, ὅσα βύλεται· ὐδ' ἔςι τι, ὃ ὐκ ἂν ὁ Θεὸς ποιεῖν δύναιτο· ὅθεν παντοδύναμος λέγεται. Π. Σκόπει τοίνυν, μὴ διὰ φαυλότητα ἠθῶν προσκρύσῃς Θεῷ, μηδενός σε τῆς χειρὸς αὐτῦ ἐξαρπάσαι δυναμένυ.

Μᾶλ-

Μᾶλλον μὲν οὖν ἐκτέλει προθύμως, ἅπερ ὁ Θεὸς κελεύει, ὥσπερ Ἰωσὴφ ἐκεῖνος ὁ πάνυ, ὃν πεῖσαι οὐκ ἴσχυσαν πονηρόντι πρᾶξαι, τῷ τὸν Θεὸν μᾶλλον, ἢ τοὺς ἀνθρώπους φοβεῖσθαι. Υ. Καὶ τί ἂν φοβοίμην, εἰ ὁ πανσθενὴς Θεὸς μετ᾽ ἐμοῦ ἐστι, καὶ διατηρεῖ με; Π. Ἀληθές ἐστι τὸ τοῦ Ἀποστόλου· εἰ ὁ Θεὸς μεθ᾽ ἡμῶν ἐστι, τίς καθ᾽ ἡμῶν; ἐντεῦθεν διὰ παντὸς θαρρεῖν ἔχουσιν οἱ τῷ Θεῷ πεποιθότες.

ΔΙΑΛΟΓ. ΣΤ!

Π. Ἠ καὶ ἀγαθός ἐστιν ὁ Θεὸς, καὶ ἀγαθῶν παρεκτικός; Υ. Χρηστότατος πατήρ ἐστι, καὶ πάντων τῶν ἀγαθῶν χορηγός. Π. Πόθεν τοῦτ᾽ οἶσθα; Υ. Ὅτι συνεχῶς ἡμῖν τοσαῦτα καὶ τηλικαῦτα δωρεῖται ἀγαθὰ, ὥστε μηδ᾽ ἂν ἀμφισβητεῖν μὴ εἶναι ἄκραν τὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς φιλανθρωπίαν. Π. Οὐκοῦν προνοεῖται ὁ Θεὸς τῶν ἀνθρώπων; Υ. Προνοεῖται δηλαδή· οὐδὲ τῶν ἀνθρώπων κήδεται μόνον, ἀλλὰ καὶ τῶν ζώων· οὐδὲν γὰρ ἄνευ τῆς τοῦ Θεοῦ προνοίας ἐν τῇ τῶν ὄντων φύσει γίγνεται. Π. Τίνι οὖν ὀφείλομεν ἄκραν ἀγάπην; Υ. Τῷ Θεῷ πατρὶ ἀρίστῳ, ὅς ἄξιός ἐστιν ἐμοὶ πολλῷ μᾶλλον ἀγαπᾷν αὐτὸν, ἢ τοὺς τεκόντας, καὶ πάντας τοὺς φιλτάτους. Π. Πάντως οὐδέποτ᾽ αὐτὸν πρὸς ἀξίαν θαυμάζειν, καὶ ἀγαπᾷν δυνάμεθα.

ΔΙΑΛΟΓ. Ζ!

Π. Πότερον οὖν πάντες οἱ ἄνθρωποι δύνανται τῷ Θεῷ ἀρέσκειν; Υ. Οὐ πάντες· οἱ μὲν γὰρ

γὰρ εὐσεβεῖς, οἱ τῷ Θεῷ ὡς ὑπήκοοι παῖδες πειθόμενοι, εἰσὶ παρ' αὐτῷ ἐν χάριτι· τοῖς δὲ μοχθηροῖς μὴ βϐλομένοις αὐτῷ ὑπακϐειν ϗ δύναται ὁ Θεὸς εὐνοεῖν· ἅγιος γάρ ἐςι, ϗ μεμίσηκε πᾶσαν ἀσέβειαν. Π. Ἐπεὶ δὲ ἅγιός ἐςι, τί ἕπεται ἐντεῦθεν; Υ. Καὶ δίκαιον εἶναι, ϗ τὺς πονηρὺς κολάζειν. Π. Τί ὖν ἠπείλησε τοῖς μοχθηροῖς τῶν ἀνθρώπων; Υ. Ποινὰς δικαιοτάτας, ἃς εἰ μὴ ἐν τῷδε τῷ βίῳ, πάντως γε μετὰ θάνατον, τίσϐσι. Π. Φυλάττϐ τοίνυν, ὅπως μηδὲν ποιῇς, ὅπερ ἂν ὁ Θεὸς ἀποδοκιμάζοι· ἢ γὰρ ἂν κακοδαιμονέςατος εἴης· τί γὰρ δεινότερον τῆς ὀργῆς τϐ παντοδυνάμϐ Θεϐ; Υ. Φυλάξομαι πάσῃ ἐπιμελείᾳ.

ΔΙΑʹΛΟΓ. Η!

Π. Τί δὲ ἐπηγγείλατο τοῖς εὐσεβέσι τῶν ἀνθρώπων; Υ. Τὴν αἰώνιον μακαριότητα, ἧς ἐν ὐρανῷ τεύξονται. Π. Ἆρ' ὖν βέβαιόν ἐςι τῦτο; Υ. Βεβαιότατον· ἀληθὴς γάρ ἐςιν ὁ ἐπαγγειλάμενος Θεὸς, ὃς ποιήσει πάντως τὰ ἐπηγγελμένα. Π. Τίς ἐςιν ὁ ταύτην ἡμῖν τὴν ἀγαθὴν ἐλπίδα παρεσχηκώς; Υ. Οʹ Ἰησῦς Χριςὸς, ὃς πρὸ χιλίων πϐ ἑπτακοσίων ἐτῶν ἐν τῇ Ἰϐδαίᾳ βεβίωκε, λόγῳ τε ϗ ἔργῳ ἐδίδαξε, ϗ τῷ ἰδίῳ θανάτῳ τοῖς ἀνθρώποις παρέσχεν ἐλπίδα τῆς ὐρανίϐ τεύξεσθαι μακαριότητος. Π. Σκόπει, ἡλίκα ὀφείλομεν αὐτῷ. Πείθϐ τοίνυν διὰ βίϐ τοῖς παραγγέλμασιν αὐτϐ, ϗ πάντως τεύξῃ τῆς εὐδαιμονίας τῆς ἐν ὐρανῷ ἡμῖν ἡτοιμασμένης, ϗ ἐς ἀεὶ ἐσομένης.

ΔΙΑʹ-

ΔΙΑʹΛΟΓ. Θ!

Π. Πῶς ἂν τῆς οὐρανίου τύχοιμεν μακαριότητος; Υ. Διὰ τῆς τηρήσεως τῶν ἐντολῶν καὶ τῆς ἀσκήσεως τῶν ἀρετῶν. Π. Πόθεν εἰσὶν αἱ ἀρεταί; Υ. Ἐκ τοῦ Θεοῦ τοῦ ἄκρου καὶ τελειοτάτου ἀγαθοῦ, ὥσπερ πάντων τῶν ἀγαθῶν αἰτίου, οὕτωτοι καὶ τῶν ἀρετῶν πηγῆς ἀνεξαντλήτου. Π. Πῶς ἀρυόμεθα ἐκ ταύτης τῆς πηγῆς; Υ. Διὰ τῆς προσευχῆς εἰσαγούσης εἰς τὴν ψυχὴν τὰ τοῦ Θεοῦ χαρίσματα. Π. Ὀρθῶς γε· ἄνευ γὰρ τῆς πρὸς Θεὸν ὁμιλίας καὶ οἰκειότητος οὐδεμία ἀρετή ἐστιν, οὐδ᾽ ἄσκησις τῆς ἀρετῆς. Εὔχου τοίνυν συνεχῶς τῷ Θεῷ τυγχάνειν τῆς παρ᾽ αὐτοῦ βοηθείας, ὥστε δύνασθαι πᾶσαν ἀρετὴν ἀσκεῖν.

ΔΙΑʹΛΟΓ. Ι!

Π. Τίς ἐστιν ἄριστος διδάσκαλος πασῶν τῶν ἀρετῶν; Υ. Ὁ Ἰησοῦς Χριστὸς ὁ Σωτὴρ ἡμῶν. Π. Τοῦ χάριν; Υ. Ὅτι ἐντελέστατα ἐπλήρωσεν, ἅπερ ἀκριβέστατα ἐδίδαξεν. Π. Ἆρ᾽ οὖν μόνον τὸν Χριστὸν μιμητέον ἐστί; Υ. Παντάπασιν· ἀλλ᾽ οὐδὲν ἧττον κἀκείνους ἡμῖν ζηλωτέον, οἳ ἀληθῶς τὸν Χριστὸν μιμοῦνται. Π. Μιμοῦ τοίνυν τὸν Χριστὸν ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ζήλου τοὺς ἀληθῶς τὸν Χριστὸν μιμουμένους. Υ. Οὐδέποτε παύσομαι οὕτω τὸν βίον διάγων, ὡς τῷ Θεῷ, καὶ τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν ἀρέσκειν.

ΔΕΚΑʼΣ Β!

Περὶ Εὐσεβείας.

ΔΙΑʼΛΟΓΟΣ Α!

Ἰωάννης. Θεόφιλος.

Ι. Πόθεν οὕτω πρωῒ ἥκεις, Θεόφιλε; Θ. Ἐκ τοῦ εὐκτηρίου οἴκου. Ι. Τί ἐποίησας ἐκεῖ; Θ. Προσηυξάμην τῷ Θεῷ. Ι. Εὐσεβέστερος εἶ, ἢ κατὰ τὴν σὴν ἡλικίαν. Θ. Μᾶλλον δὲ πάσῃ ἡλικίᾳ πρέπει εὐσέβεια. Ι. Τίεστιν εὐσέβεια; Θ. Ἀληθὴς λατρεία τοῦ Θεοῦ, καὶ τήρησις τῶν παραγγελμάτων αὐτοῦ. Ι. Τίνα ἐστὶ ταῦτα; Θ. Μακρὸν ἂν εἴη πάντα καταλέξαι, ἀλλʼ ὡς ἐν κεφαλαίῳ εἰπεῖν ταυτὶ τὰ τέτταρα. Ι. Τὰ ποῖα; Θ. Πρῶτον μὲν ὀρθῶς καὶ εὐσεβῶς περὶ Θεοῦ φρονεῖν, καὶ αὐτὸν οὐ μόνον ὡς δεσπότην φοβεῖσθαι, ἀλλὰ καὶ ὡς πατέρα χρηστὸν ἀγαπᾶν. δεύτερον δὲ πάσῃ ἐπιμελείᾳ τὴν ἀθωότητα τηρεῖν, τουτέστι μηδένα βλάπτειν, ἢ ἀδικεῖν. τρίτον δὲ ἀγάπην ἔχειν, ὅπερ ἐστὶ πάντας ἀνθρώπους ἐκ τῶν ἐνόντων εὖ ποιεῖν. τέταρτον ὑπομένειν, ὃ δηλοῖ πράως φέρειν τὰ κακὰ μὴ ἐκδικουμένους, μηδὲ κακὸν ἀντὶ κακοῦ διδόντας. Ι. Ὀρθῶς φιλοσοφεῖ· ἀτὰρ ποιεῖς, ἃ διδάσκεις; Θ. Πειρῶμαι τὸν δυνατὸν τρόπον. Ι. Τῷ τρόπῳ τοῦτο ποιεῖς; Θ. Μελετῶ τόγʼ ἐπʼ ἐμοὶ ἥκον καὶ ἐπιλογίζομαι

καθʼ

καθ' ἑκάστην τὰς πράξεις ϗ τοὺς λόγους μου· εἰ μήτι καλῶς ἔπραξα, ἢ φαύλως εἶπον, ἐπιδιορθῶ ϗ γνωσιμαχῶ. Ι. Πότε ποιῇ τοῦτον τὸν ἐπιλογισμὸν τῶν πράξεων ϗ λόγων; Θ. Ἐν νυκτὶ, ἢ ὅτε μᾶλλον ἐγχωρεῖ.

ΔΙΑΛΟΓ. Β'.

Ι. Ἴθι νῦν εἰπέ μοι, ἐν τίσι μαθήμασι διατρίβεις πᾶσαν τὴν ἡμέραν; Θ. Οὐδὲν ἀποκρύψομαί σε τὸν πιστὸν ἑταῖρον· ἕωθεν εὐθὺς τῆς κλίνης ἐξεγερθεὶς ἀνατείνω πρὸς τὸν Θεὸν τὴν διάνοιαν ἐπικαλούμενος τὸ ὄνομα αὐτοῦ. Ι. Εὐσεβῶς ποιεῖς· ἀλλὰ τί λέγεις αὐτῷ; Θ. Χάριτας ὁμολογῶ ἐπὶ πᾶσι, μάλιστα δὲ ἐπὶ τῇ ἐξηκούσῃ νυκτὶ, ἣν δι' ἐκείνου διήνυσα ἀνεπηρέαστον, δεόμενος αὐτοῦ μετὰ δέους ϗ εὐλαβείας φωτίσαι μου τὸν νοῦν, ϗ ἀξιῶσαί με καὶ τὴν ἐνεστηκυῖαν ἡμέραν εὐσεβῶς ϗ εὐαρέστως αὐτῷ διάγειν. Ι. Τί δὲ μετὰ ταῦτα; Θ. Ἀσπασάμενος τοὺς γονέας, οἷς μετὰ Θεὸν τὴν πρώτην ἀπονέμω τιμὴν, ὅτε ἥκῃ ὥρα, ἄπειμι εἰς τὸ φροντιστήριον. Ι. Τί ποιεῖς ἐκεῖ; Θ. Πρῶτον μὲν ἐπικαλοῦμαι τὴν θείαν βοήθειαν, ἧς ἄνευ οὐδὲν ἂν ἡμῖν γένοιτ' ἀγαθόν· εἶτα ποιῶ προθύμως τὰ ὑπαγορευόμενα ὑπὸ τοῦ διδασκάλου φυλαττόμενος μηδὲν ἄλλως πράττειν, ἢ λέγειν, δι' οὗ ἂν τοὺς συσχολαστὰς ἀπασχολοίην τῆς τῶν μαθημάτων ἀκροάσεως. Ι. Τίνα τρόπον; Θ. Ἀκροῶμαι πάσῃ προσοχῇ τοῦ διδασκάλου ἐξηγουμένου τὰ μαθήματα· παρασημειῶ ἐν χάρτῃ τὰ λόγου ἢ μνήμης ἄξια· εἴτις ἀπαντᾷ δυσχέρεια ἢ ἀπορία, ἐπερωτῶ τὸν Καθηγητήν· καὶ ὅλως εἰπεῖν, εἰ μήτι ἀναγκαῖον

εἴη

εἴη ἀναγινώσκειν ἢ γράφειν, προσερείδω τὰς ὄψεις τῷ διδασκάλῳ. Ι. Μακάριος εἰ οὕτω φρονῶν, μᾶλλον δὲ οὕτω ποιεῖν δυνάμενος! Θ. Ποιῶ, ὅπερ ὀφείλω, οὐδὲ τοῦθ᾽ ἱκανῶς καὶ ὅσον δεῖ.

ΔΙΑʹΛΟΓ. Γʹ.

Ι. Τί δὲ οἴκοι ποιεῖς ἐξιὼν τοῦ φροντιστηρίου; Θ. Εἴ τι ὑπουργεῖν ἔχω τοῖς τεκοῦσιν, ἐκτελῶ· εἶτ᾽ ἀναγινώσκω συντεταμένως ἃ μεμάθηκα, καὶ ἐπαναλαμβάνω, ὧν ἀκήκοα ἐν τῷ φροντιστηρίῳ. Ι. Ναὶ δὴ σύγε πάνυ φειδωλὸς εἶ τοῦ χρόνου. Θ. Οὐδὲν θαυμαστὸν, εἰ φείδομαι χρήματος πολυτελεστάτου. Ι. Ὁμολογῶ· ἀλλὰ τί μετὰ ταῦτα ποιεῖς; Θ. Ἑτοιμάσας τὴν τράπεζαν τοῖς Γονεῦσιν εὐλογῶ αὐτὴν τὴν Κυριακὴν ἐπιλέγων φωνήν· εἶτ᾽ ἀριστῶσιν ὑπηρετῶ, ἕως ἂν κἀγὼ ἀριστᾶν κελευσθῶ. Ι. Εἶτα τί; Θ. Ἐξαναστὰς τῆς τραπέζης καὶ τῷ Θεῷ εὐχαριστήσας βαδίζω πάλιν εἰς τὸ φροντιστήριον, ἐν ᾧ ἁπάσῃ προθυμίᾳ ποιῶ, ὧν περ ἕνεκα ἀφικόμην· οἴκαδε ἐπανιὼν αὐτὰ ταῦτα ποιῶ, ἃ καὶ πρὸ ἀρίστου. Ι. Τί δὲ μετὰ τὸ δειπνεῖν; Θ. Εὐξάμενος τοῖς γειναμένοις ἥσυχον νύκτα ἄπειμι εἰς εὐνὴν κοιμηθησόμενος, ὅπου δὴ ἀναλογίζομαι, ὥσπερ ἔφην, ὅπως διήνυσταί μοι αὕτη ἡ ἡμέρα. Εἰ μὲν ἦν τι ἐπλημμέλησα λόγῳ ἢ ἔργῳ, δέομαι τοῦ Θεοῦ συγγνῶναί μοι τοῦτο· εἰ δ᾽ οὔ, χάριτας ὁμολογῶ τῇ ἀγαθότητι αὐτοῦ διαφυλαξάσῃ με ἀπὸ πάσης κακίας· εἶθ᾽ ὅλον ἐμαυτὸν ἐκείνῳ παραθεὶς τρέπομαι εἰς ὕπνον, καὶ καθεύδω ἡδέως καὶ ἡσύχως. Ι. Εὖγε τῆς προαιρέσεως! Θ. Ποιῶ ἃ ὁ Θεὸς κελεύει, καὶ ὁ λόγος ὑπαγορεύει. ΔΙΑʹ-

ΔΙΑʹΛΟΓ. Δ!

Ι. Αʼλλʼ ὐδὲν μεταξὺ λόγων περὶ τῶν θείων ἀκύω. Θ. Οὐδὲ τύτων ἀμελῶς ἔχω, μάλιςα δὲ ἐν ταῖς Κυριακαῖς καὶ ταῖς ἑορτασίμοις τῶν ἡμερῶν. Ι. Πῶς ὖν ἐν ταύταις ἀναςρέφῃ; Θ. Πρὸ πάντων ἀνακρίνω ἐμαυτὸν, εἴτινι ῥύπῳ τῆς ἁμαρτίας κατέςικταί μυ ἡ ψυχή. Ι. Τί δὲ, εἰ τῦθʼ εὕροις; ἆρʼ ὖν ἀπάγεις σεαυτὸν τῦ ἱερῦ βήματος; Θ. Οὔκυν τῷ σώματι, ἀλλὰ τῇ διανοίᾳ ἀπάγω ἐμαυτὸν, καὶ πόῤῥωθεν ἑςὼς, μηδὲ τολμῶν ἐπᾶραι τὺς ὀφθαλμὺς εἰς τὸν Θεὸν πατέρα, τύπτω τὸ ςῆθος λέγων μετὰ τῦ Τελώνυ· ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Ι. Εἶτα τί ποιεῖς; Θ. Εἰ μέν τινα αἴσθωμαι ἠδικημένον ὑπʼ ἐμῦ, τῦτον πειρῶμαι παραχρῆμα ἐξιλεώσασθαι. εἰ ἔξεςιν, εἰ δʼ ὖν, βυλεύομαι, ἐπειδὰν τάχιςα ἐγχωρῇ, καταλλαγῆναι τῷ πλησίον· εἰδέ τις ἄλλος ἐμὲ ἠδίκηκε, τύτῳ συγγινώσκω, καὶ ἐπιμελῦμαι, ὅπως ἐπιγνὺς τὴν ἁμαρτίαν αὐτῦ γνωσιμαχήσῃ· εἰ δὲ μηδεμία τύτυ ἐλπὶς εἴη, τῷ Θεῷ ἅπασαν καταλείπω τὴν ἐκδίκησιν. Ι. Τυτὶ σκληρόν ἐςιν. Θ. Αʼρʼ ὖν σκληρόν ἐςι συγχωρεῖν τῷ ἀδελφῷ μικρά τινα ἁμαρτήματα διὰ παντὸς τῆς παρὰ Θεῦ συγγνώμης δεομένυς; Ι. Εὖ φιλοσοφεῖς· ἀλλʼ εἰσὶν οἱ θᾶττον ἂν τὸ ζῆν πρόοιντο, ἢ τῷ ἀδελφῷ συγγινώσκοιεν. Θ. Οὗτοι δήπυ ὐκ ἄξιοί γέ εἰσι τῆς παρὰ Θεῦ συγγνώμης τυγχάνειν.

ΔΙΑʼ-

ΔΙΑ'ΛΟΓ. Ε!

Ι. Ἔα τούτους χαίρειν· ἀλλ' ἐπάνιθι ἐπὶ τὰ θεῖα. Θ. Εἴγ' ἔξεστι, παρίσταμαι τῷ ἱερῷ βήματι, ἵν' ἀκούειν δύνωμαι, ὧν ὑπαναγινώσκει ὁ Ἱερουργὸς, μάλιστα δὲ τοῦ ἱεροῦ Εὐαγγελίου καὶ τοῦ Ἀποστόλου. Ι Ἐν τούτῳ δὲ οὐ προσεύχῃ; Θ. Προσεύχομαι μὲν, ἀλλὰ τῷ νῷ μᾶλλον ἢ τοῖς χείλεσι. Ι. Καλῶς γε· ἀτὰρ τίσι ποτὲ διανοήμασι μάλιστα τὸν τῆς προσευχῆς καιρὸν διανύεις; Θ. Χάριτας ὁμολογῶ τῷ Θεῷ τῆς ἀῤῥήτου ἀγάπης καὶ ἀφάτου εὐσπλαγχνίας, ὅτι ἐῤῥύσατο τὸ ἀνθρώπινον γένος ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, καὶ δέομαι αὐτοῦ ἐπιστηρίξαι με ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως, καὶ ἄξιον δοῦλον ἀναδεῖξαί με τῆς αὐτοῦ ἀγαθότητος. Ι. Τί δὲ, εἰ αἴσθοιο τὴν διάνοιαν εἰς ἕτερ' ἄττα περισπᾶσθαι; Θ. Ἀναγινώσκω ψαλμούς τινας, ἢ ἄλλο τι εὐσεβὲς, ὅπερ ἂν αὐτὴν ἀπάγοι τοῦ ῥεμβασμοῦ. Ι Ἔχεις ἐπὶ τούτῳ ψαλμούς τινας προχείρους; Θ. Ἔγωγε· οὐ μὴν δὲ ἐκείνοις οὕτω προσδέδεμαι, ὥστε μὴ ἀφιέναι, εἴτις ἔννοια ἐπίοι, ἥπερ ἂν μᾶλλον τὴν ψυχὴν κινοίη, ἢ ἐκείνη ἡ τῶν ψαλμῶν ἀπαγγελία.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Ι. Ἐπείπερ ἅπαξ ἠρξάμην, πάντα ἐξιχνεύσω. Πῶς ἔχεις περὶ τοὺς ἱεροὺς λόγους; Θ. Ἄριστα· πάνυ γὰρ ἐπιθυμῶ τούτων ἀκούειν. Ι. Τί δὲ, εἰ μὴ εἴη ἐκκλησιαστής; Θ. Ἀναγινώσκω τὸ ἱερὸν Εὐαγγέλιον, καὶ τὰς βίβλους τῶν Ἀποστόλων μετὰ τῆς ἑρμηνείας τοῦ Χρυσοστόμου. Ι. Ἀλλὰ

ζώσης

ζώσης φωνῆς μείζων ἡ ἐνέργειά ἐστιν, ἢ ἀφώνων διδασκάλων. Θ. Ὁμολογῶ καὶ ἀκούειν προαιροῦμαι, εἴτις τὸν λόγον τοῦ Θεοῦ ἐπ' ἐκκλησίας τύχοι κηρύττων, ἀλλ' οὐ δοκῶ μοι πάντη τοῦ θείου λόγου ἐστερῆσθαι ἀκούων τοῦ Χρυσοστόμου γραφῇ φθεγγομένου, ἢ ἄλλου τοῦ τῶν ἱερῶν Πατέρων. Ι. Οὐκ οἶμαι· ἀλλὰ πῶς σοι ἀρέσκει ἡ Ἐξομολόγησις; Θ. Πάνυ μοι ἀρέσκει· ὁσημέραι γὰρ ἐξομολογοῦμαι. Ι. Ὁσημέραι; Θ. Πάνυ μὲν οὖν. Ι. Οὐκοῦν θρεπτέον σοὶ Γερέα; Θ. Ἀλλ' ἐξομολογοῦμαι τῷ μόνῳ ὡς ἀληθῶς δυναμένῳ τὰς ἁμαρτίας ἀφιέναι. Ι. Ἀρκεῖ δ' αὕτη ἡ τῶν πταισμάτων ὁμολογία; Θ. Αὕτη δηλαδὴ κεφαλαιώδης καθέστηκε, καὶ παντὶ εὐσεβοῦντι ἀναγκαία· οὐδὲ ῥᾴδιόν ἐστι τῷ Θεῷ ἐξομολογεῖσθαι· οὐ γὰρ ἐξομολογεῖται αὐτῷ, εἰ μὴ ὁ ἐκ καρδίας τῇ ἁμαρτίᾳ ὀργιζόμενος. Ι. Πῶς οὖν αὐτὸς ἐξομολογῇ τῷ Θεῷ; Θ. Ἐκδιηγοῦμαι αὐτῷ πάσας τὰς ἁμαρτίας μου· κλαίω καὶ ὀδύρομαι ἐπὶ τοῖς πλημμελημένοις μοι, καὶ αἰτοῦμαι τὸ ἔλεος αὐτοῦ, οὐδὲ παύομαι θρηνῶν, ἕως ἂν αἴσθωμαι ἐμαυτὸν ἀνακουφισθέντα γέπως τοῦ τῶν ἁμαρτιῶν βάρους. Ἡνίκα δὲ καιρὸς παρῇ τῇ ἱερᾷ τραπέζῃ τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου προσιέναι, ἐξομολογοῦμαι καὶ τῷ κατὰ πνεῦμα Πατρί.

ΔΙΑʹΛΟΓ. Ζ!

Ι. Ἀγαμαῖσοῦ τὸ φρόνημα· ἀτὰρ εἰπέ μοι, εἰ πάντα καὶ παντὶ τῷ τυχόντι ἱερεῖ ἐξομολογῇ; Θ. Πάντα μὲν τά τε θανάσιμα καὶ μὴ θανάσιμα ἁμαρτήματα, οὐ παντὶ δὲ, ἀλλ' ἐκλέγομαι

ἱερέα,

ἱερέα, ὅτῳ ἂν τὰ κρύφια τῆς καρδίας πιςεύοιμι. Ι. Τῦτό ἐςι φρονεῖν· σπάνιοι γὰρ, ὡς κ̓ αὐτὸς οἶδας, τόγε νῦν ἔχον παρ᾽ ἡμῖν παιδείας τρόφιμοι τυγχάνουσιν ὄντες· Ὅπου γὰρ πρότερον ὁ τῶν Μουσῶν θρόνος, ἐνταῦθα νῦν τῆς ἀμαθείας ἡ ἕδρα. Θ. Ταῦτ᾽ ἄρα κἀγὼ ἐξαιροῦμαι ἄνδρα πεπαιδευμένον, σεβάσμιον, εὐλαβῆ, σώφρονα, νηφάλιον, δόκιμον, κ̓ ἱκανὸν λόγῳ τε κ̓ ἔργῳ ψυχὰς ἀνθρώπων διορθῶσθαι. Ι. Μακάριος εἶ ἀληθῶς τοιαῦτα πρωῒ φρονεῖν ἀρξάμενος. Θ. Εἶτα τούτου δὴ μάλιςα ἐπιμελοῦμαι τοῦ μηδὲν πράττειν, ἢ λέγειν, ὅπερ ἂν τῷ ἱερεῖ μετὰ κινδύνου τῆς ψυχῆς πιςεύοιμι. Ι. Οὐδὲν δήπου βέλτιον, εἰ δύνασαι φυλάττεσθαι. Θ. Ἡμῖν μὲν χαλεπώτατόν ἐςιν, ἀλλὰ τοῦ Θεοῦ ἐπαμύνοντος ῥᾴδιον καθέςηκε.

ΔΙΑΛΟΓ. Η!

Ι. Πῶς δὲ φυλάττῃ μὴ περιπίπτειν τοῖς ἁμαρτήμασι; Θ. Πρῶτον μὲν αἰτοῦμαι τὴν θείαν χάριν, ἧς ἄνευ οὐδὲν ἀγαθὸν ποιεῖν δυνάμεθα· εἶτ᾽ ἀπάγω ἐμαυτὸν τῆς τῶν πονηρῶν κ̓ φαύλων ἀνθρώπων συνουσίας, κ̓ προςίθεμαι τοῖς ἀγαθοῖς κ̓ ἐπαινετοῖς τὸν τρόπον. Ι. Ὀρθῶς σεαυτοῦ προνοεῖς· φθείρουσι γὰρ ἤθη χρηςὰ ὁμιλίαι κακαί. Θ. Τὴν ἀργίαν, ὡς λοιμόν τινα φεύγω. Ι. Οὐδὲν θαυμαςὸν, εἴγε πᾶσαν κακίαν αὕτη ἐκδιδάσκει· ἀλλὰ γὰρ, ὡς τὰ τῶν ἀνθρώπων ἤθη τόγε νῦν ἔχον πέφυκεν, ἀνάγκη μόνῳ ζῆν, ὅτῳ βουλομένῳ ἐςὶ τῆς τῶν μοχθηρῶν καὶ διαβεβλημένων συνδιαιτήσεως ἀπέχεσθαι. Θ. Παγκάλως λέγεις· οἱ πλείους γὰρ κακοὶ, κατὰ τὸν εἰπόν

τα

τα Σοφόν. ἀλλὰ τῶν ὀλίγων τὰς ἀρίστας ἐξαιροῦμαι· χρηστὸς μὲν οὖν ἅπασιν εἰμὶ, φίλος δ᾽ ὀλίγοις καὶ μόνοις τοῖς ἀγαθοῖς. Ι. Τί δὲ, εἰ τῶν φαύλων τισὶ περιπίπτοις; Θ. Ἤτοι ἐπιδιορθῶ αὐτὰς καὶ μεταῤῥυθμίζω χρηστῶς παραινῶν, ἢ ἀνέχομαι· ἢν δ᾽ αἴσθωμαι μηδὲν ἀνύσων, πάντως, ὅταν τάχιστα ἐγχωρεῖ, κλέπτω ἐμαυτὸν ἀπ᾽ αὐτῶν.

ΔΙΑ'ΛΟΓ. Θ!

Ι. Λέγε μοι ἤδη τὰ λοιπά σου ἀγαθὰ ἔργα, ἵν᾽ ἀκούσας ταῦτα καὶ καταμαθὼν, ἢν δύνωμαι, μιμήσωμαι. Θ. Τριῶν μοι μάλιστα μέλει. Ι. Ποῖα ταῦτα λέγεις; Θ. Πρῶτον μὲν εὐδοκιμεῖν ἐπὶ τρόπων χρηστότητι. δεύτερον δὲ φυλάττειν τὸ συνειδὸς ἀμίαντον καὶ τοὔνομα. τρίτον δὲ κτᾶσθαι τὰ καλὰ ἐπιτηδεύματα καὶ μαθήματα ξυνοίσοντά μοι ἐν τῷ βίῳ. Ι. Ἀποδέχῃ δὲ τὰ τῶν Ποιητῶν; Θ. Οὐ πάντα, οὐδὲ δὴ ὅλου, ἀλλ᾽ ἐν οἷς ἀρετὴν ἐθαύμασαν, ἢ κακίαν διέβαλον· εἰ δέ τῳ τῶν μὴ καλῶς ἐκείνοις εἰρημένων ἐντύχοιμι, παρέρχομαι, ὥσπερ ὁ Ὀδυσσεὺς ἐπιφραξάμενος τὰ ὦτα παρέπλευσε τὰς Σειρῆνας. Ι. Μεταξὺ δὲ τίνι τῶν μαθημάτων φέρων σαυτὸν ἐπέδωκας; Θ. Οὐδενί πω ἐπέδωκα ἐμαυτὸν, ἀλλ᾽ ἁπάντων γεῦσίν τινα λαμβάνω, ἵνα μηδενὸς ἀπείρως ἔχω, καὶ ἀπογευσάμενος ὅσον ἅλις αὐτῶν ἐκλέξωμαι, πρὸς ὃ πέφυκα. Ι. Τίνα τῶν μαθημάτων ἡγῇ κάλλιστα εἶναι; Θ. Πάντα καλά ἐστι καὶ χρήσιμα· ταύτῃ τοι μηδενὸς δεῖ καταφρονεῖν, ἀλλ᾽ αἱρεῖσθαι ἕκαστον, πρὸς ὃ πέφυκε.

ΔΙΑ'-

ΔΙΑʹΛΟΓ. Ι!

Ι. Τίς σε ταύτην τὴν φιλοσοφίαν ἐδίδαξεν; Θ. Εὐσέβιος ὁ Κάλλιςος· γινώσκεις τὸν ἄνδρα; Ι. Πῶς γὰρ ȣ̓̈; ὥσπερ σέ. Θ. Οὗτός με ἔτι παῖδα ὄντα ȣ̔́τως ἐξεπαίδευσεν. Ι. Οὐ φθονήσεις, εἰ ζηλωτὴς τȣ̃ τρόπȣ σȣ γένωμαι; Θ. Μᾶλλον δὲ πολλῷ μοι προσφιλέςερος ἔσῃ· οἶδα γὰρ ὁμοιότητι τρόπων συνίςαϑαι τὴν φιλίαν. Ι. Πειράσομαι ταύτην τὴν ὁδὸν πορευεϑαι. Θ. Ἀγαϑῇ τύχῃ ἄρξαι τȣ̃ ἔργȣ! Ι. Ἴσως ἂν σε καταλάβοιμι. Θ. Εἴϑε ϗ παρελάσειας! ἀλλὰ τέως ȣ̓κ ἀποκρύψομαί σε, ὡς ἔγωγε καθ᾽ ἑκάςην ἐμαυτὸν ὑπερβάλλεϑαι φιλονεικῶ· πειρῶ μέντοι, εἰ δύνασαι, ϗ προκαταλαβεῖν με.

ΔΕΚΑʹΣ Γ!

Περὶ Ἀνατροφῆς.

ΔΙΑʹΛΟΓΟΣ Α!

Σωφρόνιος. Εὐγένιος.

Σ. Τȣ̃ χάριν ἀπέςειλέ σε δεῦρο ὡς ἐμὲ ὁ σὸς πατήρ; Ε. Ἔφη σὲ ἄνδρα εἶναι καλῶς ἀνατεθραμμένον ϗ παιδείας εὖ ἥκοντα, ϗ διάτοι τȣ̃το ἀρεςὸν τῇδε τῇ πόλει· ἐπιθυμεῖν ȣ̓̃ν αὐτὸν κἀμὲ τοῖς αὐτοῖς, οἷς περ αὐτὸς, ἴχνεσιν ἐπακολȣ-

κληθέντα παρὰ τῷ δήμῳ εὐδοκιμεῖν. Σ. Πῶς οὖν οἴει τούτου τεύξεσθαι; Ε. Παιδείας τυχὼν τῆς ἀρίστης, οἵας σὲ πάντες τετυχηκότα φασί· προσέθηκε δὲ ὁ Πατὴρ ταύτην τὴν ἀγωγὴν μᾶλλον ἐμοὶ καθήκειν, ἢ ὁτῳοῦν ἄλλῳ. Σ. Εἰπέ μοι, ὦ παῖ, ὅπως ἐπὶ τοῦθ' ἥκεις ὑπὸ τοῦ πατρὸς πεπαιδευμένος; Ε. Οὐχ οὕτω με ὁ πατὴρ ἐξεπαίδευσεν, ὥσπερ ὁ πρὸς πατρὸς θεῖος, ἀνὴρ γέρων καὶ τρίβων τῶν πολιτικῶν. Σ. Τί οὖν ἐκεῖνοί σε, ὦ παῖ καὶ φίλε, ἐδίδαξαν; Ε. Ὅρα, ἀνδρῶν ἄριστε καὶ σοφώτατε, μὴ λάθῃς σεαυτὸν φαῦλόν τι, ἢ ἄγροικον εἰπών, ἢ πράξας, ὅθεν ἂν τὸ τοῦ καλῶς πεπαιδευμένου ὄνομα ἀποβάλοις. Σ. Τί; οὕτως ἐκ τοῦ ῥᾴστου παρ' ὑμῖν οἴχεται τοὔνομα; Ε. Καὶ μιᾶς γε φωνῆς ἕνεκα, ἢ ὑποκλίσεως τῆς κεφαλῆς. Σ. Λίαν ἐκλελυμένοι ἐστὲ καὶ ἀσθενεῖς· ἡμεῖς γὰρ ἐρρωμενέστεροι πεφύκαμεν καὶ ἰσχυρότεροι. Ε. Τοιαῦταί εἰσιν αἱ ἡμέτεραι κρίσεις, οἷά περ τὰ σώματα, ἃ οὐδεμίαν φέρει βλάβην. Σ. Μᾶλλον δὲ, ὅσον εἰκάσαι, ῥᾷον φέρουσι τὰ σώματα, ἢ αἱ ψυχαί. Ε. Ἴσως ἀγνοεῖς ἐμὲ, καὶ τούτου χάριν παῖδά με καλεῖς καὶ φίλον. Σ. Οὐκ ἔστι ταῦτα τὰ ὀνόματα ἔντιμα καὶ πλέω εὐνοίας; Ε. Εὐνοίας μὲν πιστεύω, ἣν ἡμεῖς οὐ περὶ πολλοῦ ποιούμεθα, οὐ τιμῆς δὲ καὶ δόξης, ἣν λίαν θηρώμεθα· κύριος γὰρ φιλῶ καλεῖσθαι, οὐ φίλος. Σ. Τί οὖν; ἐπιθυμεῖς πάντων εἶναι κύριος, οὐδενὶ φίλος; Ε. Οὕτως ἐδίδαξαν οἱ τῷ γένει προσήκοντες.

ΔΙΑʹΛΟΓ. Β!

Σ. Ηʹδη μοι εἰπάτω, Κύριε, ἡ σὴ εὐγένεια τὰ θαυμαςάγε ἐκεῖνα τῶν ξυγγενῶν σοι διδάγματα. Ε. Πρῶτον μὲν εἶναί με ἐκ γένες περιφανῦς, ὅπερ ἂν ἐδενὶ κατὰ πᾶσαν τήνδε τὴν χώραν τῶν πρωτείων παραχωροίη. ταύτῃ τοι ἐπιμελητέον ἐμοὶ ϗ πειρατέον ἐς δύναμιν μὴ κατόπιν λείπεσθαι τῆς τῶν προγόνων ἀρετῆς, τὸς δὲ μέγα κτήσασθαι ὄνομα μηδενὶ παραχωρήσαντας τῆς τε τιμῆς, καὶ ἀξίας, ϗ τε ἀξιώματος, κἀμὲ ταυτὰ δεῖ ποιεῖν. εἰ δέ τις ἐθέλοι ἀφαιρεῖσθαί τι τῆς τιμῆς, διαμάχεσθαι εὐθὺς πρὸς τῦτον· εἶτα περὶ μὲν τὰ χρήματα ἐλευθέριον, ϗ δὴ ϗ ἐκκεχυμένον εἶναι, τῆς δὲ τιμῆς μηδὲν ὑφίεσθαι, προσέχειν ἀλλʹ ἐν δεῖν ἐμὲ ϗ τὸς κατʹ ἐμε υπεξανίςασθαι τοῖς ἄλλοις, παραχωρεῖν τε τῆς ὁδῦ, ϗ ἀνακαλύπτειν τὴν κεφαλὴν, ἐχ ὅτι ἐκεῖνοι ἄξιοί γέ εἰσι τοιαῦτα παρʹ ἐμῦ λαβεῖν, ἀλλʹ ὅτι ὅτως ἔγωγε τῆς παρὰ τῶν ἄλλων εὐνοίας τεύξομαι, εὐδοκιμήσω τε παρὰ τῷ δήμῳ, καὶ κτήσομαι ἧς ὅτω σφόδρα ἐρῶ τιμῆς, καὶ τὸτω διαφέρειν τὸν εὐγενῆ τῦ ἀγενῦς, τῷ τὸν μὲν εὐγενῆ ταῦτα πάντα εὐφυῶς ποιεῖν πεπαιδεῦσθαι, τὸν δὲ ἀγενῆ ἄγροικον ὄντα μηδὲν ἐκείνων εἰδέναι ποιεῖν. Σ. Τῇ δὲ σῇ εὐγενείᾳ, Κύριε, ποία τις δοκεῖ ἅυτη ἡ ἀγωγή; Ε. Αʹρίςη δήπε ἔμοιγε δοκεῖ, ϗ ἀξία τῦ γένες μυ. Σ. Τί ὖν χρῄζεις ἐμῦ διδασκάλε; Ε. Οὐδὲν ἂν ὅλως ἐνέδει, κατʹ ἐμὴν γνώμην, εἰμὴ ὁ πατὴρ ὅτως ἐβύλετο, ὃς παρήγγειλε. μᾶλλον δὲ προσέταξέ μοι παρὰ σὲ ἀφικέσθαι δεησομένῳ, εἴτι κρυφιώτερον καὶ οἷόν

τι μήςήριον ταύτης τῆς ἀγωγῆς εἰδείης, ἐφ' ᾧ μείζονος τυχεῖν δόξης, μὴ ὀκνῆσαι ἐκείνῳ χαριζόμενον ἐκπαιδεῦσαί με, ὥςε τὸν ἡμέτερον οἶκον, ἄλλως τε ἐνδοξότατον ϗ λαμπρότατον, ἐπὶ μεῖζον αὔξεσθαι· ἐπείπερ εἰσί τινες νέοι ἄνθρωποι, οἳ σφόδρα τε τῷ πλούτῳ θαῤῥοῦντες, ϗ τιμὰς ϗ ἀξίας διὰ τούτου προσκτησάμενοι ἐπὶ μέγα προὐχώρησαν, ὥςε τολμᾶν ϗ περὶ τῆς τοῦ Γένους ἡμῶν ἀρχαιότητος ϗ λαμπρότητος ἀμφισβητεῖν. Σ. Αʼθέμιτον δήπου ἔργον. Ε. Οὐ γάρ; Σ. Καὶ τυφλῷ γε τοῦτο δῆλον. Ε. Τοιγαροῦν οἱ νέοι ἐκεῖνοι ἄνθρωποι περιπατοῦσιν ἐυπάρυφοι ϗ περιπόρφυροι, ϗ σοβοῦσι διὰ τῆς ἀγορᾶς τρεῖς ἢ τέτταρας ἀκολούθους ἔχοντες, ὡς μηδὲν εἶναι ἡμᾶς ποικίλους χιτῶνας ἀμπεχομένους, ϗ ἕνα παῖδα ἐπαγομένους, ἀμοιβὴ δὲ τῶν πόνων σου, εἰ τοῦτο χαρίσαιο τῷ Πατρὶ, ἔςαι φίλον αὐτῷ γενέσθαι σε ϗ οἰκεῖον, καὶ προϊόντος τοῦ χρόνου εὐεργετεῖσθαί τι ὑπ' αὐτοῦ, ϗ διὰ παντὸς εἶναι ἐν τῇ ἡμετέρᾳ προςασίᾳ ϗ σκέπῃ. Σ. Τί ἄν τις μεῖζον, ἢ ἥδιον τούτου εἴποι; Αʼτὰρ εἰπέ μοι ἤδη, εἰ ἀνακαλύπτεις τὴν κεφαλὴν, ὑπεξίςασαι τῆς ὁδοῦ ϗ τῆς ἕδρας, ϗ προσαγορεύεις χρηςῶς, διὰ τί δὴ σὺ ἔσῃ ἡδὺς τοῖς συνοῦσι; Ε. Διὰ τὸ αὐτὰ ταῦτα ἐκείνοις ποιεῖν.

ΔΙΑʹΛΟΓ. Γ!.

Σ. Ταῦτα πάντα ἐξωτερικά ἐςι σύμβολα παρεμφαίνοντα ἐνεῖναί τι ἐν τῇ ψυχῇ σου, δι' ὃ ἄξιος εἶ φιλεῖσθαι· αὐτὰ γὰρ καθ' ἑαυτὰ οὐδεὶς φιλεῖ. Ε. Πῶς οὐκ ἂν ταῦτα φιλοῖεν πάντες οἱ

χα-

χαρίεντες, ὐχ ἥκιστα δὲ οἱ εὖ γεγονότες; Σ. Πάνυ μικρὸν ἐπέδωκας· ὅπερ ἐν ἡμῖν εἰρήσθω· καὶ σύγε οἴει ἐπὶ τὸ ἄκρον ἤδη ἀφικέσθαι. Ε. Οὐκ ἀναγκαῖον ἐμοὶ παιδείαν κτήσασθαι καὶ ἐπιςήμας· οἱ γὰρ ἐμοὶ πρόγονοι κατέλιπόν μοι ἱκανὰ, ὅθεν ἂν ζῴην, κἂν μὴ παρῇ, ὐ ποριςέον ἐμοὶ ταύταις δὴ ταῖς ἀγενέσι τέχναις τὰ ἐπιτήδεια, ἀλλὰ γυμνῷ τῷ ξίφει. Σ. Θηριῶδες τἄτόγε, ὐκ ἀνθρώπινον, ὡς ἂν εἰ ἔλεγες τῷ εὐγενὴς εἶναι, μὴ καὶ ἄνθρωπος εἶναι βὐλεσθαι. Ε. Εὐφήμει! Σ. Ποτέρῳ γὖν τῶν μερῶν εἶ ἄνθρωπος τῷ σώματι, ἢ τῇ ψυχῇ; Ε. Τῇ ψυχῇ δηλονότι. Σ. Εἰ τοίνυν ταύτην μὲν ἐᾷς ἀπαίδευτον καὶ ἄγροικον, θεραπεύεις δὲ τὸ σῶμα, κἀκεῖνο μόνον τημελεῖς, ὐ μεταπίπτεις ἐκ τῆς ἀνθρωπείας φύσεως ἐς τὴν θηριώδη; Ἀλλ᾽ ἐπανιτέον, ὅθεν ἠρξάμεθα λέγειν· αὕτη γὰρ ἡ παρέκβασις, εἴπερ ἐθέλοιμι προαγαγεῖν τὸν λόγον, ὡς πορρωτάτω ἂν ἡμᾶς τὐ προκειμένὐ ἀπαγάγοι· Ὅτε ὖν ὑπείκεις τῆς ὁδὐ, καὶ ἀνακαλύπτεις τὴν κεφαλὴν, ποῖόν τινά σε ὑπολαμβάνὐσιν οἱ ἄλλοι εἶναι; Ε. Εὖ γεγονότα καὶ καλῶς ἀχθέντα. Τ. Λίαν σκαιὸς εἶ· ὐδὲν πώποτε ἀκήκοας οἴκοι περὶ εὐφυΐας, σωφροσύνης, ἐγκρατείας, κοσμιότητος καὶ μετριότητος; Ε. Ἀκήκοά ποτε ἐν τῷ ναῷ τῶν Ἱεροκηρύκων.

ΔΙΑʹΛΟΓ. Δ!

Σ. Ὁρῶντές σε ταῦτα πράττοντα οἱ ἐντυγχάνοντες ἡγὖνται παῖδα κόσμιον, καλὸν κἀγαθὸν, καὶ ὀρθῶς μὲν περὶ αὐτῶν κρίνοντα, μετρίως

δὲ

δὲ περὶ σεαυτȣ̃ φρονȣ̃ντα, ἐξ ἧς δὴ γνώμης γίγνεται ἡ εὔνοια ϗ φιλία, Ε. Φράσον πρὸς διὸς σαφέςερον. Σ. Τȣ̃τον ἔχω τὸν νȣ̃ν περὶ τȣ́των· εἴσε νομίζοιεν οἱ ἄνθρωποι ȣ̃τως ἀλαζόνα ϗ ὑπερήφανον, ὡς ἁπάντων μὲν ὑπερορᾷν, πλὴν σεαυτȣ̃, ἀνακαλύπτειν δὲ τὴν κεφαλὴν αὐτοῖς ϗ προσκυνεῖν, ȣ̓χ ὅτι αὐτοῖς ὀφείλεται τιμὴ, ἀλλ᾽ ὅτι σοὶ καθήκει, οἴει ἂν ὑπάρχειν, ὃς ἄν σοι χάριν εἰδείη; ἢ ταύτης σὲ τῆς ἐπιπλάςȣ τιμῆς φιλοίη; Ε. Πῶς γὰρ ȣ̈; Σ. Οʹτι σαυτῷ τȣ̃το, ȣ̓κ ἐκείνῳ χαριζόμενος ποιεῖς· τίς γὰρ ἂν σοι χάριν ἔχοι, ἐφ᾽ οἷς αὐτὸς σαυτῷ, ȣ̓κ ἐκείνῳ χαριζόμενος πεποίηκας; Αʹρ᾽ ȣ̓ν δέξομαι τὴν τιμὴν ὡς ἐμοὶ ἀποδιδομένην, ἣν αὐτὸς τῇ περὶ σαυτȣ̃ γνώμῃ προσάπτεις, ȣ̓ τῇ ἐμῇ ἀξίᾳ; Ε. Εʹοικεν. Σ. Οὐκȣ̃ν ἡ εὔνοια παρασκευάζεται, εἴπερ αὐτοὶ οἴονται σφίσιν αὐτοῖς ταύτην τὴν τιμὴν ἀποδίδοσθαι, ȣ̓χ ἵνα σὺ δοκῇς κοσμιώτερας ϗ εὐγενέςερας· τȣ̃το δὲ ȣ̓κ ἂν γένοιτο, εἰ μὴ τοιαύτην περὶ σȣ̃ γνώμην τυγχάνȣσιν ἔχοντες, ὡς βελτίȣς σαυτȣ̃ εἶναι αὐτȣ̀ς ἡγεῖσθαι ϗ ἀξίȣς, οἷς ἂν ὑπείκοις. Ε. Αʹλλ᾽ ȣ̓χ ȣ̃τως ἀεὶ ἔχον ἐςί. Σ. Κἂν τȣ̃το ψευδὲς ᾖ, ἀνάγκη μέντοι τὰ τοιαῦτα ἀπατᾶσθαι αὐτȣ̀ς· ἄλλως γὰρ ȣ̓ τεύξῃ, ὧν ἐπιθυμεῖς. Ε. Τίς ȣ̃ν ὁδὸς τȣ̃ πείθειν ἔςαι; Σ. Ρʹᾳδία, ἢν μόνον ἀκριβῶς τὸν νȣ̃ν ἐπιςήσῃς. Ε. Φράσον πρὸς διός· τȣ́τȣ γὰρ χάριν δεῦρο ἐςάλην, ϗ εὐεργέτης ἀεὶ ἀναγεγράψῃ ἐν τῇ ἡμετέρᾳ οἰκίᾳ.

ΔΙΑ'ΛΟΓ. Ε!

Σ. Πάνυ ὠμόν ἐςι τυτὶ τὸ μῆλον. Ε. Τί ὑποτονθορύζεις; Σ. Μίαν ὁδὸν εἶναί φημι· εἰ τοιῦτος εἴης, οἷός περ δοκεῖν βύλει. Ε. Πῶς δὴ τῦτο; Σ. Εἰ βύλει τι θερμαίνειν, ἐνέγκοις ἂν πῦρ ψευδές; Ε. Οὔμενυν, ἀλλ' ἀληθές. Σ. Εἰ τέμνειν, λάβοις ἂν ξίφος ἐν εἰκόνι γεγραμμένον; Ε. Οὐκ, ἀλλὰ σιδηρῦν. Σ. Οὐκ ἄρα ταυτά ἐςι τὰ ψευδῆ ϗ ἀληθῆ. Ε. Οὐ δοκεῖ. Σ. Οὐδ' αὐτὸς ἄρα ποιήσεις τῇ ἐπιπλάςῳ μετριότητι, ὃ τῇ ἀληθεῖ· τὰ μὲν γὰρ ψευδῆ αὐτόθεν ἐσθ' ὅτε ἁλίσκεται, τὰ δ' ἀληθῆ ἀεὶ ταυτά ἐςι. Προσποιύμενος εἴποις ἂν ποτέ τι, ἢ πράξαις, ὅθεν ἂν ἐλεγχθείης· ἀδύνατον γὰρ ἀεὶ ϗ πανταχῦ σαυτὸν ἐπιτηρεῖν· ϗ ὅσῳ πρότερον λαθὼν ἐτύγχανες φιλύμενος, τοσύτῳ ὕςερον ἔσῃ μισύμενος. Ε. Πῶς ἂν ὖν ἔγωγε κτησαίμην τὴν εἰλικρινῆ τῆς ψυχῆς μετριότητα, ἣν σὺ λέγεις; Σ. Εἰ πείσαις σαυτὸν τἀληθὲς ὑπάρχειν ἄλλυς βελτίυς. Ε. Βελτίυς; πῦποτε; ἐν τῷ ὐρανῷ πεπίςευκα· ἐπὶ γῆς γὰρ ἴσοι μὲν πάνυ ὀλίγοι, κρείττων δὲ ὐδείς· ὕτως ἀκήκοα πολλάκις τῦ πατρὸς ϗ τῦ θείυ. Σ. Πολὺ ἀπάγει ὑμᾶς τῆς τῦ ἀληθῦς γνώσεως ἡ τῶν ὀνομάτων ἄγνοια. Ε. Ἄγε δὴ δίδαξόν με τἀληθές.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Σ. Τί λέγεις σὺ ἀγαθὸν, ὄφρ' εὖ εἰδῶμεν, εἴτις σῦ κρείττων ὑπάρχει; Ε. Οὐκ οἶδα, τί 'ςιν ἀγαθόν· ἐξ ἀγαθῶν οἶμαι γενέσθαι. Σ. Ἀγνο-

Αʹγνοεῖς, τί ἐςιν ἀγαθὸν, ϗ ἐπίςασαι τί ἐςι κρεῖττον; πῶς ἥκεις ἐπὶ τὰ συγκριτικὰ μὴ εἰδὼς τὰ θετικά; τὰς δὲ σὰς προγόνες πόθεν οἶσθα ἀγαθὰς γενέσθαι; Ε. Τί; ἀ φὴς γενέσθαι ἐκείνες ἀγαθάς; Σ. Οὐκ ἔγνων αὐτάς· πῶς ἄντι περὶ τῆς ἐκείνων ἀγαθότητος, ἢ φαυλότητος εἴποιμι; πυνθάνομαι μέντοι τῷ τρόπῳ τεκμαίρῃ γενέσθαι αὐτὰς ἀγαθάς; Ε. Οʹτι ὅτω πάντές φασιν· ἀλλὰ πρὸς τὶ ταῦτα τὰ φορτικὰ ἐρωτήματα; Σ. Οὐκ ἔςι φορτικὰ, ἀλλʹ ἀναγκαῖα, ἵνα μάθῃς, ὅ,τι πυθάνημε. Ε. Εἰπὲ δὴ διὰ βραχέων; Σ. Αʹπόκριναι ὖν, ὅ ἄν σε ἐρωτῶ. Ε. Αʹλλὰ ποιήσω τῦτο. Σ. Τίνας ἂν καλῦμεν πεπαιδευμένες ἢ τὰς παιδείαν ἔχοντας; Ε. Μάλιςάγε. Σ. Τίνας δὲ πλεσίες ἢ τὰς χρήματα κεκτημένες; Ε. Σφόδραγε. Σ. Τίνες δʹ ἀγαθοί εἰσιν, ἐχ οἵςπερ ἀγαθὰ πρόσεςιν; Ε. Οὕτως. Σ. Εʹάσωμεν νῦν τὰ χρήματα, ἃ ὐκ ἔςιν ἀγαθά· εἰ γὰρ ἦν, πολλοὶ ἂν τῦ σῦ πατρὸς κρείττες ὑπῆρχαν, οἵτε ἔμποροι ϗ δανειςαὶ διέφερον ἂν πολὺ τῇ ἀρετῇ τῶν ἀγαθῶν ϗ σοφῶν ἀνδρῶν. Ε. Οʹρθῶς μοι δοκεῖς λέγειν.

ΔΙΑʹΛΟΓ. Ζʹ.

Σ. Σκόπει τοίνυν ἀκριβῶς ἕκαςα, περὶ ὧν ἐρῶ. Οὐκ ἀγαθὸν ἡ τῦ νοὸς ὀξύτης, ἡ ὑγιὴς κρίσις, ἡ παντοδαπὴ γνῶσις, ἡ πολλῶν πραγμάτων ἐμπειρία, ἡ ὀρθὴ βυλὴ ἐν τοῖς πρακτέοις; τί σοι δοκεῖ περὶ τύτων; Ε. Καὶ μόναγε τὰ ὀνόματα δοκεῖ μοι καλὰ εἶναι ϗ μεγαλοπρεπῆ, πολλῷ μᾶλλον αὐτὰ τὰ πράγματα. Σ.

Εἶεν

Εἶεν· τί δὲ, ἡ σοφία, ἡ φρόνησις, ἡ εὐσέβεια περὶ Θεὸν, ἡ πρὸς γονέας αἰδὼς, ἡ πρὸς φίλȣς πίςις, ἡ δικαιοσύνη, ἡ σωφροσύνη, ἡ ἐλευθεριότης, ἡ μεγαλοφροσύνη, ἡ ὀλιγωρία τῶν ἀνθρωπίνων πραγμάτων, ϗ ἡ εὐψυχία ἐν τοῖς δεινοῖς, ȣ̓ καλὰ ταῦτά ἐςι; Ε. Κάλλιςα. Σ. Ταῦτα δὴ μόνα ἐςὶ τὰ τȣ͂ ἀνθρώπȣ ἀγαθά· τὰ γὰρ λοιπὰ, ἅπερ ἂν εἴποι τις, κοινὰ δήπȣ ἐςὶ τοῖς ἀγαθοῖς ϗ κακοῖς, ϗ δι αὐτὸ τȣ͂το ȣ̓̈τ ἀγαθά. Καλῶς ταῦτα παρακατάθȣ τῇ μνήμῃ. Ε. Ποιήσω τȣ͂το. Σ. Πάνυ ἂν βȣλοίμην· ἡ γὰρ σὴ φύσις ȣ̓ φαύλη τις ἐςὶν, ἀλλ᾽ ȣ̓ καλῶς ἀχθεῖσα. Σκόπει τοίνυν, εἴ σοι ταῦτα πρόσεςι· ϗ εἰ πρόσεςιν, ὡς μικρά ἐςι ϗ λιτά. τȣ͂το δὲ ἀκριβῶς σκεψάμενος γνώσῃ σαυτὸν ȣ̓ μεγάλοις ȣ̓δὲ πολλοῖς ἀγαθοῖς κεκοσμημένον, ȣ̓δ᾽ ἐν τῷ δήμῳ ὑπάρχοντα, ᾧ ἂν ἧττω προσείη ἀγαθὰ, ἢ σοί· εἰσὶ γὰρ πάμπολλοι τῶν ἀνθρώπων μακρῷ σȣ κρείττȣς γένειτȣ ϗ πλȣ́τῳ ϗ παιδείᾳ ϗ ἄλλοις πολλοῖς τοῖς κατὰ ψυχὴν ϗ σῶμα πλεονεκτήμασιν· ȣ̓δ᾽ ὁ σὸς πατὴρ, ȣ̓δ᾽ οἱ σοὶ πάπποι, ȣ̓δ᾽ οἱ πρόπαπποι ἐγένοντο ἀγαθοὶ, εἰ μὴ ταῦτ᾽ ἐκτήσαντο, ἅπερ κατέλεξα. Εἰ μὲν ȣ͂ν προσῆν αὐτοῖς ταῦτα, σὺ ἂν εἰδείης· ἔγωγε μάλα σφόδρ᾽ ἐνδοιάζω· εἰ δὲ προσῆν, σύγε ȣ̓κ ἂν δήπȣ ἀγαθὸς εἴης, εἰ μὴ ἐκείνοις ἐφάμιλλος γένοιο. Ε. Ἐξέπληξάς με πάντως ϗ κατήσχυνας· ȣ̓κ ἔχω ὅ,τι ἀντιλέγω.

ΔΙΑʹΛΟΓ. Η!

Σ. Τί ȣ͂ν ὄνομα, ὦ παῖ, ἀξιοῖς νῦν καλεῖσθαι

γος περὶ σοῦ καὶ τοῦ Σωφρονίου. Ε. Σιωπήσωμεν οὖν περὶ τοῦ σοῦ πατρὸς, ἐπεὶ οὕτω σοι δοκεῖ, καὶ ἐπανίωμεν ἐπὶ τὸν Σωφρόνιον. Οὐδὲν τοῦ λόγου ἐκείνου τοῦ ἀνδρὸς ἥδιον, οὐδὲν τῶν συμβουλῶν σοφώτερον, οὐδὲν τῶν παραγγελμάτων σεμνότερον φρονιμώτερόν τε καὶ ἱερώτερον. Ταύτῃ τοι καὶ ἐξ ἧς μοι αὐτὸς περὶ ἑαυτοῦ παρέσχε γεύσεως, ὑπερφυῶς πως ηὐξήθη καὶ ἀνεφλέχθη ἡ δίψα τοῦ ἀρύεσθαι ἐκ τῆς ἡδίστης τῆσδε πηγῆς τῆς σοφίας· τοιαύτην γὰρ ὑπάρχειν τὴν πηγὴν ταύτην ἔγωγε πείρᾳ μεμάθηκα, οἵαν ἐκ ζώου μὲν ἄνθρωπον ἀπεργάζεσθαι, ἐκ φαύλου δὲ καὶ μοχθηροῦ καλὸν κἀγαθὸν παρέχεσθαι. Χ. Δυναίμην ἂν κἀγὼ τῆσδε τῆς πηγῆς κἂν ἄκροις χείλεσιν ἀπογεύσασθαι; Ε. Πῶς γὰρ οὔ; αὔριον ὑποδείξω σοι ἥνπερ οἰκεῖ οἰκίαν.

ΔΙΑ'ΛΟΓ. Ι!

Χ. Τουτὶ μὲν ἄλλοτε ποιήσεις· νῦν δὲ ἐν τῷ περιπατεῖν· ἢ καθεζώμεθα εἰ δοκεῖ· λέγε μοι τῶν ἐκείνου παραγγελμάτων, ἃ κάλλιστα καὶ χρησιμώτατα εἶναι ἡγῇ. Ε. Ἀσμενέστατά σοι καταλέξω, ἵνα σοί τε χαρίσωμαι καὶ ὀνήσω, ἣν δύνωμαι, καὶ ἐμαυτὸν ὑπομνήσω. Πρῶτον μὲν οὖν ἐδίδαξέ με δεῖν ἕκαστον ἡμῶν μὴ μέγα φρονεῖν περὶ ἑαυτοῦ, ἀλλὰ μέτρια, μᾶλλον δὲ ταπεινά· τοῦτο δὲ κεφάλαιον καὶ βάσιν καὶ ῥίζαν τῆς σπουδαίας ἀγωγῆς εἶναι. Εἶτα ἐπιμελεῖσθαι, ὅπως τὴν ψυχὴν γυμνάσει, καὶ κοσμήσει τῇ τῶν ὄντων γνώσει, καὶ τῇ τῶν ἀρετῶν ἀσκήσει· ἄλλως γὰρ τὸν ἄνθρωπον μὴ εἶναι ἄνθρωπον, ἀλλὰ κτῆνος.

Ἔτι

Ἔτι δὲ προσέρχεσθαι συνεχῶς τῷ θείῳ ναῷ ἀκροώμενον τῶν ἱερῶν τελετῶν, μάλιστα δὲ τῆς θείας Μυσταγωγίας μετὰ δέους καὶ εὐλαβείας τῆς δεήσεως. Συνεχῶς τῷ Θεῷ καθ' ἑαυτὸν ἐντυγχάνειν προσευχόμενον, καὶ εἰς ἐκεῖνον ἅπασαν τὴν ἐλπίδα ἀνατιθέναι. Τὸν διδάσκαλον διὰ τιμῆς ἄγειν καὶ ἀγαπᾷν ὡς πατέρα οὐ τοῦ θνητοῦ σώματος, ἀλλὰ τῆς ἀθανάτου ψυχῆς. Τοὺς ἱερεῖς σέβεσθαι ὡς λειτουργοὺς καὶ ὑπηρέτας τοῦ Θεοῦ, καὶ τῇ ἐκείνων διδασκαλίᾳ πείθεσθαι. Τοῖς πρεσβυτέροις ἀνακαλύπτειν τὴν κεφαλὴν, παραχωρεῖν τῆς ὁδοῦ συντυγχάνουσιν, ὑπανίστασθαι καθήμενον, καὶ λέγων ὑπείκειν. Τοὺς ἐν τέλει τιμᾷν, καὶ ὑπακούειν τοῖς ὑπ' αὐτῶν κελευομένοις. Τοὺς σοφίᾳ καὶ ἀρετῇ κεκοσμημένους ἄνδρας ἄγασθαι, θαυμάζειν, δι' εὐφήμου μνήμης ἄγειν, καὶ τὴν φιλίαν αὐτῶν ἐκ παντὸς διώκειν· μέγα γὰρ ἐκ τῆς ἐκείνων συνουσίας εἰς ἀρετὴν ὠφελεῖσθαι. Ἐπὶ πᾶσι δὲ τούτοις τοὺς ἐν ἀξιώμασιν ἐπισήμους, καὶ προστασίαν λαοῦ πεπιστευμένους αἰδεῖσθαι, καὶ τὴν ὀφειλομένην αὐτοῖς τιμὴν ἀπονέμειν. Τί σοι δοκεῖ περὶ τούτων τῶν παραγγελμάτων; Χ. Ἔμοιγε δοκεῖ ταῦτα ἐκ πλουσίου τινὸς τῆς σοφίας ταμείου προενηνέχθαι. Ἀτὰρ εἰπέ μοι, εἰ οὐκ εἰσὶ πολλοὶ τῶν ἐν ἀξιώσεσι καὶ ὑπεροχαῖς ἀνάξιοι, οἷον ἱερεῖς φαυλόβιοι, ἄρχοντες πονηροὶ, καὶ πρεσβῦται μωροὶ καὶ κρονόληροι; Τί δὲ περὶ τούτων ὁ Σωφρόνιος ἐφρόνει· ἆρ' οὖν καὶ τούτους ὡσαύτως τιμᾷν ἠξίου, ὥσπερ τοὺς κρείττους; Ε. Ἤδει μὲν ὁ Σωφρόνιος οὐκ ὀλίγους τοιούτους ὄντας, οὐκ ἐπέτρεπε δὲ τῇ καθ' ἡμᾶς ἡλικίᾳ τοὺς τοιούτους τῶν ἄλλων διαστέλλειν· μήπω γὰρ ἡμᾶς ἐς τοσοῦτον

ἥκειν

ἥκειν φρονήσεως, ὡς δύνασθαι ἐκείνους διαγινώσκειν, παραχωρεῖν δὲ τοῖς σοφοῖς ἀνδράσιν, ἢ τοῖς γε κρείττοσι τὴν εὐθύνην αὐτῶν. Χ. Ἄριστα ταῦτα. Ε. Ἔτι δὲ ἔλεγε μὴ δεῖν τὸν νέον βραδὺν εἶναι ἀνακαλύπτειν τὴν κεφαλὴν, προσαγορεύειν τε χρηστῶς τοὺς ἀπαντῶντας, καὶ τοῖς λόγοις οἰκείως ἐντυγχάνειν. Μὴ μακροῖς χρῆσθαι λόγοις ἐπὶ τῶν σοφίᾳ ἢ ἡλικίᾳ ἢ ἀξίᾳ προυχόντων, ἀλλὰ σιγῇ αὐτῶν ἀκούειν διαλεγομένων· ἐπιτομωτάτην γὰρ ἐπὶ τὰς ἐπιστήμας ὁδὸν εἶναι τὴν φιληκοΐαν. Σοφοῦ μὲν ἀνδρὸς εἶναι περὶ πραγμάτων κρίνειν, παντὸς δὲ περὶ ὅτου ἐπίσταται. ταῦτ᾽ ἄρα ἔφασκε μὴ δεῖν τὸν νέον ὀξὺν εἶναι καὶ προπετῆ περὶ τὰς ἀποφάνσεις καὶ κρίσεις τῶν πραγμάτων, ἀλλὰ βραδὺν καὶ δειλὸν αἰσθανόμενον δηλαδὴ τῆς ἑαυτοῦ ἀμαθίας. Χ. Τί δὲ περὶ τῶν τεχνῶν καὶ ἐπιστημῶν, τῶν πατρίων νόμων καὶ ἐθίμων, τῶν ἠθῶν καὶ ἐπιτηδευμάτων τῶν προγόνων ἐγίγνωσκεν; Ε. Περὶ τούτων οὐ μόνον οὐδὲ τὴν ἑαυτοῦ διεξέρχεσθαι γνώμην, ἀλλ᾽ οὐδὲ φιλονεικεῖν, ἢ ὅλως ἀμφισβητεῖν εἴα ὁ Σωφρόνιος, οὐδὲ χλευάζειν, οὐδὲ λόγον ἀπαιτεῖν, ἀλλὰ σιγῇ ὑπακούειν μάρτυρι χρώμενος τῷ Πλάτωνι ἀνδρὶ πόῤῥω σοφίας ἐληλακότι· μὴ γὰρ ἱκανὸν εἶναι αὐτὸν περὶ τούτων κρίνειν οὔπω παιδείας ἁψάμενον, καὶ ἄπειρον τῶν κατὰ βίον πράξεων. Χ. Ὀρθῶς ταῦτα· διέξιθι τὰ λοιπά. Ε. Μηδὲν οὕτως ἔλεγε τῷ νέῳ πρέπειν, ὡς αἰδῶ καὶ σωφροσύνην. Μὴ εἶναι αὐτὸν ἀργόν· τὸν μὲν γὰρ ἀργοῦντα εἶναι ἄχθος ἀρούρης, τὸν δὲ κακῶς ἀσχολούμενον κτῆνος, τὸν δὲ καλῶς ἀσχολούμενον ἀληθῶς ἄνθρωπον· τοὺς ἀνθρώπους μηδὲν πράττοντας κακῶς πράττειν μανθάνειν· τὴν βρῶσιν

καὶ

ϗ τὴν πόσιν μετρεῖν τῇ κατὰ φύσιν ἐπιθυμίᾳ τῆς πείνης ϗ τῆς δίψης, ὀ τῇ λιχνείᾳ ὀδὲ τῇ ἡδονῇ τῶ ἐμπίπλαδαι τὸ σῶμα. Τὸ εἶδος τῶ προσώπω, ϗ τὸ σχῆμα τῶ σώματος ἐμφαίνειν τὴν τῆς ψυχῆς διάθεσιν, ἀλλ' ὀδὲν τῆς ψυχῆς κατόπτρον ἔφασκεν εἶναι ἀκριβέστερον τῶν ὀμμάτων· ταύτῃ τοι προσήκειν ταῦτα εἶναι γαληνὰ ϗ ἥσυχα, ὀκ ἐπηρμένα, ὀδὲ κατηφῆ, ὀκ εὐκίνητα, ὀδ' ἄτρεπτα. Τὸ πρόσωπον μὴ εἶναι σκυθρωπὸν μήδ' ἄγριον, ἀλλὰ φαιδρὸν ϗ σεμνόν. Τὸν λόγον μήτε μεγαλοπρεπῆ ϗ ὑπέρογκον, μήτ' αὖ πάλιν ταπεινὸν ϗ θηλυπρεπῆ εἶναι ἐβόλετο. Τὸν νέον μήτε θρασὺν εἶναι ϗ τολμηρὸν, μήτε καταπλῆγα ϗ δειλόν. Μὴ χρῆδαι χειρονομίᾳ φθεγγόμενον, μηδὲ κινεῖν ἀναιτίως τὴν κεφαλὴν, καὶ τὸς πόδας, μὴ διαστρέφειν τὸς ὀφθαλμὸς ϗ τὰ χείλη, μηδ' ἐπιτρίβειν τὰς χεῖρας. Ἀσπάζεδαι μὲν τὴν ἀλήθειαν, ἀποστρέφεδαι δὲ τὸ ψεῦδος· τὴν μὲν γὰρ ἱερὸν εἶναι ϗ Θεῷ φίλον, τὸ δὲ δόλοπρεπὲς καὶ τοῖς ἀνθρώποις μισητόν. Φεύγειν παντὶ σθένει τὰς τῶν πονηρῶν ϗ διαβεβλημένων συνδιαιτήσεις, ὁμιλεῖν δὲ τοῖς ἐντίμοις ϗ κατ' ἀρετὴν γνωρίμοις εἰδότα, ὡς οἷσπερ ἕκαστος ἥδεται ξυνὼν, τοιῦτον ἀνάγκη ἀποβῆναι. Ἐπὶ πᾶσι δὲ τότοις φεύγειν τὴν ἀκολασίαν· ταύτην γὰρ ποιεῖν τὸς ἀνθρώπως κτήνη. Διελέγετο μὲν ὖν ἐκεῖνος ἄλλα τε πολλὰ, μεγάλα δήπω ϗ θαυμαστὰ, ϗ αὐτὰ ταῦτα διεξωδικώτερον ϗ ἀκριβέστερον· ἀλλὰ τῶτὶ ἦν σχεδὸν τὸ κεφάλαιον τῆς νομίμυ παιδείας, ϗ ὀρθῆς ἀγωγῆς τῶν Παίδων.

ΔΕΚΑΣ Δ!

Περὶ ἑωθινῶν Πραγμάτων.

ΔΙΑΛΟΓΟΣ Α!

Ἀνδρέας. Βασίλειος.

A. Χαῖρε, Βασίλειε! B. Νὴ καὶ σύγε, Ἀνδρέα! A. Ἀνάστηθι οὖν· ὥρα ἤδη ἀπιέναι εἰς τὸ διδασκαλεῖον· ἀκούεις; B. Οὐκ ἀκούω· ἔτι καθεύδω· ἢ γοῦν καθεύδειν ἐθέλω. A. Νῦν δὲ οὐ καιρὸς τοῦ καθεύδειν, ἀλλὰ τοῦ ἐγείρεσθαι. B. Ἔασόν με· κεκμηκώς εἰμι. A. Οὐκ ἐάσω σε, ἢν μὴ τὴν κλίνην καταλίπῃς· ἥκουσαι γὰρ ἡ ἑβδόμη. B. Ἡ ἑβδόμη; ἐγερθήσομαι. A. Πάντως ἔγειρας· ἢ οὐ μέμνησαι τοῦ λόγου, οὗ χθὲς ἀκηκόαμεν ἐν τῷ φροντιστηρίῳ· φίλη ταῖς Μούσαις ἠώς; B. Μέμνημαι ἔτι. A. Μεμνῆσθαι μὲν ἐπαινετὸν, ἐπιτελεῖν δὲ ἐπαινετώτερον. B. Καλῶς παραινεῖς· αὐτίκα δὴ ἐγερθήσομαι. ἀπόστηθι μικρόν.

ΔΙΑΛΟΓ. Β!

A. Τί ἕστηκας ἀργέ; ἐνδύθητι. B. Οὐκ ἔχω τὸν χιτῶνά μου. A. Ποῦ κατέθου αὐτὸν χθές; B. Οὐκ οἶδα. A. Κακῶς γε· εἰδέναι γάρ σε ἐχρῆν. ἔγωγε τὸν ἐμαυτοῦ ὅπου κατατίθεμαι, ἐκεῖ εὑρίσκω. B. Οὐδὲ τὸν ἐμὸν οἶμαι κεκλέφθαι, εὑρήσω πάντως τὸ ἀπολωλός. A. Ἀλ-

Α. Ἀλλὰ πȣ̃; ȣ̓χ ὑπὸ τῇ βάθρᾳ, ἢ ὑπὸ τῷ κλιβάνῳ; Β. Τί ȣ̓̃ν; μόνον εὕροιμι. Α. Οὐκ ἀρκεῖ εὑρεῖν· ἐν χώρᾳ προσηκȣ́σῃ τετάχθαι δεῖ τὰ ἔπιπλα. Β. Ἠνὶ ἐνταῦθα μὲν ἐςὶν ὁ χιτών μȣ, αὐτȣ̃ δὲ τὰ πέδιλα, ἐκεῖ δὲ αἱ περικνημῖδες. Α. Λαβὲ, ἔνδυθι, ἐπείχθητι· ȣ̓ χρή σε μέλλειν, ἀλλ᾽ ἀνύττειν· αὐτίκα γὰρ ἥξει ἡ μήτηρ, ἢ ἡ θεράπαινα κτενίσȣσα τὰς τρίχας τῆς κεφαλῆς πρῶτον μὲν τῷ ἀραιῷ, εἶτα δὲ τῷ πυκνῷ κτενί.

ΔΙΑʹΛΟΓ. Γ!

Α. Μέμνησαι ὧν ὁ Καθηγητὴς χθὲς περὶ τῆς τῶν ἱματίων χρήσεως διελέγετο; Β. Οἴει με ȣ̓́τως ἐπιλήσμονα εἶναι, ὥςε μήκετι μεμνῆσθαι; Α. Τί ȣ̓̃ν ἔφη; Β. Τῶν ἱματίων ἔφη τȣ̃τ᾽ ὄφελος εἶναι σκέπειν τε τὸ σῶμα, ϗ ἀπερύκειν ἀπ᾽ αὐτȣ̃ τὸ ψῦχος ϗ τὸ θάλπος. Α. Οὐδὲν πλέον ἔφησε; Β. Προσέθηκε δύνασθαι ἡμᾶς τοῖς ἱματίοις ἅτερον θατέρȣ διαγιγνώσκειν· ἐντεῦθεν ξυμβέβηκε τὸ θῆλυ ἄλλοις κεχρῆσθαι ἱματίοις, ἢ τὸ ἄῤῥεν. Α. Οὐδὲν μέμνησαι περὶ τȣ̃ τῶν ἀμφίων κόσμȣ; Β. Καὶ κοσμεῖν ἡμᾶς τὰ ἱμάτια δύναται, ἵνα μᾶλλον τοῖς ἄλλοις ἀρέσκωμεν. Α. Τί δὲ παρῄνει ὁ Καθηγητής; Β. Μὴ θηρεύειν ἡμᾶς ἔπαινον ἐκ τῶν καλῶν ἱματίων, τȣ̃τον λέγων προσήκειν τοῖς ποιȣ̃σιν αὐτά. Α. Προσέθηκε δὲ ϗ ταῦτα· εἰ βȣ́λεσθε ὑπὸ ἀνθρώπων φιλεῖσθαι, χρὴ ὑμᾶς ἀγαθȣ̀ς εἶναι, ἢ πᾶσαν σπȣδὴν ποιεῖσθαι, ὅπως ἀγαθοὶ ἔσεσθε· ἡ ἀρετὴ γὰρ, ȣ̓χ ἡ ἐσθὴς ἐςὶν ὁ ἀληθὴς τȣ̃ ἀνθρώπȣ κόσμος.

ΔΙΑʹΛΟΓ. Δ!

Β. Ἐνεδυσάμην, Ἀνδρέα· ἰδοὺ ἕτοιμός εἰμι. Α. Ἑνός δ' ἔτι σοι δεῖ. Β. Οὐδενός γε· εἰπὲ δὴ τίνος; Α. Τοῦ νίπτειν τὰς χεῖρας καὶ τὸ πρόσωπον, ὅπερ οὐδέποτέ σοι παροπτέον ἐστί. Β. Τοῦτό μοι ἔτι ὑπολείπεται, ὁμολογῶ, ἀλλ' ἀπορία ὕδατος. Α. Τὸ φρέαρ ἅλις ἔχει ὕδατος. Β. Ἐγὼ δὲ οὐδ' ὁτιοῦν. Α. Ἰδοὺ πάρεστιν ἡ θεράπαινα· δεήθητι αὐτῆς ἀντλῆσαι καὶ ἐνεγκεῖν ἡμῖν, ὅσον ἱκανόν ἐστιν. Β. Ἤδη φέρει· ἀλλ' ὅρα μὴ τὰ ἱμάτια περιῤῥάνῃς. Α. Σὺ δὲ φυλάττου, ὅπως μὴ τὴν πρόχουν σὺν τῇ λεκάνῃ καταστρέψῃς, ὡς χθὲς, καὶ τὸ ἄνω τοῦ χειρομάκτρου ἀκόσμως καταῤῥυπάνῃς, ὡς πρῴην. Β. Φυλάξομαι, καὶ ἅμα τὸ στόμα ὕδατι ἀνακογχυλιάσω.

ΔΙΑʹΛΟΓ. Ε!

Α. Οὐδέν σοι ἐπὶ τούτοις λείπεται; Β. Οὐδέν. Α. Ἤδη προσηύξω τῷ Θεῷ; Β. Προσηυξάμην χθὲς καὶ τρίτην ἡμέραν. Α. Ἐδήδοκας δὲ καὶ ἐχθές. Β. Ἀλλὰ δὴ καὶ τήμερον ἔδομαι· ἤδη γὰρ πεινῶ. Α. Οὐκοῦν πρόσευξαι καὶ τήμερον. Β. Προσεύξομαι κατὰ τὸ εἰωθός. Α. Τί κατὰ τὸ εἰωθός; ἐκ ψυχῆς προσεύχεσθαι δεῖ. Β. Τί δέ ἐστιν ἐκ ψυχῆς προσεύχεσθαι; Α. Ταπεινῶς καὶ θερμῶς τὴν διάνοιαν ἀνατείνειν πρὸς τὸν Θεὸν τὸν αἴτιον καὶ χορηγὸν πάντων τῶν ἀγαθῶν. Β. Ἐγὼ δέ σε ἀεὶ τῇ γλώττῃ ὁρῶ προσευχόμενον. Α. Οὐ τῇ γλώττῃ μόνον, ἀλλὰ καὶ τῷ νοΐ.

ΔΙΑʹ-

ΔΙΑʹΛΟΓ. ΣΤ!

Α. Σήμερον ἐβϐλόμην σοι ἐντυχεῖν, Βασίλειε, ἀλλ᾽ ὐκ ἔφασάν σε οἴκοι εἶναι. Β. Οὐκ ἐψεύσαντάγε· σοὶ μὲν γὰρ δὴ ὐκ ἤμην, ἐμαυτῷ δὲ καὶ πάνυ. Α. Τί τῦτ᾽ ἐςὶ τὸ αἴνιγμα; Β. Ἐκάθευδον. Α. Τί φῄς; καὶ μὴν παρεληλύθει ἡ ὀγδόη, τῦ ἡλίυ τύτῳ τῷ μηνὶ πρὸ τῆς τετάρτης ἀνίσχοντος. Β. Ἐ᾽μῦ γέ ἕνεκα ἔξεςι τῷ ἡλίῳ καὶ μέσων νυκτῶν ἀνίςασθαι, μόνον ἐμοὶ ἐξέςω ἐς κόρον καταδαρθάνειν· ὐδέποτε γὰρ ὁ ὕπνος ἡδίων ἐςὶν, ἢ μεθ᾽ ἥλιον ἀνίσχοντα. Α. Ποία δὴ ὥρα φιλεῖς τὴν κλίνην καταλείπειν; Β. Τῆς τετάρτης μεταξὺ καὶ ἐννάτης. Α. Ὡς πολὺν καθεύδεις χρόνον! μόλις ποθ᾽ ἑώρακα ἄνθρωπον μᾶλλόν ἄσωτον. Β. Ἀλλ᾽ ἔμοιγε δοκεῖ φειδὼ μᾶλλον ἢ ἀσωτία· μεταξὺ γὰρ ὔτε λύχνυς καίω, ὔθ᾽ ἱμάτια τρίϐω. Α. Ἄτοπος δήπυ φειδωλή· ἄλλως ἐφρόνει ὁ Φιλόσοφος ἐκεῖνος, ὃς ἐρωτηθεὶς, τί πολυτελέςατον εἴη; Καιρὸς, ἔφη.

ΔΙΑʹΛΟΓ. Ζ!

Β. Ἀλλ᾽ ἡδύ ἐςι καθεύδειν. Α. Τί ἂν ἡδὺ εἴη τῷ μηδὲν αἰσθανομένῳ; Ἀτὰρ λόγισαι πρὸς διὸς, πόσον ἂν ἐς παιδείαν ἐπιδιδοίης ἐν τέτταρσιν ἐκείναις ὥραις, ἃς τῷ ὕπνῳ ἀπόλλυς. Β. Πολὺ δηλαδή. Α. Πεῖρα μεμάθηκα πλείονα ἐπίδοσιν τῶν μαθημάτων γίγνεσθαι ἐν μιᾷ ὥρᾳ ἑωθινῇ, ἢ ἐν τρισὶ δειλιναῖς, καὶ ταῦτα μηδεμίαν τῦ σώματος βλάϐην πάσχοντος. Β. Πολλάκις τῦτ᾽ ἀκήκοα. Α. Εἶτ᾽ ἐκεῖνο ἐπιλόγισαι, εἰ ἑκάςης

τῶν ἡμερῶν τὴν ζημίαν συγκεφαλαιώσῃς, πηλίκος ἔσαι ὁ σωρός; Β. Μέγας δηλονότι. Α. Οʹ τὰς πολυτελεῖς λίθους κ τὸν χρυσὸν εἰκῇ διασπαθῶν ἄσωτος κρίνεται, κ κηδεμόνα προσλαμβάνει, ὁ δὲ ταυτὶ τἀγαθὰ τοσούτῳ τιμιώτερα ἀπολλὺς οὐ πολλῷ αἴσχιον ἄσωτός ἐσιν; Β Οὕτω δοκεῖ, ἢν ὀρθῶς τὸ πρᾶγμα λογιζώμεθα. Α. Τὴν νύκτα παρέσχεν ἡ φύσις ὕπνου ἕνεκα. ὁ ἥλιος ἀνίσχων ἅπαν μὲν ζῴων γένος, διαφερόντως δὲ τὸν ἄνθρωπον ἐπὶ τὰ τοῦ βίου ἔργα ἀνακαλεῖται. Οʹσάκις ἡ χρυσῆ ἐκείνη αὐγὴ καταλάμπει τὸ σὸν δωμάτιον, οὐ δοκεῖ ἐξονειδίζειν σοι καθεύδοντι· ἠλίθιε! τί τὴν καλλίσην τῆς ζωῆς μοῖραν χαίρεις ἀπολλύων;

ΔΙΑʹΛΟΓ. Η!

Α. Οὐδεὶς λύχνον ἅπτει, ἵνα καθεύδῃ, ἀλλ᾽ ἵνα πράττῃ τι· σὺ δὲ πρὸς τοῦτο τὸ λαμπρὸν φῶς τοῦ ἡλίου οὐδὲν ἄλλο, πλὴν ῥέγχεις. Β. Καλῶς δημηγορεῖς. Α. Οὐ καλῶς, ἀλλ᾽ ἀληθῶς· πρὸς ποῖον γὰρ κτῆμα παραβάλλοιτ᾽ ἂν ἡ τοῦ ἀνθρώπου ζωή; Β. Οὐδὲ πρὸς πάνθ᾽ ἑκατέρας τῶν Ἰνδιῶν τὰ χρήματα. Α. Οὐκ ἂν σφόδρα μισοίης τὸν δυνάμενον κ βουλόμενόν σοι τὸ ζῆν πονηραῖς τέχναις ἐτῶν τινῶν ἔλαττον ποιῆσαι; Β. Εʹκείνῳ βουλοίμην ἂν αὐτὸς τὸ ζῆν ἀφελέσθαι. Α. Χείρους δὲ κ ἐπιβλαβεσέρους ἡγοῦμαι τοὺς ἑκόντας σφίσιν αὐτοῖς τὸ ζῆν ἔλαττον ποιοῦντας. Β. Οʹμολογῶ, εἰ τοιοῦτοί τινες τυγχάνουσιν ὄντες. Α. Μᾶλλον μὲν οὖν τοῦτο ποιοῦσιν ἅπαντες οἱ κατὰ σέ. Β. Πῶς οὕτως; Α. Οὐχ ὁρᾷς πόσην τῆς ζωῆς

μοῖραν

μοῖραν ἀφαιρᾶνται οἱ τρεῖς ἢ τέτταρας ὥρας ἐφ' ἑκάςης ἡμέρας τῷ ὕπνῳ ἀπολλῦντες; ᾶς γὰρ ὁ ὕπνος αἱρεῖ, ᾶτοι ἐν τοῖς τεθνεῶσι μᾶλλον, ἢ ἐν τοῖς ζῶσι καταλογίζονται. Β. Οὕτω δηλονότι δοκεῖ. Α. Μέγα ᾶν κέρδος ἑαυτῷ περιεποιήσατο ὁ τὴν μεγίςην τᾶ βία καὶ καλλίςην μοῖραν ἀπολέσαι παυσάμενος. Β. Τίνα φὴς καλλίςην; Α. Ἣν πρὸς ὄρθρον ζῶμεν· ἀπ' ἀρίςα μὲν γὰρ τὸ σῶμα σιτίων ἐμπιπλάμενον καταβαρύνει τὸν νᾶν, ἕωθεν δὲ ὁ ἄνθρωπος ὅλος ἐςὶν ἄνθρωπος, ἅτε δὴ τᾶτε σώματος πρὸς πᾶν ἔργον ἐπιτηδεία πεφυκότος, τῆς τε ψυχῆς προθύμα ᾶσης, καὶ πάντων τῶν τῆς ψυχῆς ὀργάνων ἀτρέμας καὶ ἡσύχως ἐχόντων.

ΔΙΑ'ΛΟΓ. Θ!

Α. Οἶσθα δήπα τὸ τᾶ λόγα· φίλη ταῖς Μάσαις ἠώς. Οὐδέποτε γὰρ προθυμοτέρα πέφυκεν ἡ τᾶ ἀνθρώπα ψυχὴ, ἢ περὶ τὸν ὄρθρον, ᾶδὲ μᾶλλον ἐν τοῖς μαθήμασι προκόπτειν δυνάμεθα. τί ςένεις, Βασίλειε; Β. Ἀληθῆ πάντως λέγεις, ϗ μόλιςγε κατέχω τὰ δάκρυα λογιζόμενος ὅσην τᾶ βία ζημίαν ἐποίησα. Α. Ἐπιμελᾶ τοίνυν, ὅπως τᾶ μέλλοντος χρόνα φείσῃ, μηδὲ τῷ ὕπνῳ ἔτι δαλεύσεις· ἑπτὰ γὰρ ὥρας καθεύδειν ἀνθρώπῳ τελείῳ, ϗ ὑγιῶς ἔχοντι ἀρκεῖ. Β. Δέδοικα, μὴ ᾶχ οἷός τε ὦ· ἔθος γὰρ δευτέρα φύσις, καὶ χαλεπώτατόν ἐςι καταλιπεῖν, ὧν ἐκ πολλᾶ ἤδη ἐθάδες γεγόναμεν. Α. Κατ' ἀρχὰς μὲν, ἀλλὰ νικήσεις πάντως γε ταύτην τὴν δυσχέρειαν, μόνον εἰ προθυμοῖο. Εἰ μὲν ᾶν τὸ ἑβδομηκοςὸν

ἤγες

ἦγες ἔτος, οὐκ ἄν σε τῶν εἰωθότων ἀφεῖλκον, νῦν δὲ οὔπω ἑπτακαίδεκα, οἶμαι, ἔτη γεγονὼς τυγχάνεις· τί δ' οὐκ ἂν ἤδε ἡ ἡλικία νικῴη; Β. Πᾶσαν μὲν δήπου σπουδὴν θήσομαι, ὅπως νικήσω ταύτην τὴν νωθίαν, ἥμε ἐν τῇ κλίνῃ φιλεῖ κατέχειν. Α. Τοῦτο ποιήσας, ἑταῖρε Βασίλειε, μετ' οὐ πολλὰς ἡμέρας αὐτὸς σεαυτῷ ἀληθῶς συνησθήσῃ, κἀμοὶ χάριν εἴσῃ παραινέσαντι.

ΔΙΑʹΛΟΓ. Ι!

Α. Παρῆς χθὲς τῇ ἱερᾷ δημηγορίᾳ; Β. Παρῆν. Α. Τίς ἐδημηγόρησεν; Β. Αὐτὸς ὁ Ἀρχιερεύς. Α. Πόθεν εἴληφε τὸ θέμα; Β. Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου. Α. Ἀπεμνημόνευσάς τι τοῦ λόγου; Β. Οὐδὲν ὅ,τι ἄν σοι εἰπεῖν ἔχοιμι. Α. Οὐδὲ λόγον; Β. Οὐδὲν πάνυ. Α. Τί οὖν σε ὤνησε παρόντα τῇ ἱερᾷ διδαχῇ; Β. Οὐκ οἶδ', εἰ μὴ ὅτι οὐδὲν μεταξὺ πεποίηκα κακόν. Α. Εἰπὲ δέ μοι, τοῦ χάριν ἀπῆλθες ἐκεῖσε; Β. Μαθησόμενός τι. Α. Τί οὖν οὐκ ἐποίησας, καὶ τίς ἡ αἰτία, δι' ἣν οὐδὲν ἀπεμνημόνευσας τοῦ λόγου; Β. Ἡ ἐμὴ ἀμέλεια, ὁμολογῶ· οὐ γὰρ προσεῖχον. Α. Τίνα οὖν μισθὸν τῆς σῆς ἀμελείας ἄξιος εἶ ἄρνυσθαι; Β. Ποινήν· ἀλλὰ προσέξω τοῦ λοιποῦ οὐ παρέργως. Α. Τοῦτο ποίει, καὶ ἀεὶ προσέχων ἔσο, εἴτε ἐν τῷ φροντιστηρίῳ εἴης, εἴτε ἐν τῷ ναῷ.

ΔΕΚΑ'Σ Ε!

Περὶ Σχολαςικῶν πραγμάτων.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Γεώργιος. Δημήτριος.

Γ. Χαῖρε, Δημήτριε. Δ. Καὶ σύγε, Γεώργιε· πόθεν ἥκεις; Γ. Ἐκ τȣ͂ οἴκȣ τȣ͂ πατρός μȣ. Δ. Τί κομίζεις; Γ. Ἐμαυτόν· ἥκω ςαλεὶς ἐς τὸ ὑμέτερον φροντιςήριον. Δ. Συσχολαςὴς προσφιλέςατος ἔσῃ. Γ. Οἶδά σȣ τὸ πρὸς ἐμὲ φίλτρον, καὶ ἐπαινῶ. Δ. Ἧκεις ἔχων βιβλία; Γ. Οὐδέν, ὡς ὁρᾷς. Δ. Οὐκȣ͂ν ςρατιώτης ἄοπλος εἶ. Γ. Οὐ μαχȣ͂μαι, ἀλλὰ μαθήσομαι. Δ. Ἀλλὰ ῥᾷόν ἐςιν ἄνευ κύκλȣ ϗ μαχαίρας ἐσθίειν, ἢ ἄνευ βίβλων μανθάνειν. Γ. Ὃ μήπω ἔχω, κτήσομαι. ἀτὰρ εἰπέ μοι, ποία τίς ἐςιν ἡ ἀρχὴ τῶν ἡμετέρων μαθημάτων; Δ. Ἱερά· ἐκ Θεȣ͂ γὰρ παντὸς μὲν ϗ ἔργȣ ϗ λόγȣ ἄρχεσθαι δεῖ, μάλιςα δὲ τῶν μαθημάτων. Γ. Εὖγε ποιεῖτε· ἀτὰρ τί ποιήσεις νῦν ἐν τῷ μεταξὺ, ἕς᾽ ἂν ὁ καθηγητὴς ἥκῃ; Δ. Παρασκευάσομαι πρὸς τὸ ἐνεςηκὸς μάθημα. Γ. Ὅπως παρασκευάζῃ; Δ. Ἀναγινώσκω ϗ ἐπαναγινώσκω, ἃ δεῖ με μανθάνειν, ϗ ταῦτα συντεταμένως ϗ γεγονυίᾳ τῇ φωνῇ. Γ. Οὑτωσὶ γίγνεται τέλε τὸ ἔργον; Δ. Πῶς γὰρ ȣ̓; ȣ̓κ ἀρκεῖ δὲ ἅπαξ ἢ δὶς ἀναγινώσκειν τὰ

μαθη-

μάθημα, ἀλλὰ δεκάκις, μᾶλλον δὲ εἰκοσάκις αὐτὸ ἐπαναλαμβάνειν χρή. Οὕτως ἐκ ἀηδῶς μανθάνω τὸ δοθὲν μάθημα, καὶ προκόπτω· ἀκολέθει μοι καὶ εἴσῃ. Γ. Καλῶς παραινεῖς· ἀκολεθήσω τῇ σῇ βελῇ.

ΔΙΑʹΛΟΓ. Β!

Δ. Αʹπάγγειλόν μοι τὸ σὸν μάθημα, Γεώργιε. Γ. Οὔπω αὐτὸ ἐπίςαμαι, φίλε Δημήτριε. Δ. Μάνθανε ἔν αὐτό· τί μέλλεις; αὐτίκα γὰρ ἀπαγγεῖλαί σε δεήσει, καὶ ταῦτα ἀπὸ μνήμης. Γ. Ηʹ ἐμὴ μνήμη πάνυ ἀσθενὴς πέφυκε, καὶ ἐχ οἵά τε ἐςὶ τὰ ἀναγινωσκόμενα ςέγειν. Δ. Αʹμαρτάνεις· ἐ γὰρ ἡ μνήμη αἰτία ἐςὶν, ἀλλ' ἡ σὴ γνώμη ἀμελὴς ἔσα. Γ. Σὺ δὲ Δημήτριε πῶς διαμνημονεύεις, ἅπερ ἀναγινώσκεις; Δ. Συνεχὲς ἐξάπτω ἐν ἐμαυτῷ τὸν περὶ τὰς λόγες ἔρωτα, ἐκ ἀηδῶς τε τὰ ἐπιτεταγμένα ἀναγινώσκω, καὶ τοσάκις μετ' ἐπιςασίας ἐπαναλαμβάνω, ἕως ἂν τὸ μάθημα ἀπταίςως ἀποδἔναι δυνωμαι.

ΔΙΑʹΛΟΓ. Γ!

Γ. Τί πράττεις, Δημήτριε; Δ. Εʹπαναλαμβάνω τὸ χθεσινὸν μάθημα, ὅπερ σήμερον ἀποδἔναι ἡμᾶς χρή. Γ. Αʹπεμνημόνευσας αὐτό; Δ. Σχεδόν τι· σὺ δὲ ἔχοις ἂν αὐτὸ ἀποδἔναι; Γ. Δέδοικα, μὴ ἐκ ἔχω. Δ. Βέλει ἐπαναλάβωμεν μετ' ἀλλήλων; Γ. Αʹσμενέςατα· ἀλλὰ πῶς διαθησόμεθα τὸ ἔργον; Δ. Αʹκέσωμεν ἀτέρας θατέρε. Γ. Τί δὲ καθ' ἑκάςην ἡμεῖς ἐπαναλαμ-

ναλαμβάνομεν, ἃ τῇ προτεραίᾳ μεμαθήκαμεν; Δ. Ὅτι ὅτως ὁ Καθηγητὴς κελεύει. Γ. Τῦτο σαφῶς οἶδα· ἀλλὰ τῦ χάριν κελεύει; Δ. Τῦ ἀσκεῖν τὴν μνήμην· ὅσῳ γὰρ ἐπιμελέςερον τὰ μαθήματα ἐπαναλαμβάνομεν, τοσὅτῳ κρεῖττον μνημονεύομεν. Ἄρξαι ὖν, κ̧ ἀπάγγειλον τὸ μάθημα. Γ. Σὸν δὲ ἐςι μᾶλλον ἄρξασθαι. Δ. Πῶς ὅτως; Γ. Ὅτι ἐκάλεσάς με. Δ. Ἄρξομαι ὖν· σὺ δὲ πρόσεχε ὡς ἐπιδιορθώσων, ἤν τι ἁμάρτω.

ΔΙΑ'ΛΟΓ. Δ!

Δ. Ἡ ἐπανάληψίς ἐςι ψυχὴ τῶν μαθημάτων. Γ. Τίς ὅτως ἔφη; Δ. Ὁ πατήρ μυ. Γ. Μῶν κ̧ ὁ πατήρ σε οἴκοι διδάσκει; Δ. Πάνυ μὲν ὖν· ὐχ ἥκιςα δὲ προτρέπεταί με πρὸς τὸ ἐπαναλαμβάνειν, ὧν ἐν τῷ φροντιςηρίῳ ἀκήκοα, ἀνέγνωκα κ̧ μεμάθηκα. Γ. Οὕτω συνίςησί σοι τὴν ἐπανάληψιν ὁ ἀρτίως ὑπὸ σῦ προενηνεγμένος λόγος; Δ. Καὶ μάλα. Γ. Ἤδη σῦ τῆς γνώμης συνίημι. Δ. Εἰ μὴ αὐτὸς οἴκοι ἐπανέλαβον, ἃ χθὲς μεμάθηκα, εὗρεν ἄν με σήμερον ὁ Καθηγητὴς ἀπαράσκευον, ὥσπερ σέ. Γ. Δέδοικα πάντως, μὴ πληγὰς λάβω.

ΔΙΑ'ΛΟΓ. Ε!

Δ. Ἀποςομάτισόν μοι τὸ μάθημα, Γεώργιε. Γ. Σοίγε, Δημήτριε; τίς σε κατέςησεν ἐπιςάτην μυ; Δ. Εἰ ἀπαξιοῖς ἐν τύτῳ ἐμὸς εἶναι μαθητὴς, ἔγωγε σὸς ἔσομαι, καί σοι τὐμὸν ἀπαγγελῶ μάθημα, ὡς ἂν εὐοδωτέρα ἐπὶ τῦ

Καθη-

Καθηγητοῦ ὕστερον εἴη ἡ ἀπαγγελία. Γ. Ἀπάγγειλον οὖν, προσέξω. Δ. Οὕτω δὲ πρόσεχε, ὡς προσπταίοντί μοι, ἢ δισσολογοῦντι ἐπιβοηθήσων. Γ. Ἐπιβοηθήσω, ὡς ἂν δύνωμαι.

ΔΙΑʹΛΟΓ. ΣΤ!

Δ. Πέραινε, Γεώργιε, τὴν ἀνάγνωσιν· ὁ Διδάσκαλος κελεύει. Γ. Εἰπὲ ταχέως, ὅποι ἔληξας· ἀγνοῶ γάρ. Δ. Τί δὲ οὐ προσέχεις; Γ. Ἔχον τὸν νοῦν ἐν τῷ ἀρίστῳ. Δ. Ὡς ἀμελὴς εἶ καὶ λίχνος! μόγις εἰσῆλθες εἰς τὸ φροντιστήριον, καὶ ἤδη τὸν νοῦν ἔχεις ἐν τοῖς τρυβλίοις, οὐκ ἐν τοῖς βιβλίοις. Γ. Δεῖξον, ἀντιβολῶ, δεῖξον τῆς ἀναγνώσεως τὸν ὅρον, ἵνα μὴ τυφθῶ ὑπὸ τοῦ διδασκάλου. Δ. Νῦν μέν σοι δείξω, ἢν δὲ ἐς τὸ ὕστερον οὕτω ποιήσῃς, ἐγκαταλείψω σε, ἐγκαταλειφθεὶς δὲ πάντως διὰ μαστίγων ἐλεύσῃ. Γ. Χάριτάς σοι ὁμολογῶ, φίλε Δημήτριε.

ΔΙΑʹΛΟΓ. Ζ!

Γ. Τίποτε παθὼν ὁ σὸς ἀδελφὸς μονονουχὶ οὐδέποτε τὸ ἑαυτοῦ ἐπίσταται μάθημα; Δ. Ἀργὸς γάρ ἐστι καὶ ἀμελής. Γ. Πόθεν αὕτη ἡ ἀμέλεια; Δ. Πρὸς τοῖς ἄλλοις ἐκ τῆς λιχνείας, εἶτ' οὖν ἀληφαγίας. Γ. Εὖγε! ἐπὶ τὸν σκοπὸν ἔβαλες· παχεῖα γὰρ γαστὴρ λεπτὸν οὐ τίκτει νόον. Δ. Οὕτως ἔχει· καὶ ὁ ἐμὸς αὐτάδελφος ὑπὸ τῆς ἑαυτοῦ ἀπληστίας ἀεὶ τὴν μείζω μερίδα τοῦ ἐμβρώματος θηρᾶται. Γ. Μῶν λαμβάνει; Δ. Ὡς ἐπὶ τὸ πολύ, οὗ ἐπιθυμεῖ, τυγχάνει· ἔστι

δ' ὅτε

δ' ὅτε τὴν γαστέρα θᾶττον, ἢ τῷ ὀφθαλμῷ ἐμπίπλησιν. Γ. Ἀπρεπὲς καὶ ἀνάξιον ἀγαθοῦ παιδὸς λέγεις ἔργον.

ΔΙΑ'ΛΟΓ. Η'.

Δ. Τί προσβλέπεις με, Γεώργιε; Γ. Θαυμάζω σου τὴν σπουδήν. Δ. Οὐ χρὴ θαυμάζειν· ποιῶ γὰρ, ὅπερ ὀφείλω· οὐδὲ τοῦθ' ὅσον ἱκανὸν καὶ ἄξιόν ἐστι. Γ. Τί δὲ οὕτω φιλόπονος εἶ; Δ. Ὅτι πονεῖν ἡμῖν παρήγγειλεν ὁ Θεὸς, μᾶλλον δὲ προσέταξεν. Γ. Ὀρθῶς φιλοσοφεῖς· ἐπαινῶ σε τῆς σπουδῆς. Δ. Ἐπαινεῖν οὐκ ἀρκεῖ, μιμεῖσθαι δεῖ· τὸ γὰρ ἐπαινεῖν καὶ μὴ ποιεῖν ἐν ἴσῳ καθέστηκε τῷ ὀλιγωρεῖν.

ΔΙΑ'ΛΟΓ. Θ'.

Δ. Τί ἀδολεσχεῖς ἀδόλεσχε; Γ. Τί πρὸς σέ; Δ. Πάμπολυ δήπου· ἐμποδὼν γάρ μοι γίγνῃ πρὸς τὴν ἀνάγνωσιν. Γ. Βαβαὶ τῆς ἐπιμελείας τούτου τοῦ παιδός! Δ. Βαβαὶ τῆς ἀμελείας τούτου τοῦ ἀδολέσχου! Γ. Χρῶμαι τῇ γλώττῃ, ἥν μοι δέδωκεν ὁ Θεός. Δ. Μῶν πρὸς ἀδολεσχίαν; ἥκιστα πάντων· σφόδρα γε ἁμαρτάνεις· οὐδὲ κέχρησαι τῇ γλώττῃ, ἀλλὰ κατακέχρησαι. Ἐρωτῶντος μὲν τοῦ Καθηγητοῦ χρῶ τῇ γλώττῃ, ἐν δὲ τῇ τῶν μαθημάτων ὥρᾳ μὴ καταχρῶ ταύτῃ. Γ. Ὀρθῶς λέγεις. Δ. Περίθου τοίνυν χαλινὸν τῷ στόματί σου, μάλιστα δὲ ὡς λόγον τῷ Θεῷ ἀποδοῦναι δεήσει περὶ παντὸς λόγου οὐ μόνον φαύλου, ἀλλὰ καὶ ἀργοῦ, εἴτ' οὖν ἀχρήστου.

ΔΙΑ-

ΔΙΑʹΛΟΓ. Δʹ

Β. Ἐνεδυσάμην, Ἀνδρέα· ἰδὲ ἕτοιμός εἰμι. Α. Ἑνὸς δ' ἔτι σοι δεῖ. Β. Οὐδενός γε· εἰπὲ δὴ τίνος; Α. Τᾶ νίπτειν τὰς χεῖρας ϗ τὸ πρόσωπον, ὅπερ ἐδέποτέ σοι παροπτέον ἐςί. Β. Τᾶτό μοι ἔτι ὑπολείπεται, ὁμολογῶ, ἀλλ' ἀπορία ὕδατος. Α. Τὸ φρέαρ ἅλις ἔχει ὕδατος. Β. Ἐγὼ δὲ ἐδ' ὁτιᾶν. Α. Ἰδὲ πάρεςιν ἡ θεράπαινα· δεήθητι αὐτῆς ἀντλῆσαι ϗ ἐνεγκεῖν ἡμῖν, ὅσον ἱκανόν ἐςιν. Β. Ἤδη φέρει· ἀλλ' ὅρα μὴ τὰ ἱμάτια περιῤῥάνῃς. Α. Σὺ δὲ φυλάττε, ὅπως μὴ τὴν πρόχεν σὺν τῇ λεκάνῃ καταςρέψῃς, ὡς χθές, ϗ τὸ ἄνω τᾶ χειρομάκτρε ἀκόσμως καταῤῥυπάνῃς, ὡς πρώην. Β. Φυλάξομαι, ϗ ἅμα τὸ ςόμα ὕδατι ἀνακογχυλιάσω.

ΔΙΑʹΛΟΓ. Εʹ

Α. Οὐδέν σοι ἐπὶ τέτοις λείπεται; Β. Οὐδέν. Α. Ἤδη προσηύξω τῷ Θεῷ; Β. Προσηυξάμην χθὲς ϗ τρίτην ἡμέραν. Α. Ἐδήδοκας δὲ ϗ ἐχθές. Β. Ἀλλὰ δὴ καὶ τήμερον ἔδομαι· ἤδη γὰρ πεινῶ. Α. Οὐκᾶν πρόσευξαι ϗ τήμερον. Β. Προσεύξομαι κατὰ τὸ εἰωθός. Α. Τί κατὰ τὸ εἰωθός; ἐκ ψυχῆς προσεύχεσθαι δεῖ. Β. Τί δέ ἐςιν ἐκ ψυχῆς προσεύχεσθαι; Α. Ταπεινῶς ϗ θερμῶς τὴν διάνοιαν ἀνατείνειν πρὸς τὸν Θεὸν τὸν αἴτιον ϗ χορηγὸν πάντων τῶν ἀγαθῶν. Β. Ἐγὼ δέ σε ἀεὶ τῇ γλώττῃ ὁρῶ προσευχόμενον. Α. Οὐ τῇ γλώττῃ μόνον, ἀλλὰ ϗ τῷ νοΐ.

ΔΙΑʹ-

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Α. Σήμερον ἐβουλόμην σοι ἐντυχεῖν, Βασίλειε, ἀλλ᾽ οὐκ ἔφασάν σε οἴκοι εἶναι. Β. Οὐκ ἐψεύσαντάγε· σοὶ μὲν γὰρ δὴ οὐκ ἤμην, ἐμαυτῷ δὲ καὶ πάνυ. Α. Τί τοῦτ᾽ ἐστὶ τὸ αἴνιγμα; Β. Ἐκάθευδον. Α. Τί φῄς; καὶ μὴν παρεληλύθει ἡ ὀγδόη, τοῦ ἡλίου τούτω τῷ μηνὶ πρὸ τῆς τετάρτης ἀνίσχοντος. Β. Ἐμοῦ γε ἕνεκα ἔξεστι τῷ ἡλίῳ καὶ μέσων νυκτῶν ἀνίστασθαι, μόνον ἐμοὶ ἐξέστω ἐς κόρον καταδαρθάνειν· οὐδέποτε γὰρ ὁ ὕπνος ἡδίων ἐστὶν, ἢ μεθ᾽ ἥλιον ἀνίσχοντα. Α. Ποίᾳ δὴ ὥρᾳ φιλεῖς τὴν κλίνην καταλείπειν; Β. Τῆς τετάρτης μεταξὺ καὶ ἐννάτης. Α. Ὡς πολὺν καθεύδεις χρόνον! μόλις ποθ᾽ ἑώρακα ἄνθρωπον μᾶλλον ἄσωτον. Β. Ἀλλ᾽ ἔμοιγε δοκεῖ φειδὼ μᾶλλον ἢ ἀσωτία· μεταξὺ γὰρ οὔτε λύχνους καίω, οὔθ᾽ ἱμάτια τρίβω. Α. Ἄτοπος δήπου φειδωλή· ἄλλως ἐφρόνει ὁ Φιλόσοφος ἐκεῖνος, ὃς ἐρωτηθεὶς, τί πολυτελέστατον εἴη; Καιρὸς, ἔφη.

ΔΙΑ'ΛΟΓ. Ζ!

Β. Ἀλλ᾽ ἡδύ ἐστι καθεύδειν. Α. Τί ἂν ἡδὺ εἴη τῷ μηδὲν αἰσθανομένῳ; Ἀτὰρ λόγισαι πρὸς διός, πόσον ἂν ἐς παιδείαν ἐπιδιδοίης ἐν τέτταρσιν ἐκείναις ὥραις, ἃς τῷ ὕπνῳ ἀπόλλυς. Β. Πολὺ δηλαδή. Α. Πείρᾳ μεμάθηκα πλείονα ἐπίδοσιν τῶν μαθημάτων γίγνεσθαι ἐν μιᾷ ὥρᾳ ἑωθινῇ, ἢ ἐν τρισὶ δειλιναῖς, καὶ ταῦτα μηδεμίαν τοῦ σώματος βλάβην πάσχοντος. Β. Πολλάκις τοῦτ᾽ ἀκήκοα. Α. Εἶτ᾽ ἐκεῖνο ἐπιλόγισαι, εἰ ἑκάστης

τῶν ἡμερῶν τὴν ζημίαν συγκεφαλαιώσῃς, πηλίκος ἔςαι ὁ σωρός; Β. Μέγας δηλονότι. Α. Ὁ τὰς πολυτελεῖς λίθȣς ϗ τὸν χρυσὸν εἰκῆ διασπαθῶν ἄσωτος κρίνεται, ϗ κηδεμόνα προσλαμβάνει, ὁ δὲ ταυτὶ τἀγαθὰ τοσȣ́τῳ τιμιώτερα ἀπολλὺς ȣ̓ πολλῷ αἴσχιον ἄσωτός ἐςιν; Β Οὕτω δοκεῖ, ἢν ὀρθῶς τὸ πρᾶγμα λογιζώμεθα. Α. Τὴν νύκτα παρέσχεν ἡ φύσις ὕπνȣ ἕνεκα. ὁ ἥλιος ἀνίσχων ἅπαν μὲν ζώων γένος, διαφερόντως δὲ τὸν ἄνθρωπον ἐπὶ τὰ τȣ̃ βίȣ ἔργα ἀνακαλεῖται. Ὁσάκις ἡ χρυσῆ ἐκείνη αὐγὴ καταλάμπει τὸ σὸν δωμάτιον, ȣ̓ δοκεῖ ἐξονειδίζειν σοι καθεύδοντι· ἠλίθιε! τί τὴν καλλίςην τῆς ζωῆς μοῖραν χαίρεις ἀπολλύων;

ΔΙΑʹΛΟΓ. Η!

Α. Οὐδεὶς λύχνον ἅπτει, ἵνα καθεύδῃ, ἀλλ' ἵνα πράττῃ τι· σὺ δὲ πρὸς τȣ̃το τὸ λαμπρὸν φῶς τȣ̃ ἡλίȣ ȣ̓δὲν ἄλλο, πλὴν ῥέγχεις. Β. Καλῶς δημηγορεῖς. Α. Οὐ καλῶς, ἀλλ' ἀληθῶς· πρὸς ποῖον γὰρ κτῆμα παραβάλλοιτ' ἂν ἡ τȣ̃ ἀνθρώπȣ ζωή; Β. Οὐδὲ πρὸς πάνθ' ἑκατέρας τῶν Ἰνδιῶν τὰ χρήματα. Α. Οὐκ ἂν σφόδρα μισοίης τὸν δυνάμενον ϗ βȣλόμενόν σοι τὸ ζῆν πονηραῖς τέχναις ἐτῶν τινῶν ἔλαττον ποιῆσαι; Β. Ἐκείνῳ βȣλοίμην ἂν αὐτὸς τὸ ζῆν ἀφελέσθαι. Α. Χείρȣς δὲ ϗ ἐπιβλαβεςέρȣς ἡγȣ̃μαι τȣ̀ς ἑκόντας σφίσιν αὐτοῖς τὸ ζῆν ἔλαττον ποιȣ̃ντας. Β. Ὁμολογῶ, εἰ τοιȣ̃τοί τινες τυγχάνȣσιν ὄντες. Α. Μᾶλλον μὲν ȣ̓̃ν τȣ̃το ποιȣ̃σιν ἅπαντες οἱ κατὰ σέ. Β. Πῶς ȣ̓́τως; Α. Οὐχ ὁρᾷς πόσην τῆς ζωῆς

μοῖραν

μοῖραν ἀφαιρῦνται οἱ τρεῖς ἢ τέτταρας ὥρας ἐφ' ἑκάστης ἡμέρας τῷ ὕπνῳ ἀπολλῦντες; ὓς γὰρ ὁ ὕπνος αἱρεῖ, ὗτοι ἐν τοῖς τεθνεῶσι μᾶλλον, ἢ ἐν τοῖς ζῶσι καταλογίζονται. Β. Οὕτω δηλονότι δοκεῖ. Α. Μέγα ὖν κέρδος ἑαυτῷ περιεποιήσατο ὁ τὴν μεγίςην τῦ βίυ καὶ καλλίςην μοῖραν ἀπολέσαι παυσάμενος. Β. Τίνα φὴς καλλίςην; Α. Ἣν πρὸς ὄρθρον ζῶμεν· ἀπ' ἀρίςυ μὲν γὰρ τὸ σῶμα σιτίων ἐμπιπλάμενον καταβαρύνει τὸν νῦν, ἕωθεν δὲ ὁ ἄνθρωπος ὅλος ἐςὶν ἄνθρωπος, ἅτε δὴ τῦτε σώματος πρὸς πᾶν ἔργον ἐπιτηδείυ πεφυκότος, τῆς τε ψυχῆς προθύμυ ὔσης, καὶ πάντων τῶν τῆς ψυχῆς ὀργάνων ἀτρέμας καὶ ἡσύχως ἐχόντων.

ΔΙΑ'ΛΟΓ. Θ!

Α. Οἶσθα δήπυ τὸ τῦ λόγυ· φίλη ταῖς Μῦσαις ἠώς. Οὐδέποτε γὰρ προθυμοτέρα πέφυκεν ἡ τῦ ἀνθρώπυ ψυχὴ, ἢ περὶ τὸν ὄρθρον, ὐδὲ μᾶλλον ἐν τοῖς μαθήμασι προκόπτειν δυνάμεθα. τί ςένεις, Βασίλειε; Β. Ἀληθῆ πάντως λέγεις, κ) μόλις γε κατέχω τὰ δάκρυα λογιζόμενος ὅσην τῦ βίυ ζημίαν ἐποίησα. Α. Ἐπιμελῦ τοίνυν, ὅπως τῦ μέλλοντος χρόνυ φείσῃ, μηδὲ τῷ ὕπνῳ ἔτι δυλεύσεις· ἑπτὰ γὰρ ὥρας καθεύδειν ἀνθρώπῳ τελείῳ, κ) ὑγιῶς ἔχοντι ἀρκεῖ. Β. Δέδοικα, μὴ ὐχ οἷός τε ὦ· ἔθος γὰρ δευτέρα φύσις, καὶ χαλεπώτατόν ἐςι καταλιπεῖν, ὧν ἐκ πολλῦ ἤδη ἐθάδες γεγόναμεν. Α. Κατ' ἀρχὰς μὲν, ἀλλὰ νικήσεις πάντως γε ταύτην τὴν δυσχέρειαν, μόνον εἰ προθυμοῖο. Εἰ μὲν ὖν τὸ ἑβδομηκοςὸν

ἤγες

ἦγες ἔτος, ἐκ ἄν σε τῶν εἰωθότων ἀφεῖλκον, νῦν δὲ ἔπω ἑπτακαίδεκα, οἶμαι, ἔτη γεγονὼς τυγχάνεις· τί δ᾽ ἐκ ἄν ἤδε ἡ ἡλικία νικώη; Β. Πᾶσαν μὲν δήπε σπεδὴν θήσομαι, ὅπως νικήσω ταύτην τὴν νωθίαν, ἥμε ἐν τῇ κλίνῃ φιλεῖ κατέχειν. Α. Τῦτο ποιήσας, ἑταῖρε Βασίλειε, μετ᾽ ἐ πολλὰς ἡμέρας αὐτὸς σεαυτῷ ἀληθῶς συνηθήσῃ, κἀμοὶ χάριν εἴσῃ παραινέσαντι.

ΔΙΑʹΛΟΓ. Ι!

Α. Παρῆς χθὲς τῇ ἱερᾷ δημηγορίᾳ; Β. Παρῆν. Α. Τίς ἐδημηγόρησεν; Β. Αὐτὸς ὁ Ἀρχιερεύς. Α. Πόθεν εἴληφε τὸ θέμα; Β. Ἐκ τῦ κατὰ Ματθαῖον Εὐαγγελίε. Α. Ἀπεμνημόνευσάς τι τῦ λόγε; Β. Οὐδὲν ὅ,τι ἄν σοι εἰπεῖν ἔχοιμι. Α. Οὐδὲ λόγον; Β. Οὐδὲν πάνυ. Α. Τί ἐν σε ὤνησε παρόντα τῇ ἱερᾷ διδαχῇ; Β. Οὐκ οἶδ᾽, εἰ μὴ ὅτι ἐδὲν μεταξὺ πεποίηκα κακόν. Α. Εἰπὲ δέ μοι, τῦ χάριν ἀπῆλθες ἐκεῖσε; Β. Μαθησόμενός τι. Α. Τί ἐν ἐκ ἐποίησας, καὶ τίς ἡ αἰτία, δι᾽ ἣν ἐδὲν ἀπεμνημόνευσας τῦ λόγε; Β. Ηʻ ἐμὴ ἀμέλεια, ὁμολογῶ· ἐ γὰρ προσεῖχον. Α. Τίνα ἐν μισθὸν τῆς σῆς ἀμελείας ἄξιος εἶ ἄρνυσθαι; Β. Ποινήν· ἀλλὰ προσέξω τῦ λοιπῦ ἐ παρέργως. Α. Τῦτο ποίει, καὶ ἀεὶ προσέχων ἔσο, εἴτε ἐν τῷ φροντιστηρίῳ εἴης, εἴτε ἐν τῷ ναῷ.

ΔΕΚΑΣ

ΔΕΚΑʹΣ Ε!

Περὶ Σχολαςικῶν πραγμάτων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Γεώργιος. Δημήτριος.

Γ. Χαῖρε, Δημήτριε. Δ. Καὶ σύγε, Γεώργιε· πόθεν ἥκεις; Γ. Εʹκ τȣ͂ οἴκȣ τȣ͂ πατρός μȣ. Δ. Τί κομίζεις; Γ. Εʹμαυτόν· ἥκω ςαλεὶς ἐς τὸ ὑμέτερον φροντιςήριον. Δ. Συσχολαςὴς προσφιλέςατος ἐση. Γ. Οἶδά σȣ τὸ πρὸς ἐμὲ φίλτρον, καὶ ἐπαινῶ. Δ. Ηʹκεις ἔχων βιϐλία; Γ. Οὐδὲν, ὡς ὁρᾷς. Δ. Οὐκȣ͂ν ςρατιώτης ἄοπλος εἶ. Γ. Οὐ μαχȣ͂μαι, ἀλλὰ μαθήσομαι. Δ. Αʹλλὰ ρᾷόν ἐςιν ἄνευ κύκλȣ ϗ μαχαίρας ἐσθίειν, ἢ ἄνευ βίϐλων μανθάνειν. Γ. Οʹ μήπω ἔχω, κτήσομαι. ἀτὰρ εἰπέ μοι, ποία τίς ἐςιν ἡ ἀρχὴ τῶν ἡμετέρων μαθημάτων; Δ. Ἱερά· ἐκ Θεȣ͂ γὰρ παντὸς μὲν ϗ ἔργȣ ϗ λόγȣ ἄρχεσθαι δεῖ, μάλιςα δὲ τῶν μαθημάτων. Γ. Εʹῦγε ποιεῖτε· ἀτὰρ τί ποιήσεις νῦν ἐν τῷ μεταξὺ, ἕς' ἂν ὁ καθηγητὴς ἥκῃ; Δ. Παρασκευάσομαι πρὸς τὸ ἐνεςηκὸς μάθημα. Γ. Οʹπως παρασκευάζῃ; Δ. Αʹναγινώσκω ϗ ἐπαναγινώσκω, ἃ δεῖ με μανθάνειν, ϗ ταῦτα συντεταμένως ϗ γεγονυίᾳ τῇ φωνῇ. Γ. Οὑτωσὶ γίγνεται τόδε τὸ ἔργον; Δ. Πῶς γὰρ ȣ̓; ȣ̓κ ἀρκεῖ δὲ ἅπαξ ἢ δὶς ἀναγινώσκειν τὰ μάθη-

μάθημα, ἀλλὰ δεκάκις, μᾶλλον δὲ εἰκοσάκις αὐτὸ ἐπαναλαμβάνειν χρή. Οὕτως ὖν ἀηδῶς μανθάνω τὸ δοθὲν μάθημα, καὶ προκόπτω· ἀκολάθει μοι καὶ εἴση. Γ. Καλῶς παραινεῖς· ἀκολυθήσω τῇ σῇ βυλῇ.

ΔΙΑʹΛΟΓ. Β!

Δ. Αʹπάγγειλόν μοι τὸ σὸν μάθημα, Γεώργιε. Γ. Οὔπω αὐτὸ ἐπίςαμαι, φίλε Δημήτριε. Δ. Μάνθανε ὖν αὐτό· τί μέλλεις; αὐτίκα γὰρ ἀπαγγεῖλαί σε δεήσει, καὶ ταῦτα ἀπὸ μνήμης. Γ. Ηʹ ἐμὴ μνήμη πάνυ ἀσθενὴς πέφυκε, καὶ ὐχ οἵα τε ἐςὶ τὰ ἀναγινωσκόμενα ςέγειν. Δ. Αʹμαρτάνεις· ὐ γὰρ ἡ μνήμη αἰτία ἐςὶν, ἀλλʹ ἡ σὴ γνώμη ἀμελὴς ὖσα. Γ. Σὺ δὲ Δημήτριε πῶς διαμνημονεύεις, ἅπερ ἀναγινώσκεις; Δ. Συνεχὲς ἐξάπτω ἐν ἐμαυτῷ τὸν περὶ τὺς λόγυς ἔρωτα, ὐκ ἀηδῶς τε τὰ ἐπιτεταγμένα ἀναγινώσκω, καὶ τοσάκις μετʹ ἐπιςασίας ἐπαναλαμβάνω, ἕως ἂν τὸ μάθημα ἀπταίςως ἀποδῦναι δυνωμαι.

ΔΙΑʹΛΟΓ. Γ!

Γ. Τί πράττεις, Δημήτριε; Δ. Εʹπαναλαμβάνω τὸ χθεσινὸν μάθημα, ὅπερ σήμερον ἀποδῦναι ἡμᾶς χρή. Γ. Αʹπεμνημόνευσας αὐτό; Δ. Σχεδόν τι· σὺ δὲ ἔχοις ἂν αὐτὸ ἀποδῦναι; Γ. Δέδοικα, μὴ ὐκ ἔχω. Δ. Βύλει ἐπαναλάβωμεν μετʹ ἀλλήλων; Γ. Αʹσμενέςατα· ἀλλὰ πῶς διαθησόμεθα τὸ ἔργον; Δ. Αʹκύσωμεν ἀτέρας θατέρυ. Γ. Τί δὲ καθʹ ἑκάςην ἡμεῖς ἐπαναλαμ-

ναλαμβάνομεν, ἃ τῇ προτεραίᾳ μεμαθήκαμεν; Δ. Ὅτι οὕτως ὁ Καθηγητὴς κελεύει. Γ. Τοῦτο σαφῶς οἶδα· ἀλλὰ τοῦ χάριν κελεύει; Δ. Τοῦ ἀσκεῖν τὴν μνήμην· ὅσῳ γὰρ ἐπιμελέστερον τὰ μαθήματα ἐπαναλαμβάνομεν, τοσούτῳ κρεῖττον μνημονεύομεν. Ἄρξαι οὖν, καὶ ἀπάγγειλον τὸ μάθημα. Γ. Σὸν δέ ἐστι μᾶλλον ἄρξασθαι. Δ. Πῶς οὕτως; Γ. Ὅτι ἐκάλεσάς με. Δ. Ἄρξομαι οὖν· σὺ δὲ πρόσεχε ὡς ἐπιδιορθώσων, ἤν τι ἁμάρτω.

ΔΙΑʹΛΟΓ. Δ!

Δ. Ἡ ἐπανάληψίς ἐστι ψυχὴ τῶν μαθημάτων. Γ. Τίς οὕτως ἔφη; Δ. Ὁ πατήρ μου. Γ. Μῶν καὶ ὁ πατήρ σε οἴκοι διδάσκει; Δ. Πάνυ μὲν οὖν· οὐχ ἥκιστα δὲ προτρέπεταί με πρὸς τὸ ἐπαναλαμβάνειν, ὧν ἐν τῷ φροντιστηρίῳ ἀκήκοα, ἀνέγνωκα καὶ μεμάθηκα. Γ. Οὕτω συνίστησί σοι τὴν ἐπανάληψιν ὁ ἀρτίως ὑπὸ σοῦ προενηνεγμένος λόγος; Δ. Καὶ μάλα. Γ. Ἤδη σου τῆς γνώμης συνίημι. Δ. Εἰ μὴ αὐτὸς οἴκοι ἐπανέλαβον, ἃ χθὲς μεμάθηκα, εὗρεν ἄν με σήμερον ὁ Καθηγητὴς ἀπαράσκευον, ὥσπερ σέ. Γ. Δέδοικα πάντως, μὴ πληγὰς λάβω.

ΔΙΑʹΛΟΓ. Ε!

Δ. Ἀποστομάτισόν μοι τὸ μάθημα, Γεώργιε. Γ. Σοίγε, Δημήτριε; τίς σε κατέστησεν ἐπιστάτην μου; Δ. Εἰ ἀπαξιοῖς ἐν τούτῳ ἐμὸς εἶναι μαθητής, ἔγωγε σὸς ἔσομαι, καί σοι τοὐμὸν ἀπαγγελῶ μάθημα, ὡς ἂν εὐοδωτέρα ἐπὶ τοῦ

Καθη-

Καθηγητȣ̃ ὕϛερον εἴη ἡ ἀπαγγελία. Γ. Ἀπάγγειλον ȣ̓̃ν, προσέξω. Δ. Οὕτω δὲ πρόσεχε, ὡς προσπταίοντί μοι, ἢ δισσολογȣ̃ντι ἐπιβοηθήσων. Γ. Ἐπιβοηθήσω, ὡς ἂν δύνωμαι.

ΔΙΑΛΟΓ. ΣΤ!

Δ. Πέραινε, Γεώργιε, τὴν ἀνάγνωσιν· ὁ Διδάσκαλος κελεύει. Γ. Εἰπὲ ταχέως, ὅποι ἔληξας· ἀγνοῶ γάρ. Δ. Τί δὲ ȣ̓ προσέχεις; Γ. Ἔχον τὸν νȣ̃ν ἐν τῷ ἀρίϛῳ. Δ. Ὡς ἀμελὴς εἶ ϗ λίχνος! μόγις εἰσῆλθες εἰς τὸ φροντιϛήριον, ϗ ἤδη τὸν νȣ̃ν ἔχεις ἐν τοῖς τρυβλίοις, ȣ̓κ ἐν τοῖς βιβλίοις. Γ. Δεῖξον, ἀντιβολῶ, δεῖξον τῆς ἀναγνώσεως τὸν ὅρον, ἵνα μὴ τυφθῶ ὑπὸ τȣ̃ Διδασκάλȣ. Δ. Νῦν μέν σοι δείξω, ἢν δὲ ἐς τȣ̓πιὸν ȣ̓̃τω ποιήσῃς, ἐγκαταλείψω σε, ἐγκαταλειφθεὶς δὲ πάντως διὰ μαϛίγων ἐλεύσῃ. Γ. Χάριτάς σοι ὁμολογῶ, φίλε Δημήτριε.

ΔΙΑΛΟΓ. Ζ!

Γ. Τίποτε παθὼν ὁ σὸς ἀδελφὸς μονονȣχὶ ȣ̓δέποτε τὸ ἑαυτȣ̃ ἐπίϛαται μάθημα; Δ. Ἀργὸς γάρ ἐϛι ϗ ἀμελής. Γ. Πόθεν αὕτη ἡ ἀμέλεια; Δ. Πρὸς τοῖς ἄλλοις ἐκ τῆς λιχνείας, εἶτ' ȣ̓̃ν ἀδηφαγίας. Γ. Εὖγε! ἐπὶ τὸν σκοπὸν ἔβαλες· παχεῖα γὰρ γαϛὴρ λεπτὸν ȣ̓ τίκτει νόον. Δ. Οὕτως ἔχει· ϗ ὁ ἐμὸς αὐτάδελφος ὑπὸ τῆς ἑαυτȣ̃ ἀπληϛίας ἀεὶ τὴν μείζω μερίδα τȣ̃ ἐμβρώματος θηρᾶται. Γ. Μῶν λαμβάνει; Δ. Ὡς ἐπὶ τὸ πολὺ, ȣ̓̃ ἐπιθυμεῖ, τυγχάνει· ἔϛι

δ' ὅτε

δ' ὅτε τὴν γαστέρα θᾶττον, ἢ τὼ ὀφθαλμὼ ἐμπίπλησιν. Γ. Ἀπρεπὲς καὶ ἀνάξιον ἀγαθοῦ παιδὸς λέγεις ἔργον.

ΔΙΑ'ΛΟΓ. Η'.

Δ. Τί προσβλέπεις με, Γεώργιε; Γ. Θαυμάζω σου τὴν σπουδήν. Δ. Οὐ χρὴ θαυμάζειν· ποιῶ γὰρ, ὅπερ ὀφείλω· οὐδὲ τοῦθ' ὅσον ἱκανὸν καὶ ἄξιόν ἐστι. Γ. Τί δὲ οὕτω φιλόπονος εἶ; Δ. Ὅτι πονεῖν ἡμῖν παρήγγειλεν ὁ Θεὸς, μᾶλλον δὲ προσέταξεν. Γ. Ὀρθῶς φιλοσοφεῖς· ἐπαινῶ σε τῆς σπουδῆς. Δ. Ἐπαινεῖν οὐκ ἀρκεῖ, μιμεῖσθαι δεῖ· τὸ γὰρ ἐπαινεῖν καὶ μὴ ποιεῖν ἐν ἴσῳ καθέστηκε τῷ ὀλιγωρεῖν.

ΔΙΑ'ΛΟΓ. Θ'.

Δ. Τί ἀδολεσχεῖς ἀδόλεσχε; Γ. Τί πρὸς σέ; Δ. Πάμπολυ δήπου· ἐμποδὼν γάρ μοι γίγνῃ πρὸς τὴν ἀνάγνωσιν. Γ. Βαβαὶ τῆς ἐπιμελείας τούτου τοῦ παιδός! Δ. Βαβαὶ τῆς ἀμελείας τούτου τοῦ ἀδολέσχου! Γ. Χρῶμαι τῇ γλώττῃ, ἥν μοι δέδωκεν ὁ Θεός. Δ. Μῶν πρὸς ἀδολεσχίαν; ἥκιστα πάντων· σφόδρα γε ἁμαρτάνεις· οὐδὲ κέχρησαι τῇ γλώττῃ, ἀλλὰ κατακέχρησαι. Ἐρωτῶντος μὲν τοῦ Καθηγητοῦ χρῶ τῇ γλώττῃ, ἐν δὲ τῇ τῶν μαθημάτων ὥρᾳ μὴ καταχρῶ ταύτῃ. Γ. Ὀρθῶς λέγεις. Δ. Περίθου τοίνυν χαλινὸν τῷ στόματί σου, μάλιστα δὲ ὡς λόγον τῷ Θεῷ ἀποδοῦναι δεήσει περὶ παντὸς λόγου οὐ μόνον φαύλου, ἀλλὰ καὶ ἀργοῦ, εἴτ' οὖν ἀχρήστου.

ΔΙΑ-

ΔΙΑ'ΛΟΓ. Ι!

Γ. Πόση ὥρα ἐςὶ, Δημήτριε; Δ. Τῦ χάριν περὶ τῆς ὥρας πυνθάνῃ; Γ. Καραδοκῶ τὴν ἐκ τῆς σχολῆς ἀπόλυσιν, ἥπερ γίγνεται τῇ ἑνδεκάτῃ ὥρᾳ. Δ. Οὔπω ἥκωσαι ἡ δεκάτη. Γ. Οἴμοι τάλας! Δ. Ἀληθῶς εἶ τάλας, ὃς τὰς λόγυς μισεῖς. Γ. Εἴπωμεν ἥκεσθαι τὴν ἑνδεκάτην. Δ. Οὐκ αἰσχύνῃ ψεύδεσθαι; ἢ οἴει σὺ τὸν Θεὸν δυνατὸν εἶναι λανθάνειν; ἢ τὸν διδάσκαλον δεῖν ἐξαπατᾶν; Γ. Οὐ ψεύσομαι, ὑδ' ἀπχτήσω. Δ. Οὐδ' ἂν συμβυλεύσαιμί σοι· οἶσθα γὰρ τὸ τῦ ψεύδυς ἔγκλημα ῥάβδῳ κολαζόμενον.

ΔΕΚΑ'Σ ΣΤ!

Περὶ Ἀρίςυ.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Ἰωάννης. Θεόφιλος.

Ι. Ὦ ὗτος! Θεόφιλε, σὲ φωνῶ. Θ. Τί κέκραγας; Ι. Καλῶ σε ἀπὸ τῦ παίζειν ἐπὶ τὸ ἀριςᾶν. Θ. Ὢ τῦ χρηςῦ ἀγγέλυ! ἐμὲ ἔχεις εὐπειθέςατον. Ι. Οἶδά σε ἥδιον ἰόντα ἐπὶ τὴν τράπεζαν, ἢ ἐπὶ τὴν σχολήν. Θ. Οὐδὲ παραιτήσομαι ἐς τὴν σχολὴν ἰέναι. Ι. Ἀλλὰ μᾶλλον

βύλει

βȣ́λει ἰέναι ἐς τὸ ὀπτανεῖον, ἢ εἰς τὸ διδασκαλεῖον.

ΔΙΑ΄ΛΟΓ. Β!

Ι. Ἀκȣ́εις, Θεόφιλε, ὅ,τι ἐρωτᾷ ὁ πατήρ; Θ. Τί δή; Ι. Εἰ ἕτοιμοί ἐσμεν ἐπὶ τὴν προσευχὴν ϗ εὔθετοι πρὸς τὴν τράπεζαν. Θ. Ἔα! ȣ̓δ' ἐκτενισάμην, ȣ̓δ' ἐνιψάμην. Ι. Οὐκȣ̃ν ἐπείχθητι· ἔνι γάρ τοι κίνδυνος ἀσιτίας ἐν τῇ βραδυτῆτι. Θ. Βȣ́λομαι μᾶλλον κτενίσασθαι ϗ νίψασθαι, ἢ πεινῆν. Ι. Ἠνὶ ἐνταῦθά ἐςι τὸ ὕδωρ ϗ τὸ χειρόμακτρον. Θ. Πȣ̃ δὲ ὁ κτείς ἐςιν; Ι. Ἐκεῖ ἐν τῇ θυρίδι. Θ. Αὐτίκα ὄψει με ἕτοιμον. Ι. Ἀλλ' ὅρα, μὴ ἐπιλάθῃ τὰ ἱμάτια ἀνασεῖσαι. Θ. Ἀνασείσω πάντως.

ΔΙΑ΄ΛΟΓ. Γ!

Ι. Δεηθῶμεν, Θεόφιλε! Θ. Ἰδȣ̀ πάρειμι. Ι. Πότερον τῷ σώματι, ἢ τῇ ψυχῇ; Θ. Ἀμφοῖν. Ι. Εὖγε! ȣ̔́τω γὰρ δεῖ παρεῖναι τὸν ἄνθρωπον, ὃς ἐκ ψυχῆς ϗ σώματος σύγκειται. Θ. Ἆρ' ȣ̓̃ν ἐγώ, ἂν παῖδα ἢ Θεόφιλον ἄλλως καλȣ̃σιν, ἄνθρωπός εἰμι; Ι. Πάνυ μὲν ȣ̓̃ν· ἐπιμελȣ̃ δέ, ὅπως ἔσῃ αὐτόχρημα Θεόφιλος. Θ. Τί δηλοῖ τȣτὶ τὸ ὄνομα; Ι. Τὸν Φιλόθεον, ἢ τὸν φιλȣ̃ντα τὸν Θεόν· τοιȣ̃τον νῦν σαυτὸν παράσχȣ ἐν τῇ προσευχῇ. Θ. Διὰ τί δὲ δεόμεθα; Ι. Ἵνα τὸν Θεὸν ἵλεων ἐν τῇ τραπέζῃ ἔχωμεν, ϗ τῷ λόγῳ αὐτȣ̃ τὰ παρατιθέμενα εὐλογήσωμεν.

ΔΙΑ-

ΔΙΑ'ΛΟΓ. Γ!

Ι. Οἷον ὁρῶ; Θ. Τί δῆθ' ὁρᾷς; Ι. Σὲ πρῶτον μὲν ἐν τῷ τρυβλίῳ, ἔσχατον δὲ ἐν τῷ μασείῳ. Θ. Ἔασόν με ἐσθίειν. Ι. Ἔα! τί δήποτε οὑτωσὶ τὸ στόμα διαστρέφεις; Θ. Ὁ ζωμὸς, ὁ θερμὸς εἶναι δοκῶν, ζεῖ. Ι. Δίκην ἄρα δικαίαν ἔτισας τῆς ἄγαν σου ἀπληστίας. Θ. Μάθε ἐμοὶ χρώμενος παραδείγματι σωφρονεῖν. Ι. Μᾶλλον μὲν οὖν γευσάμενος σωφρονήσω, καὶ οὐ λυμανοῦμαι τὸ στόμα καὶ τὴν γλῶτταν. Θ. Ἔγωγε τοῦ λοιποῦ οὐκ ἔδομαι ζωμὸν, εἰμὴ ἐν τῇ παροψίδι ἐκδεξάμενος, ἢ πρότερον ἀπογευσάμενος. Ι. Οὕτως ἄρα τὰ παθήματα γίγνονται μαθήματα.

ΔΙΑ'ΛΟΓ. Ε!

Ι. Ὁποῖον κρέας ἐστὶν, ὅπερ ἐν τῇ λοπάδι ὁρᾷς; Θ. Ἑφθόν. Ι. Περὶ τούτου οὐδεὶς λόγος· τὶς γὰρ ἂν ὠμὸν κρέας παραθείη; ἀλλ' εἰπὲ, ὁποῖόν τί ἐστι τὸ εἶδος. Θ. Βόειον. Ι. Ἁμαρτάνεις. Θ. Δοκεῖ μέντοι βόειον εἶναι. Ι. Οὐκ, εἰμὴ τοῖς σοῖς ὀφθαλμοῖς. Θ. Πότερον κρίειον, ἢ ἄρνειον; Ι. Οὐδέτερον. Θ. Μῶν ὕειον, ἢ μόσχειον; Ι. Θάτερον. Θ. Πότερον δέ; μὴ ὕειον; Ι. Ἁμαρτάνεις· μόσχειον ὑπάρχει. Θ. Εὔχυμόν ἐστι. Ι. Πάντως δήπου· ἄλλως τε πεινῶντι.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Ι. Χαρῶμεν, Θεόφιλε! Θ. Ὅτι τί δή; Ι. Οὐχ ἑώρακας ἐν τῷ ὀπτανείῳ κρέας ἀμφ' ὀβελῷ πεπαρμένον πρὸς τὸ πῦρ περιαγόμενον; ἤδη

δὲ

δὲ προσφέρεται ϗ ἐπὶ τῆς τραπέζης τίθεται. Θ. Αʹλλὰ μὴ ἐμοὶ ϗ σοίγε; Ι. Εʹλπίζω μὲν, ἀτὰρ ἐκ ἄνευ φόβε. Θ. Πόθεν ἔτος ὁ φόβος; Ι. Αʹγνοεῖς; ἐξ ὧν παρέχομεν τῇ μητρὶ πραγμάτων ἐν τῷ ὀπτανείῳ· ὅθεν δέδια, μὴ ὀργισθεῖσα ἡμῖν ἀρνήσηται ὀπτὸν δἔναι. Θ. Αʹποθε τἔτον τὸν φόβον· πάλαι γὰρ ὑπὸ τῆς εὐκολίας αὐτῆς ἐπελέλησο. Ι. Οὐκ εἰς μακρὰν εἰσόμεθα.

ΔΙΑʹΛΟΓ. Ζ!

Ι. Ἴδε δὴ ἰχθῦς, Θεόφιλε, ϗ ἔτοι φρυκτοί. Θ. Οʹποῖοί τινές εἰσι; πότερον κυπρῖνοι, ἢ πέρκαι, ἢ λάβρακες. Ι. Λάβρακες. Θ. Νῦν ἔγνων τέτες. Ι. Αʹτὰρ ποίε λόγε χθὲς ἀκηκόαμεν περὶ τῶν ἰχθύων; Θ. Οὐκ ἐπέρχεταί μοι. Ι. Οὐκἔν ἐδ' ἰχθῦς ἐπὶ τὸν σόμαχόν σε ἐπελεύσεται. Θ. Εἶα, εἰπέ μοι. Ι. Αʹφωνότερος εἶ ἰχθύος. Θ. Ηʹδη μέμνημαι, μᾶλλον δὲ ἐπῆλθεν ἕτερος. Ι. Οʹποῖος; Θ. Ἰχθῦν νήχεσθαι διδάσκεις.

ΔΙΑʹΛΟΓ. Η!

Ι. Οʹποῖός τίς ἐςιν ἔτος ὁ τυρός; Θ. Ηʹδύς, ἀλλὰ πολλῷ ἡδίων ἂν ἦν, εἰ προσετίθετο βέτυρον. Ι. Τυρὸν ἐσθίειν μετὰ βετύρε τῶν πλεσίων ἐςίν. Θ. Ηʹμεῖςγε τῶν πλεσίων ἐσμέν. Ι. Δεῖξον τὸν πλἔτόν σε. Θ. Ηʹ γε μήτηρ αὐτὴ πήγνυται τυρὸν, ϗ σκευάζεται βέτυρον, ὅσον βέλεται. Ι. Αʹμαρτάνεις· ἔδει γάρ σε εἰπεῖν, ὅσον δύναται κατὰ λόγον τοῦ γάλακτος. Θ. Οὐκοῦν τὸ ἀπὸ τοῦδε ἔγωγε σέρξω θατέρῳ βουτύρῳ,

τύρω, ἢ τυρῷ μόνῳ. Ι. Καλῶς ποιήσεις· ὀχθ-λῆ γὰρ ξηροῦ ἄρτου ἄξιοί ἐσμεν. Θ. Αʼνάξιοι μὲν δὴ ἐσμὲν, ὁμολογῶ, ἀλλʼ ὁ Θεός γε οὐδὲ τοῖς ἀναξίοις ἀρνεῖσθαι φιλεῖ τὸ ὄψον.

ΔΙΑʹΛΟΓ. Θ!

Ι. Ποσάκις εἴωθας πίνειν ἐν τῷ ἀρίςῳ; Θ. Οʽσάκις διψῶ. Ι. Ποίῳ ποτῷ κέχρησαι; Θ. Τῷ ἀρίςῳ, δηλονότι τῷ ὕδατι. Ι. Τοῦτό σεαυτῷ φύλαττε, οὐ φθονῶ. ἔμοιγε ἀρέσκει ὁ ζῦθος, ἀλλʼ ὁ λεπτός· ὁ γάρ τοι ἰχυρὸς ἀναςρέφει τὸν ἐγκέφαλον. ἔτι δὲ παροξύνει μᾶλλον τὸ δίψος, ἢ σβέννυσιν. Θ. Εʼγωγε ὕδωρ διατελέσω πίνων, ἅτε δὴ οὔτʼ εὐρωτιῶν, οὔτʼ ὀξυνόμενον. Ι. Αʼλλὰ τὸ ὕδωρ ἐκλύει τὸν ςόμαχον. Θ. Αʽμαρτάνεις· ἔθος γὰρ δευτέρα φύσις. Ι. Οʽ οἶνος ἀλλʼ οὖν κρείττων τοῦ ὕδατος. Θ. Πρόσθες δʼ ὅτι καὶ τιμιώτερος, καὶ πολλάκις πολλῷ βλαβερώτερος. Ι. Σχολῇ ἂν πεισθείην. Θ. Πείσθητι ἐμοί· πλείους γὰρ ὑπὸ τοῦ οἴνου ἀπόλλυνται, ἢ ὑπὸ τοῦ ὕδατος. Ι. Εʼν οἴνῳ δὲ ἡ ἀλήθεια, τὸ τοῦ λόγου. Θ. Αʼλλὰ προδοθεῖσα, ἢ παρασπονδηθεῖσα.

ΔΙΑʹΛΟΓ. Ι!

Ι. Ηʼδη δὲ ἐκορέσθης, Θεόφιλε; Θ. Οὔπω μὲν, ἀλλʼ αὐτίκα κορεσθήσομαι, ἐπειδὰν καταναλώσω τὸν ἄρτον μου βουτύρῳ ἀληλιμμένον. Ι. Οὐκοῦν ἀνδρικῶς ἔπαγε τὴν σὴν γνάθον. Θ. Τίς ἐπείγει; Ι. Ηʽ τῶν ἠθῶν κοσμιότης καὶ ἡ εὐταξία. Θ. Τί κελεύει αὕτη; Ι. Τοὺς παῖδας

πρω-

πρώτες ἐξανίςασθαι τῆς τραπέζης. Θ. Ἄμεινον καθῆσθαι, ἢ πρὸ τῆς εὐχῆς ἐξαναςῆναι. Ι. Ἔςι τρίτον. Θ. Τὸ ποῖον; Ι. Ὑπηρετεῖν ἐν τῇ τραπέζῃ τοῖς τεκοῦσι καὶ τοῖς λοιποῖς ἐντίμοις συνδαιτυμόσιν ἔτι ἀριςῶσιν. Θ. Εὖ λέγεις· ἐξαναςήσομαι, καὶ ὑπηρετήσομαι. Ι. Ἀλλὰ κοσμίως καὶ γνώμῃ ἀξίως ἑαυτὴν παρασκευαζούσῃ πρὸς τὴν προσευχήν.

ΔΕΚΑ'Σ Ζ!

Περὶ Γραφῆς.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Κωνςαντῖνος. Λουκᾶς.

Κ. Ἀπίωμεν ἐς τὸ διδασκαλεῖον, Λουκᾶ. Λ. Οὔπω ἐςὶν ὥρα τοῦ μανθάνειν. Κ. Οὐκοῦν οὐδὲ τοῦ παίζειν· ἐλθὲ ὁ Διδάσκαλος καλεῖ. Λ. Ἰδοὺ πάρειμι! πορεύσομαι μετὰ σοῦ καὶ γράψω, ἀλλὰ τῷ σῷ καλάμῳ. Κ. Ἕνα μόνον κέκτημαι. Λ. Ὢ ἐπιλήσμων ἐγὼ, ὃς οὐ τῆς γραφίδος μόνον, ἀλλὰ καὶ τοῦ χάρτου ἐπελαθόμην. Κ. Θάῤῥει· χάρτην σοι χρήσω, ἔςαι δὲ, ὅς ἂν καὶ κάλαμον χρήσειεν. Λ. Ἐπιγινώσκω σοῦ τὸ φίλτρον, Κωνςαντῖνε, εὐχαρίςῳ γνώμῃ. Κ. Ἀλλὰ πρόσεχε, μὴ εἰσαῦθίς του τῶν σῶν ἐπιλάθῃ. Λ. Προσέξω.

ΔΙΑΛΟΓ. Β!

Λ. Ὁ Ἰωάννης ἔχρησέ μοι γραφίδα, ἀλλ' ἥτις καταῤῥαίνει τὸν χάρτην τῷ μέλανι. Κ. Ὄρεξόν μοι αὐτήν· ἐπαμείψω τὴν ἀκωκὴν τῷ μαχαιριδίῳ, εἰ μὴ ἡ τούτου ἀκμὴ ἀμβλεῖα εἴη. Λ. Καλῶς ἂν νῦν εἶχε πρὸς τὸ γράφειν, εἰ μὴ ἡ ἀκωκὴ πάνυ λεπτὴ ἦν. Κ. Ἐπίδος μοι αὐτὴν πάλιν· αὐτίκα ἔσαι παχυτέρα. Λ. Ἔα! γέγονε σκληροτέρα καὶ παχυτέρα τοῦ δέοντος. Κ. Ἐπαυξήσω τὴν ἀκίδα, καὶ ὀξεῖαν ποιήσω πρὸς λεπτὰ γράμματα.

ΔΙΑΛΟΓ. Γ!

Κ. Ποῦ ὠνήσω τὸν σαυτοῦ χάρτην, Λουκᾶ, χάρτην οὐδενὸς ἄξιον; Λ. Ὁ σὸς οὐκ ἔσι κρείττων. Κ. Νὴ δίαγε· οὐ γὰρ διαῤῥεῖ ὡς ὁ σὸς, ὃς μονονοὺ πάντα τὰ γράμματα διαπέμπει δίκην ἐμπορικοῦ χάρτου. Λ. Οὕτω πεφενάκικέ με ὁ ἔμπορος. Κ. Μᾶλλον δὲ ὁ χαρτοποιὸς τὸν ἔμπορον. Λ. Πάντως μεταμέλει μοι τῆς ὠνήσεως, ὃς οὐ μίαν ἢ δύω πτύχας χάρτου, ἀλλ' ὅλον φάκελλον, εἴτ' οὖν κώδικα ἐπριάμην, τέτταρας πρὸς ταῖς εἴκοσι πτύχας περιέχοντα.

ΔΙΑΛΟΓ. Δ!

Κ. Ποῦ ἐσὶν ὁ σὸς κανὼν, Λουκᾶ; Λ. Οὐκέτι πρὸς κανόνα γράφω. Κ. Οὐκοῦν χρῆσόν μοι αὐτόν. Λ. Χρήσω, ἤν μοι δῷς μικρόν τι τοῦ μέλανος. Κ. Αὐτὸς ἔχεις μέλαν. Λ. Ἔχω μὲν,

ἀλλὰ

ἀλλὰ φαιὸν, μᾶλλον δὲ πεπηγός. Κ. Εἰ πεπηγός ἐςιν, ὕδατι ἔκλυε· ἐκλυθὲν δὲ κύκα τῷ καλάμῳ. Λ. Γέγονε. Κ. Νυνὶ χαράσσει τὰ γράμματα καθαρῶς ϗ ἐς κάλλος. Λ. Βȣ́λομαι μᾶλλον γραφικῷ μέλανι χρῆσθαι, ἢ χαλκάνθῳ. Κ. Ὅρα, μὴ ἀνασρέψῃς τὸ ἀμμοδοχεῖον, ἢ τὸ μελανοδοχεῖον, μηδ᾽ ἀποβάλῃς τὴν καλαμῖδα.

ΔΙΑ'ΛΟΓ. Ε!

Κ. Τί πράττεις, Λȣκᾶ; Λ. Γράφω, ὡς ὁρᾷς. Κ. Τί γράφεις; Λ. Στίχȣς, ȣ̃ς ὑπηγόρευσεν ὁ Καθηγητής. Κ. Δεῖξον, ἀντιβολῶ, τὴν γραφήν. Λ. Ἄθρει δή. Κ. Δοκεῖς μοι λίαν διὰ σπȣδῆς γεγραφέναι. Λ. Γράφω ἔσθ᾽ ὅτε ἄμεινον. Κ. Τί δὴ νῦν ȣ̃τω κακῶς γράφεις; Λ. Ἐνδεῖ μοι τῶν πρὸς τὸ καλῶς γράφειν ἐπιτηδείων. Κ. Τίνων; Λ. Ἀγαθȣ̃ χάρτȣ, μέλανος ϗ πτερȣ̃· ȣ̃τος μὲν γὰρ ὁ χάρτης, ὡς ὁρᾷς, ἀθλίως διαῤῥεῖ, τὸ δὲ μέλαν ἐςὶν ὑδαρὲς ϗ ὠχρὸν, τὸ δὲ πτερὸν ἁπαλὸν ϗ κακῶς ἐσχισμένον. Κ. Τί δήποτε τȣ́των ἁπάντων ȣ̓κ ἐν καιρῷ πεφρόντικας; Λ. Οὐκ ἦν μοι χρήματα, ἀλλ᾽ ȣ̓δὲ νῦν ἐςι. Κ. Δανείσω σοι χρήματα, ὥςε δύνασθαι κρείττονα χάρτην πρίασθαι, ϗ τὰ λοιπὰ κτήσασθαι. Λ. Χάριτάς σοι ὁμολογῶ τῆς πρὸς ἐμὲ σȣ̃ εὐνοϊκῆς διαθέσεως.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Κ. Πόθεν ἥκεις, Λȣκᾶ; Λ. Ἐκ τȣ̃ ἐργαςηρίȣ. Κ. Τί ποτ᾽ ἐβȣ́λȣ ἐκεῖ; Λ. Χάρτην ὠνησάμην. Κ. Πόσον ὠνήσω; Λ. Φάκελλον, εἰ δὲ

βύλει, Κώδικα. Κ. Πόσυ; Λ. Πέντε ὀβολῶν. Κ. Δεῖξον, δέομαι. Λ. Ὅρα, εἰ ἀγαθός ἐςιν. Κ. Ἀγαθὸς μὲν δή ἐςι· πρὸς τί δὲ ἐπρίω; Λ. Ἠλίθιον ἐρωτᾷς· πρὸς τί γὰρ ἄλλο, εἰ μὴ πρὸς τὸ γράφειν; Κ. Ἀτὰρ παντοδαπή ἐςιν ἡ τῦ χάρτυ χρῆσις. Ὡς πολλὰ χρήματα χάρταις ἐντυλίττεται. Λ. Νυνὶ δὲ περὶ γραφικῦ χάρτυ διαλεγόμεθα, ὐ περὶ ἐμπορικῦ· ὐ γὰρ ἐσμεν ἔμποροι. Κ. Οὐ τῷ χάρτῃ χρώμεθα καὶ πρὸς τὸ ξηρᾶναι τὰ νεωςὶ γραφέντα; Λ. Ἀκριβῶς οἶδα, ἀλλ' ἐκεῖνός ἐςι χάρτης ποτικὸς, ὃς τὸ μέλαν ἀποῤῥοφεῖ. Κ. Χάρτης ἀλλ' ὖν ἐςίν. Λ. Ἔςι μὲν ὖν, ἀλλ' ἀπίωμεν νῦν ἐς τὸ Ἀκροατήριον.

ΔΙΑΛΟΓ. Ζ!

Λ. Ἔςι σοι καλὸν μέλαν; Κ. Καὶ μάλα. Λ. Βύλει μοι βραχύ τι δῦναι; Κ. Φεῦ! ὐκ ἔςι σοι; Λ. Ἔςι μὲν, ἀλλ' ὐ δύναμαι τύτῳ γράφειν. Κ. Πῶς ὖ; Λ. Ὅτι λίαν πηκτόν ἐςιν. Κ. Ὄρεξον τὸ σὸν μελανοδοχεῖον· ἐγὼ ἐγχεῶ σοι. Λ. Ἠνὶ ἔγχεε· Βαβαί! ὡς ὑγρόν ἐςιν, ἀλλὰ πάνυ ἄχρυν εἶναι δοκεῖ. Κ. Ἁμαρτάνεις· ἱκανῶς μέλαν ἔςαι, ἢν καλῶς μίξῃς. Λ. Ἐποίησα καὶ εὖ ἔμιξα. Κ. Νῦν ἀποπειρῶ, καὶ γράφε τι. Λ. Ὑπαγόρευσόν μοι γνώμην τινά. Κ. Ἡ πεῖρά ἐςι διδάσκαλος τῶν πραγμάτων. Λ. Γέγραφα. Κ. Νῦν περίμενε, ἕως ἂν ἡ γραφὴ καλῶς ξηρανθῇ. Ὅρα, ὡς μέλαν ἐςίν. Λ. Οὕτως ἐςίν. Κ. Οὐκοῦν ὁρᾷς τὴν πεῖραν διδάσκαλον τῶν πραγμάτων οὖσαν.

ΔΙΑʹΛΟΓ. Η!

Λ. Βούλει μοι, Κωνςαντῖνε, παρασκευάσαι δύω ἢ τρία πτερά; Κ. Ἀποχρήσει· εἰ ἓν ἐπὶ τοῦ παρόντος παρασκευάσαιμι· πότερά ἐςι νέα; Λ. Νέα μὲν, ἀλλ' οἷα σχίζεσθαι· ἤδη γὰρ ἔλειψα τοὺς καυλοὺς καὶ τὰ πτίλα ἐξεῖλον. Κ. Δεῖξον· κάλλιςά ἐςι καὶ πρὸς τὸ γράφειν ἐπιτηδειότατα. Λ. Πόθεν τοῦτ' οἶσθα; Κ. Ὅτι ἔχουσι καυλὸν μέγαν τε, καὶ ςερέμνιον καὶ λεῖον· τὰ γὰρ ἁπαλὰ καὶ βραχύκαυλα ἧττόν ἐςιν εὔχρηςα πρὸς τὸ γράφειν. Λ. Βούλει μοι οὖν ἕν γε, ἢ δύω παρασκευάσαι; Κ. Τοῦτ' αὐτίκα δὴ μάλα ἔςαι· ἐπίσκεψαι ἀκριβῶς, ἵνα μάθῃς ποτέ. Λ. Ἐπιμελήσομαι, ὅπως ἂν μάθοιμι. Κ. Νῦν μὲν ἔχεις δύω πτερὰ καλῶς, οἶμαι, πρὸς τὴν σὴν χρῆσιν ἁρμόττοντα· τουτὶ δὲ τὸ τρίτον εἰς ἕτερον χρόνον σεαυτῷ ἀποταμιεύσῃ. Λ. Οἶδά σοι χάριν, Κωνςαντῖνε προσηνέςατε.

ΔΙΑʹΛΟΓ. Θ!

Κ. Τί ἀναγινώσκεις, Λουκᾶ; Λ. Ἐπιςολήν. Κ. Τίς γέγραφεν; Λ. Ὁ ἐμὸς αὐτάδελφος. Κ. Πόθεν; Λ. Λειψίηθεν. Κ. Ποίᾳ ἡμέρᾳ; Λ. Τῇ ἡμέρᾳ τοῦ Ἡλίου, τῆς Σελήνης, τοῦ Ἄρεως, τοῦ Ἑρμοῦ, τοῦ Διὸς, τῆς Ἀφροδίτης, τοῦ Κρόνου. Κ. Πότε ἐκομίσω ἢ ἐδέξω ταύτην; Λ. Πρὸ ὥρας. Κ. Τίς ἐκόμισεν; Λ. Οὐκ οἶδα. Κ. Οὐκ οἶσθα; τίς σοι ταύτην δέδωκεν; Λ. Ἡνίοχός τις πέπομφέ μοι ἐκ τοῦ οἰνοπωλείου. Κ. Τί σοι γέγραφεν ὁ ἀδελφός; Λ.

Πάνυ

Πάνυ μακρὸν ἂν εἴη πάντά σοι διηγήσασθαι, οὐδὲ διὰ πάσης ἦλθον· ἀλλ᾽ αὐτὰ τὰ γράμματα ἐπιδείξω σοὶ μετὰ τὸ ἄριστον. Κ. Τοῦτό μοι πάνυ καταθύμιον ἂν εἴη· πότε ἀντεπιστελεῖς; Λ. Ἴσως ἐς τρίτην ἡμέραν. Κ. Χαίρειν κέλευσον παρ᾽ ἐμοῦ· οἶσθα γὰρ, ὡς σφόδρ᾽ αὐτὸν διετέλεσα φιλῶν. Λ. Τοῦτ᾽ ἐμπέδως οἶδα. Κ. Οὐκοῦν ἀνακοινώσῃ μοι τὴν ἐπιστολήν; Λ. Ὡς ὑπεσχόμην.

ΔΙΑ'ΛΟΓ. Ι!

Λ. Ἐλθὲ Κωνσταντῖνε! ἐλθὲ Πέτρε! ἔλθετον ἄμφω! Κ. Ποῖ δή; Λ. Εἰς τὸ πεδίον· ὁ Καθηγεμὼν γὰρ προσέταξεν ἡμῖν παίζειν. Π. Τί φησιν οὗτος; Λ. Ὅπερ ἀληθέστατόν ἐστι, καὶ αὐτοὶ τῶν λοιπῶν συστρατιωτῶν ἤδη πεύσεσθε. Κ. Παιζέτωσαν μὲν δὴ ἄλλοι, ὅσον περ ἂν βούλοιντο, ἐγὼ δὲ οὐ παίξω. Π. Οὐδ᾽ ἐμοὶ πρὸς θυμοῦ ἐστι παίζειν. Λ. Τί δήποτε; Κ. Ὅτι βούλομαι μᾶλλον ἐπαναλαμβάνειν, ἃ μεμάθηκα, ἢ παιδιᾷ τὸν χρόνον κατατρίβειν. Λ. Ἆρ᾽ οὖν τοῦτο ἐστι τὸν χρόνον τηνάλλως κατατρίβειν, εἰ τὸ σῶμα πρὸς ὑγιείαν ἀσκοῖμεν; Π. Κἀγὼ ἐνασχολοῦμαι πρὸς τὸ ἀντιγράφειν, ἃ ὑπηγόρευσεν ὁ Καθηγητής. Λ. Φεῦ! ὡς δυσκόλους συσχολαστὰς ἔχω. Κ. Ἕκαστος ἑαυτῷ σπείρει καὶ θερίζει. Λ. Ἀλλ᾽ ὁ Καθηγητὴς ἐπέταξεν ἡμῖν παίζειν. Κ. Ψεύδῃ· ὤφειλες γὰρ εἰπεῖν ἐπιτρέψαι αὐτὸν ἡμῖν παίζειν, ἀλλὰ μὴ προστάξαι· οὐδεὶς γάρ ποτε πρὸς τὸ παίζειν βιάζεται. Λ. Ἔρρωσθε· ἔγωγε παίξω.

ΔΙΑ'-

ΔΕΚΑʹΣ Ηʹ.

Περὶ διαφόρων πραγμάτων.

ΔΙΑʹΛΟΓΟΣ Αʹ.

Μιχαῆλος. Νικόλαος.

Μ. Ποῖ ἄπει, Νικόλαε; Ν. Εὐθὺ τοῦ κήπου τοῦ Γεωργίου. Μ. Αὕτη ἡ ὁδὸς οὐ φέρει ἐκεῖσε, ἀλλ᾽ ἐκείνη ἡ ἱκανῶς τετριμμένη, καίτοι ἁμάξαις ἄβατος. Ν. Πηλώδης ἐκείνη ἐςὶ καὶ ἀνάντης, οὐδὲ λιθόςρωτος. Μ. Βάδιζε μόνον προθύμως· αὐτίκα ἔςαι κατάντης, ξηρὰ καὶ πάνυ καλή. Ν. Οὐ δοκεῖ δὲ ἐπίτομος εἶναι. Μ. Ἔςι δήπου, ἢν μὴ ζητήσῃς ἐκτροπὰς, δηλονότι ἐκτραπῇς ταύτης ἐπὶ τὰ δεξιὰ, ἢ ἐπὶ τὰ λαιά. Ν. Βαδιοῦμαι ταύτην τὴν τρίβον, καὶ ἐπιταχυνῶ τὴν πορείαν.

ΔΙΑʹΛΟΓ. Βʹ.

Μ. Πόθεν ἥκεις, Νικόλαε; Ν. Ἐκ τοῦ κήπου. Μ. Τί φέρεις ἐκεῖθεν; Ν. Ποικίλα ἄνθη. Μ. Μᾶλλον δὲ φάκελλον ἀνθέων εὔοσμον. Τίς σοι τοῦτον ἐδωρήσατο; Ν. Ὁ κηπουρὸς ἀνὴρ χρηςὸς κἀμὲ περὶ πολλοῦ ποιούμενος. Μ. Τί δὲ οὐ φέρῃ κοκκύμηλα; Ν. Κοκκύμηλα μὲν ἤδη ἐδήδοκα, ἡ δὲ λοιπὴ ὀπώρα οὔπω πέπειρός ἐςι. Μ. Περὶ τῶν ἀνθέων δὲ μή τι ἐννοεῖς; Ν. Ἡμεῖς ἐοίκαμεν τοῖς ἐαρινοῖς

ἄνθε-

ἄνθεσιν ἀνθοῦντές τε καὶ ἀπανθοῦντες, ὡς ἦσεν ἡ Ποίησις· Οἵηπερ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

ΔΙΑ'ΛΟΓ. Γ'.

Μ. Ποῖ βαδίζεις, Νικόλαε; Ν. Πορεύομαι εἰς τὸν ἀγρὸν, ἔνθα εἰσὶν οἱ ἡμέτεροι θερισταὶ καὶ αἱ θεραπαινίδες. Μ. Τί πράττουσιν ἐκεῖ; Ν. Οἱ μὲν θερισταὶ τέμνουσι τοὺς καρποὺς, αἱ δὲ θεραπαινίδες δεσμεύουσιν αὐτοὺς θώμιγξι, δεσμευθέντας δὲ καλοῦμεν δράγματα. Μ. Ἤδη μέμνημαι ἀρίστης γνώμης. Ν. Εἰπὲ αὐτήν. Μ. Ὡς σπείρεις, οὕτω καὶ θερίσεις. Ν. Ἀτὰρ πολλάκις ἀντ' ἀγαθῶν κακὰ ἀμώμεθα, τὸ τοῦ λόγου.

ΔΙΑ'ΛΟΓ. Δ'.

Μ. Σήμερον δὲ ἐκ τοῦ ἀγροῦ ἐπανέκαμψας; Ν. Σήμερον, καὶ ταῦτα μικρὸν πρὸ ἀρίστου. Μ. Καὶ μὴν ἔφησθα οὐ πολὺν ἐκεῖ διατρίψειν χρόνον. Ν. Οὕτως ᾤμην ἔσεσθαι, καὶ ὁ πατὴρ οὕτω προείρηκε. Μ. Τί οὖν ἐκώλυσεν, ὥστε μὴ θᾶττόν σε ἐπανελθεῖν; Ν. Κατέσχε με ἡ μήτηρ. Μ. Τίνος δ' ἕνεκα τοσοῦτόν σε κατεκώλυσε χρόνον; Ν. Παρακολουθεῖν αὐτῇ ἐπανιούσῃ. Μ. Τί δὲ μεταξὺ ἐποίεις; Ν. Συνέλεγον τοὺς καρποὺς μετὰ τῶν ἡμετέρων ἀγροτῶν. Μ. Τίνας καρπούς; Ν. Ὥσπερ ἂν ἠγνόεις τοὺς ὀψίμους καρποὺς, βράβυλα, μῆλα, κάρυα, κάστανα, σῦκα. Μ. Ἡδὺ μὲν ἔργον· ἐν τούτῳ δὲ σοι πολλῶν μαθημάτων καρπὸς ἀπόλωλεν. Ν. Ἐπὶ τούτῳ σφόδρα ἄχθομαι· πειράσομαι μέντοι ἐκ τῶν ἐνόντων τὴν ζημίαν πως ἀναλαβεῖν.

λαβεῖν. Μ. Τί ποιήσεις; Ν. Ἀντιγράψω ἅπαντα ὡς οἷόντε ἐπιμελέστατα. Μ. Ἀλλ' οὐχ ἁπάντων ἱκανῶς συνήσεις. Ν. Σύ μοι παρέσῃ, καὶ ἀνακοινώσεις τὴν τοῦ διδασκάλου ἑρμηνείαν. Μ. Πόσῳ ἄμεινον ἦν αὐτοῦ τοῦ διδασκάλου ἀκροᾶσθαι. Ν. Μακρῷ δήπου ἄμεινον ἦν, ἀλλ' ἐπεὶ οὐκ ἐξεγένετό μοι, οὐδ' ἐμῇ κάκῃ γέγονεν, οὐκ ἔχω ἐμαυτῷ ἐγκαλεῖν. Μ. Ὀρθῶς λέγεις· ποίει οὕτως, ὥσπερ ἔφης.

ΔΙΑ'ΛΟΓ. Ε!

Μ. Τοῦ χάριν οὐ γράφεις, Νικόλαε; Ν. Οἱ δάκτυλοί μοι πεπήγασιν ὑπὸ τοῦ ψύχους, οὐδ' ἔνεστι πῦρ ἐν τῷ ἰπνῷ, ὅθεν ἂν τὸ μουσεῖον θερμαίνοιτο. Μ. Ἄγε ἐναύσωμεν πῦρ τῇ φύσῃ. Ν. Ἡ φῦσα μὲν πάρεστι, ξύλα δ' ἄπεστιν. Μ. Ἠνὶ ξύλα ἐνταῦθα. Ν. Οἶδα μέν, ἀλλ' ὑγρὰ ὑπάρχει· ξηρῶν δὲ δεῖ. Μ. Τί δέ; οὐκ ἐπιτήδειά ἐστι τὰ ὑγρὰ πρὸς τὸ θερμαίνειν; Ν. Ἥκιστα. Μ. Ἀνθ' ὅτου δή; Ν. Ἐπείπερ ἐπιτιθέμενα τῷ πυρὶ οὐδὲν ἀλλ' ἢ καπνὸν ποιοῦσιν, ὁ δὲ καπνὸς δάκνει τοὺς ὀφθαλμούς.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Μ. Τοῦ χάριν οὕτω βραδέως φοιτᾷς ἐς τὸ διδασκαλεῖον; Ν. Ὁ χειμών, ὃν παρελεύσεσθαι προσεδόκουν, ἐπέσχε με, ὥσπερ χθές σε κατεκώλυσεν ὁ ὑετός. Μ. Ἤδη δὲ λελώφηκε; Ν. Λελώφηκε μέν, ἀλλ' ἕωθεν αὖθις ἀνίσταται νέφη μέλανα ὑετὸν ἐπαπειλοῦντα. Μ. Ἴσως δὲ ῥαγδαῖον ὑετόν, εἴτ' οὐκ

ὄμ-

ὄμβρον. Ν. Περιμείνωμεν, τίποτ' ἐπάξει ἡ ἑσπέρα, ἄλλως τε εἰ θύελλα ἐπιγένοιτο.

ΔΙΑ'ΛΟΓ. Ζ!

Μ. Σήμερον ȣ̓ δειπνήσεις, Νικόλαε. Ν. Τί ἐπλημμέλησα, ὥςε μὴ ἀξιȣ̃σθαι δείπνȣ; Μ. Ο'τι ȣ̓κ ἦσθα ἐπιμελὴς ἐν τῷ φροντιςηρίῳ. Ν. Τί τȣ̃το πρὸς τὸ δεῖπνον; Μ. Πολύγε· τὸ γὰρ δεῖπνον λέγεται παρὰ τὸ δεῖ πονεῖν, ȣ̓δὲ δίδοται, εἰμὴ τοῖς καλῶς πονȣ̃σιν, ἢ καλῶς πεπονηκόσι. Ν. Παγκάλως μὲν φιλασοφεῖς, ἀλλ' ἐπὶ τῷ ἐμῷ κακῷ. Μ. Ε'καςος τῆς ἑαυτȣ̃ τύχης ἀρχιτέκτων.

ΔΙΑ'ΛΟΓ. Η!

Ν. Α'ναβῶμεν ἐπὶ τȣ̃τον τὸν ἵππον, Μιχαῆλε. Μ. Οὐ προσίεται τὸν ἀναβάτην, μᾶλλον δὲ παίει λάξ. Ν. Ἡμᾶς ȣ̓ λακτιεῖ. Μ. Εἴσῃ· πάντως γὰρ ȣ̃τος ὁ πυῤῥὸς θυμοειδής ἐςι καὶ δυσκάθεκτος, ὃς ῥᾳδίως τὸν ἀναβάτην ἀποκρȣ́ει. Ν. Ε'πιτενῶ τὰς ἡνίας, ἃς ἄλλοι ἀνιᾶσιν, εἴτ' ȣ̓̃ν χαλῶσιν. Μ. Α'λλ' ȣ̓δὲ χαλινὸν δέχεται. Ν. Ε'άσωμεν ȣ̓̃ν τȣ̀ς ἵππȣς. Μ. Εὖ λέγεις· τί γὰρ ἡμῖν τοῖς τῶν λόγων ἐρῶσι καὶ τοῖς ἵπποις;

ΔΙΑ'ΛΟΓ. Θ!

Μ. Φυλάττȣ, φυλάττȣ, Νικόλαε! Ν. Τίνα; Μ. Τὸν κύνα, καὶ τȣ̃τον ἐν ἁλύσει δεδεμένον πρὸ τῆς πύλης. Ν. Τίς ἐπαφήσει μοι αὐτόν;

τόν; Μ. Αὐτὸς ἑαυτόν. Ν. Οὐ πείθομαι αὐτὸν λυττώδη εἶναι· ȣ̓ γὰρ ὑλακτεῖ. Μ. Δηκτικὸς μέντοι ἐςί, Ν Ῥίψω αὐτῷ λίθον· χαλεπαινέτω αὐτῷ. Μ. Μὴ ἐρέθιζε αὐτόν· ἀπίωμεν ἐντεῦθεν. Ν. Ποῖ; Μ. Ὅθεν ἥκομεν. Ν. Μεῖνον μικρόν. Μ, Οὐκ ἔςι καιρὸς μένειν, ἀλλὰ σπεύδειν, ὅτι ἤδη ἡ ἑσπέρα καταλαμβάνει.

ΔΙΑ'ΛΟΓ, Ι!

Μ. Τί ποιεῖς, Νικόλαε; φυλάττȣ, δέομαι. Ν. Τί ἂν φυλαξαίμην; Μ. Μὴ νόσῳ περιπέσῃς ὑπὸ τῆς ἄγαν ἀκρασίας τȣ̃ παίζειν. Ν. Πόθεν ἐμφαίνεται ὁ κίνδυνος; Μ. Ὅτι ὅλος ἱδρῶτι περιῤῥέῃ. Ν. Ὀρθῶς ϗ ἐν δέοντι παραινεῖς· ȣ̓ γὰρ ᾐσθανόμην δηλαδή. Μ. Πέπαυσο, εἰ ἐμοὶ πείθῃ. Ν. Ἀσμενέςατά σοι πείθομαι· τίς γὰρ ἂν τοιȣ́τȣ φίλȣ παραίνεσιν ἀποδοκιμάσειεν; Μ. Ἀπόμαξαι τὸ πρόσωπαν τῷ ἡμιτυβίῳ, ἢ τῷ καψιδρωτίῳ, ϗ περίδυθι ταχέως, ἵνα μὴ αἰφνίδιον ψῦχος ἐπισπάσῃ· πᾶσα γὰρ αἰφνίδιος μεταβολὴ κινδυνώδης ἐςίν. Ν. Ἔχω σοι χάριν, Μιχαῆλε προσφιλέςατε· ἀληθῶς γὰρ ἐπίφοσός εἰμι. Μ. Τοσȣ́τῳ μᾶλλον φυλάττεσθαί σε δεῖ. Ν. Τȣ̃το καλῶς οἶδα, ϗ οἱ ἐμοὶ τοκεῖς ȣ̓ διαλείπȣσι παραινȣ̃ντές μοι· ἀλλὰ τί πάθω; φύσει γὰρ ῥέπομεν πρὸς τὸν ὄλεθρον ἡμῶν. Μ. Ὦ φίλε Νικόλαε, ȣ̓ τῇ ἡδονῇ δȣλευτέον, ἀλλὰ τῆς ὑγιείας δι' ἐγκρατείας ἐπιμελητέον. Ἤδη ἐνεδύθης· νῦν παραινῶ σοι οἴκαδε ἐπανιέναι. Ν. Ἔῤῥωσο, Μιχαῆλε, εἰσηγητὰ φίλτατε.

ΔΕ-

ΔΕΚΑ'Σ Θ!

Περὶ Α'ρετῶν καὶ Κακιῶν.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Παῦλος. Α'ρετόφιλος.

Π. Χαῖρε, Α'ρετόφιλε! Α. Καὶ σύγε, φίλε Παῦλε! Π. Ω῏ οἷον ὄνομα ἔχεις! Α. Τίς ἡ τῦ ὀνόματός μυ ἀρετὴ, ἢ τίποτε τῦτο δηλοῖ; Π. Τὸν Φιλάρετον. Α. Τί ἐςιν ἀρετή; Π. Ω῾ς πυνθάνομαι, τὔνομα μόνον τῆς ἀρετῆς φέρεις, τίποτε δὲ αὕτη δύναται, ἀγνοεῖς. Α. Εἰπὲ ὖν, τί ἐςιν ἀρετή; Π. Τελειότης τῦ ἀνθρώπυ, ἢ ὃ ταὐτόν ἐςι, σωτηρία ψυχῆς ϗ σώματος. Α. Τίς ἐςι πρώτη τῶν ἀρετῶν; Π. Ο῾ τῦ Θεῦ φόβος. Α. Τί ἐςιν ὁ τῦ Θεῦ φόβος; Π. Α'ρχὴ σοφίας, μᾶλλον δὲ σύνδεσμος πασῶν τῶν ἀρετῶν. Α. Οὐ συνίημι ταῦτα. Π. Α'υτός σοι διασαφήσω. Α. Περιμένω τὴν σὴν διασάφησιν. Π. Ο῾ τὸν Θεὸν ὀρθῶς φοβούμενος, οὗτος ἀληθῶς αὐτὸν γινώσκει, εὐλαβῶς ἀγαπᾷ, ϗ τὰ προςαττόμενα αὐτῷ ἐπιτελεῖ, ϗ ὕτω γίγνεται σύμμορφος τῷ θελήματι αὐτῦ. Α. Ω῾ς γε πυνθάνομαι ἐργῶδές ἐςιν ὁ τῦ Θεῦ φόβος.

ΔΙΑ'-

ΔΙΑ'ΛΟΓ. Β!

Α. Τρεῖς εἰσὶν αἱ ἀρεταὶ αἱ πρὸ τῶν ἄλλων, ὡς ἀκήκοα, κοσμοῦσαι τοὺς νέους· οἶσθα ταύτας, Παῦλε; Π. Οὐκ οἶδα· εἰδέναι μέντοι βουλοίμην. Α. Πρώτη ἐστὶν ἡ ὑπακοή. Π. Ταύτην καλῶς οἶδα. Α. Ἴσως ἐξ ὀνόματος μόνον. Π. Τί ποιεῖ αὕτη; Α. Κατακλᾷ τὸ τῆς γνώμης ἀμετάπειστον, καὶ παρέχεται τοὺς παῖδας ἐν πᾶσι πειθηνίους. Π. Ὢ καλλίστης ἀρετῆς, καὶ τῷ ἐμῷ ἀδελφῷ τῷ ἀπειθεῖ ἐκείνῳ πάνυ ἀναγκαίας! Α. Πρόσθες ὅτι κἀμοὶ αὐτῷ. Π. Τί μὴ μᾶλλον ἀμφοτέροις ἡμῖν; Α. Ἐπικαλεσόμεθα τὸν Θεὸν δωρήσασθαι ἡμῖν πνεῦμα πειθοῦς, ἢ ὑπακοῆς. Π. Εὖ λέγεις· ἀλλ' οὕτως ἡμᾶς ἐπικαλεῖσθαι δεῖ τὸν Θεὸν, ὥστε δωρουμένῳ, ἢ δωρησομένῳ ἀναπεπταμένην ψυχὴν προσενεγκεῖν.

ΔΙΑ'ΛΟΓ. Γ!

Α. Τίς ἐστιν ἡ δευτέρα ἀρετὴ ἡ πρὸ τῶν λοιπῶν τοὺς παῖδας κοσμοῦσα; Π. Ἡ φιλαλήθεια, εἰ δὲ βούλει, ἀψεύδεια. Α. Τί ποιεῖ αὕτη; Π. Εἴργει τὴν τοῦ ψεύδους ἐπιθυμίαν, καὶ παρέχεται τὸν νοῦν γαληνὸν καὶ εἰλικρινῆ. Α. Ἐπιμελησόμεθα ταύτης τῆς ἀρετῆς· ἀκήκοα γὰρ τὸ ψεῦδος ἐκ τοῦ διαβόλου εἶναι. Π. Ὀρθῶς ἀκήκοας· ὁ διάβολος γάρ ἐστι πατὴρ τοῦ ψεύδους. Α. Ὡς πολλοὺς ἔχει υἱοὺς οὗτος ὁ πατήρ! Π. Οὐκ ἀρνοῦμαι, οὐδ' ἂν ἀρνηθείην· ἐπείπερ ἡ πεῖρα τρανῶς βοᾷ μάρτυς τούτου ἀξιόπιστος. Α. Φευξόμεθα ταύτην τὴν κακίαν, ἵνα καὶ τὸν ταύτης αἴτιον φύγωμεν.

γωμεν. Π. Αʼλλʼ ὅρα, ὦ φίλε Αʼρετόφιλε, μὴ ψεύσῃ ταύτην τὴν ὑπόσχεσιν. Α. Οὐ ψεύσομαι τῇ τȣ̃ Θεȣ̃ χάριτι μεμνημένος τȣ̃ ἀποσολικȣ̃ λόγȣ· Αʼποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν.

ΔΙΑʹΛΟΓ. Δ!

Α. Λείπεται ἡ τρίτη τῶν ἀρετῶν, ὧν μάλιςα τοῖς παισὶν ἐπιμελητέον ἐςί. Π. Ταύτην ῥαδίως συμβάλλω. Α. Σύμβαλε ȣ̃ν. Π. Οὐχ ἡ ἐπιμέλειά ἐςι; Α. Ναί· συμβέβληκας. Π. Οὐδὲν ξένον, εἴγε ἐπιμελής εἰμι. Α. Εʼπαινεῖς σεαυτὸν, ὥσπερ Αʼςυδάμας. Π. Οὐκȣ̃ν ψεύσομαι καὶ τῆς ἐπαινȣμένης φιλαληθείας ἀποςήσομαι; Α. Ηʹκιςα πάντων. Π. Εʼψευδόμην μέντʼ ἂν, εἰ ἔλεγον ἐμαυτὸν ῥάθυμον εἶναι. Α. Αʼλλο μὲν ἐςὶ τὸ ῥαθυμίαν προφέρειν, ἄλλο δὲ τὸ ἐπιμέλειαν ἐπικομπάζειν. Π. Οὐκ εἰμὶ κομπαςὴς, ἀλλὰ μάρτυς μόνον τῆς ἐπιμελείας μȣ. Α. Οὐκ οἶσθα, ὡς οἱ νόμοι ȣ̓ πιςὸν τίθενται τὸ αὐτέγγυον;

ΔΙΑʹΛΟΓ. Ε!

Π. Τί ἀντίκειται τῇ ἀρετῇ, Αʼρετόφιλε; Α. Ηʹ Κακία. Π. Τί ἐςι κακία; Α. Νόσος, μᾶλλον δὲ λοιμὸς τῆς ψυχῆς καὶ τȣ̃ σώματος. Π. Πῶς ἀποδιώκεται αὕτη ἡ νόσος; Α. Τῇ ἀσκήσει τῶν ἀρετῶν. ὁ γὰρ τὴν ἀρετὴν ἐνδυόμενος τὴν κακίαν ἀποδύεται· ὁ δὲ τὰς ἀρετὰς ἀσπαζόμενος τὰς κακίας μεμίσηκε. Π. Τίς δὲ τῶν κακιῶν ὑπάρχει τοῖς παισὶ βλαβερωτάτη; Α. Ηʹ φιλαυτία. Π. Οὐκȣ̃ν ταύτην Θεȣ̃ διδόντος ἰασόμεθα.

ΔΙΑʹ-

ΔΙΑʹΛΟΓ. ΣΤ!

Α. Τȣ͂ χάριν ȣ̓ παρῆς χθὲς ἐν τῷ φροντιςηρίῳ, Βασίλειε; Β. Ἤπόρȣν ὑποδημάτων, Ἀναςάσιε. Α. Ψεύδῃ· ἑώρακα γάρ σε περιπατȣ͂ντα ἐν τῇ ἀγορᾷ. Β. Δέομαί σȣ ἐκτενῶς μὴ εἰπεῖν τῷ Καθηγητῇ. Α. Ἐψεύσω ἄρα. Β. Ὁμολογῶ, μόνον ὁ Καθηγητὴς ἀγνοείτω. Α. Ἀλλ᾽ ὁ Θεὸς οἶδεν. Β. Ἐκεῖνος ȣ̓ τύψει με ῥάβδῳ. Α. Σφόδραγε ἁμαρτάνεις· μὴ προκαλȣ͂ εἰς ἄμυναν τὸν Θεὸν τὸν δίκαιον κριτὴν, ȣ͂ ἡ ῥάβδος ἀφόρητός ποτε τοῖς ἁμαρτάνȣσιν ἔςαι. Β. Καὶ τοῖς ψευδαμένοις; Α. Πάνυγε· μιμȣ͂νται γὰρ τὸν διάβολον τὸν πατέρα τȣ͂ ψεύδȣς. Β. Οὐκ ἔτι ψεύσομαι τȣ͂ λοιπȣ͂. Α. Εἴθε ἐμμένοις τοῖς ἐπηγγελμένοις!

ΔΙΑʹΛΟΓ. Ζ!

Α. Πȣ͂ καὶ παρὰ τίνος εἴληφας τȣτονὶ τὸν δακτύλιον; Β. Εὗρον αὐτὸν ἐν τῇ ἀγυιᾷ. Α. Πότε εὗρες αὐτόν; Β. Πρώην ἐξιὼν τȣ͂ νεώ. Α. Ἀλλ᾽ ἐγὼ αὐτὸν ἔτι χθὲς ἐθεασάμην ἐν τῷ τῆς πρὸς μητρός σȣ θείας δακτύλῳ. Β. Ἴσως ἐκείνη ἀπέβαλεν αὐτόν. Α. Τὸν ψεύςην μνήμονα εἶναι δεῖ. Β. Τȣ͂ χάριν ἀποκαλεῖς με ψεύςην; Α. Οὐ ψεύςης μόνον εἶ, ἀλλάγε καὶ κλέπτης. Β. Τί κέκλοφα; Α. Τὸν δακτύλιον. Β. Σχολῇ γ᾽ ἂν ἀποδείξαις. Α. Ἱκανῶς ἀπέδειξα· ἀλλὰ καὶ σὺ αὐτὸς ἀπέδειξας. Β. Τῷ τρόπῳ; Α. Πιςεύεις αὐτὸς τὸν δακτύλιον ἑωρακέναι με χθὲς ἐνιζηκότα τῷ τῆς πρὸς μητρός σȣ θείας δακτύλῳ; Β. Τȣ͂τ᾽ ȣ̓κ

ἂν

ἂν ἔξαρνος γενοίμην. Α: Πότε δ᾽ εὗρες αὐτὸν ἐν τῇ πλατείᾳ; Β. Πρὸ τριῶν ἡμερῶν. Α. Ἠνὶ ὁ ψεύστης ἀμνήμων ἑαυτοῦ, ὅς εὑρεῖν δύναται, πρίν τι ἀπόληται. Β. Ὁμολογῶ τὴν κλοπὴν καὶ τὸ ψεῦδος. Α. Αἰσχύνου δὴ ἀμφοῖν ἕνεκα, μάλιστα δὲ τοῦ ψεύδους, ὅπερ αἴσχιστα ἐδευτέρωσας. Β. Πέπεισο, ὡς οὐκ αἰσχύνομαι μόνον ἐφ᾽ οἷς ἔπραξα, ἀλλὰ καὶ σφόδρα μεταμέλομαι καὶ ἄχθομαι. Α. Εἴηγε ἀληθές!

ΔΙΑΛΟΓ. Η!

Α: Τί δήποτε ὀργίζῃ, Βασίλειε; Β: Ὅτι ὁ Γεώργιος ἔπαισέ με ῥοπάλω. Α. Ὤμην τὸν Γεώργιον εἶναι σὸν φίλον. Β: Ἐκ φίλου γέγονεν ἐχθρὸς μισεῖσθαι ἄξιος. Α: Ἁμαρτάνεις, Βασίλειε· ὀφείλομεν γὰρ καὶ τοὺς ἐχθροὺς ἡμῶν ἀγαπᾷν. Β: Οἱ δὲ οὐκ ἀγαπῶσιν ἡμᾶς. Α. Οὐδ᾽ ἡμεῖς ἀγαπῶμεν τὸν Θεὸν, ὁ δὲ οὐ παύεται ἡμᾶς ἀγαπῶν, ἵν᾽ αὐτὸν ἀνταγαπῶμεν, καὶ τοὺς ἐχθροὺς ἡμῶν ἅμα φιλῶμεν. Β: Ὀρθῶς λέγεις· συγγνώσομαι τῷ Γεωργίῳ, καὶ ἀγαπήσω αὐτόν.

ΔΙΑΛΟΓ: Θ!

Α: Πόθεν εἴληφας τουτὶ τὸ καινὸν βιβλίον, Βασίλειε; Β: Παρὰ τοῦ πρὸς πατρός μου θείου. Α. Μῶν χάριτας αὐτῷ ὡμολόγησας; Β: Ἐπελαθόμην, οὐδ᾽ ἐδέησε χαρίτων ὁμολογίας· οὐ γὰρ ἀπῄτησεν αὐτὴν ὁ θεῖος. Α: Ὢ τοῦ ἀγνώμονος ἀνθρώπου, ὃς οὐ βούλεται χάριτας ὁμολογεῖν, εἰ μὴ ἀπαιτηθείς. Ἦν σοι κεχαρισμένον

τὸ

τὸ Βιβλίον; Β. Πάνυ μὲν ϗ οὖν, ϗ εἰσέτι ἐςίν. Α. Ὢ τῆς ἀναισχυντίας! τὸ μὲν Βιβλίον κεχαρισμένον σοί ἐςι, σὺ δ' ἀχάριςος εἶ περὶ τὸν τοῦτό σοι δεδωκότα. Β. Γιγνώσκω τὸ ἁμάρτημά μου ϗ ὁμολογῶ. Α. Οὕτω δὲ γίγνωσκε, ὡς ἐπιδιορθώσων.

ΔΙΑ'ΛΟΓ. Ι!

Α. Τίποτε παθὼν ὁ Γεώργιος οὕτω σκυθρωπὸς ϗ περίλυπός ἐςι; Β. Δίκην δέδωκε τῆς γλώττης. Α. Ποίαν κέκτηται γλῶτταν; Β. Ἀκόλαςον, ᾗπερ ἐλοιδορήσατο τῷ ἑαυτοῦ ἀδελφῷ. Α. Ἵνα τρόπον; Β. Ὄνον ϗ κάθαρμα αὐτὸν ἀπεκάλεσε· τὰς λοιπὰς ὕβρεις παρίημι. Α. Ἴσως τοῖς ἴσοις ἠμείψατο. Β. Οὐδαμῶς· ὁ γὰρ ὅμαιμων αὐτοῦ οὐδένα φιλεῖ λοιδορίαις πλύνειν, ἀλλ' οὐδ' ἂν λοιδορηθεὶς πρὸς ἐκείνου ἄμεμπτος ἦν· κακῶς γὰρ λέγειν ϗ ποιεῖν τοὺς ἄλλους ἀπηγόρευται ἡμῖν ὑπὸ τοῦ νόμου.

ΔΕΚΑ'Σ Ι!

Περὶ Δείπνου.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Θεόδωρος. Λάζαρος.

Θ. Στρῶσον τὴν τράπεζαν, Λάζαρε, καὶ πᾶσι τοῖς ἀναγκαίοις ταύτην κόσμησον. Λ. Ἤδη γέγονεν· ἀλλὰ τὰ χειρόμακτρα οὐκ ἔςι καθαρά, οὐδὲ

ὐδὲ πρέπει τῇ λευκῇ, εἴτ' ὖν καθαρωτέρᾳ ἐπιτραπεζίῳ ὀθόνῃ, ἥν μοι ἐχορήγησεν ἡ μήτηρ ἐκ τῆς κιβωτῦ. Θ. Τὖτυ μέλει τῇ μητρί· μόνον οἱ δίσκοι ἔςων καθαροὶ, μηδ' ἀμελείσθω ἡ παράθεσις τῦ ἄρτυ, τῦ ἀλοδόχυ ϗ τῶν ἐκπωμάτων. Λ. Πάντα ἕτοιμά ἐςιν. Θ. Εʹπιμελῦ, ὡς ἂν παρατεθείη τὰ ἐδέσματα. Λ. Ηʹνὶ φέρει ταῦτα ὁ διάκονος. Θ. Εʹλοίμην ἂν αὐτὸς εἶναι διάκονος.

ΔΙΑʹΛΟΓ. Β!

Θ. Οʹποῖόν τί ἐςι τυτὶ τὸ ἔδεσμα; δοκεῖ ὠμὸν εἶναι. Λ. Αʹμαρτάνεις· ἑφθὸν, ἢ ἀνάβραςόν ἐςιν. Θ. Εʹλοίμην ἂν ὀπτὸν ἐσθίειν. Λ. Τί μὴ ϗ φρυκτόν; ἀμέλειτοι διάγε τὸν σὸν τρυφερὸν ςόμαχον, ὃν κἂν μάζῃ ςέργειν ἔδει. Θ. Ουδὲ τοσῦτον ἐμοὶ πρόσεςιν ἀηδίας τῦ εὐτελεςέρυ ἐδέσματος, ὅσονπερ αὐτὸς προσάπτεις; ὐκ ἀπαναίνομαι μέντοι κρέας ἡδύτε ϗ εὔχυμον, ἄλλως τε πρόσφατον ϗ εὔζωμον. Λ. Τί μὴ ϗ τὸ ἐν καπνῷ ἀπεσκληρωμένον, ἢ ἐν ἅλμῃ τεταριχευμένον; Θ. Οʹτι δύσπεπτόν ἐςι ϗ ἥκιςα τρόφιμον.

ΔΙΑʹΛΟΓ. Γ!

Θ. Οʹ λάρυγξ μυ ἤδη ἐξήρανται ὑπὸ τῦ δίψυς. Λ. Αʹρδευσον ὖν αὐτόν. Θ. Ουδεὶς ἐςιν, ὃς ἄν μοι πιεῖν διακονοίη. Λ. Αὐτὸς σεαυτῷ διακόνει. Θ. Οὐδὲ ζῦθος πάρεςιν, εἰμὴ πάνυ λεπτὸς, εἴτ' ὖν δευτερίας. Λ. Τοιῦτον ποτὸν ἁρμόττει τοῖς παισὶ, ϗ τοῖς τῶν λόγων ἐραςαῖς·

ὐ

ὁ γὰρ θολοῖ τὸν νοῦν. Θ. Α'λλ' ὀξίζει. Λ. Ψεύδῃ· διϋλισμένος ἐστὶ, χρηστὸς καὶ εὐστόμαχος. Θ. Πίομαι οὖν ζῦθον οὕτως ἐπαινούμενον. Λ. Οὕτω μέντοι, ὥστε τὴν κύλικα μὴ ἀπνευστὶ ἐκκενῶσαι. Πέπαυσο, πέπαυσο, Θεόδωρε, ὡς περισσευομένης τῆς κύλικος καὶ ἡμῖν περιεῖναι τὴν μερίδα. Θ. Η'νὶ λαβέ.

ΔΙΑ'ΛΟΓ. Δ!

Θ. Τί δήποτε οὕτως ἄδην ἐσθίεις, Λάζαρε; Λ. Ο"τι σφόδρα λιμώττω· ὁ δὲ λιμὸς ἥδιστον ὄψον. Θ. Λιμώττων ἔσθιε, μηδ' ἐμπαραβύου τὸ στόμα σμώχων ἀμφοῖν ταῖν γνάθοιν, ὥσθ' ὅλας καὶ ἀναμασσήτους τὰς ἐνθέσεις καταβροθίζειν, καὶ ταύτας ἄνευ ἄρτου, μηδὲ τοσοῦτον σιτίου ἐμβάλλου. Λ. Α'τὰρ ἥδιστόν ἐστιν. Θ. Οὐκοῦν παῦσον κατὰ μικρὸν τὴν ὄρεξιν, μηδὲ ὑπερεμπίπλασο σιτίων. Λ. Υ'πακούσομαί σοι. Θ. Ο"ρα, ὅπως σεαυτὸν ἐῤῥύπανας τοῖς ἐκπίπτουσι τοῦ στόματος σιτίοις. Λ. Α'πομάξομαι τῷ ἐπιτραπεζίῳ χειρομάκτρῳ. Θ. Καθαρὸν καὶ κόσμιον ἑαυτὸν τηρεῖν δεῖ ἐν τῷ δειπνεῖν. Λ. Ο'ρεξόν μοι τὸ ἁλοδοχεῖον· τουτὶ γὰρ τὸ σιτίον δοκεῖ ἄναλον εἶναι. Θ. Ε'μοιγε δοκεῖ ὑπέραλον εἶναι. Λ. Πάντως ὕφαλόν ἐστιν. Θ. Εὐωχώμεθα παυσάμενοι περὶ ἁλῶν διαλεγόμενοι, μήτις ἑκάτερον ἡμῶν δικαίως ἀποκαλέσῃ ἄναλον, δηλονότι τῷ τῆς σοφίας ἅλατι μὴ ἠρτυμένον.

ΔΙΑ'ΛΟΓ. Ε!

Θ. Τίς τῶν ὀρνίθων τέτοκε ταυτὶ τὰ ᾠά;

Λ. Ἡ ἡμετέρα. Θ. Ἆρ' ὖν ἣν χθὲς ἑωράκαμεν ἐπωάζουσαν; Λ. Ἄλλη ἐςίν· ἐκείνη δὲ τὰ ὠὰ τούτου ἕνεκεν ὑποτέθειται, ἵν' ἐκ τούτων νεοσσοὺς ἐκκολάψειε. Θ. Τοῦτ' ἰδεῖν ἐπιθυμῶ. Λ. Ὄψει· ἀλλὰ νῦν ὅρα, μὴ τοῦ λεπύρου συντριβέντος διαῤῥυῇ τὸ τοῦ ὠοῦ λευκὸν σὺν τῇ λεκίθῳ. Θ. Σὺ δὲ μάθε, τίποτε δύναται αὕτη ἡ παροιμία· Κακοῦ κόρακος κακὸν ὠόν. Λ. Τὸν ταύτης νοῦν ἐγώ σοι φράσω, ἤν μοι ἑτέραν ἑρμηνεύσῃς περὶ ὠοῦ παροιμίαν, ἀμελειτοι· ἀπ' ὠῶν ἄχρι μήλων. Θ. Τοῦτ' ἔςιν ἀπ' ἀρχῆς δείπνου μέχρι τέλους· οἱ γὰρ Ἀρχαῖοι ἀπὸ τῶν ὠῶν ἀρχόμενοι ἐν τῷ δειπνεῖν ἐπὶ τὰ μῆλα κατέληγον. Λ. Πάντως οὐκ ὠὸν ὠῷ ὅμοιον, ὡς αὐτὸς ἀγαθῶ ἑρμηνεῖ, ὃς οὐδὲ τῆς προτέρας παροιμίας χρήζεις ἑρμηνείας.

ΔΙΑΛΟΓ. ΣΤ!

Λ. Πρόσελθε, Βασίλειε· οὔπω γὰρ ἀπόντος σου πάντα κατεδήδοται. Β. Χάριτας ὑμῖν ὁμολογῶ τῆς κλήσεως· ὁ λιμὸς οὐ τείρει τὴν γαςέρα μου. Λ. Πλὴν ἀλλὰ συνανακλίθητι ἡμῖν, καὶ εὐωχοῦ, ὅσον σοι ἥδιον. Β. Χαίρετε οἰκεῖοι καὶ φίλοι! καλῶς ἔςω ὑμῖν δειπνοῦσι! Λ. Καὶ σοίγε συνδειπνήσοντι ἡμῖν! Κάθησο τήνδε τὴν καθέδραν, ἢ ἐκείνην, ὅπου ἄν σοι ἥδιον εἴη καθῆσθαι. Β. Ἥδομαι συνὼν ὑμῖν, καὶ τῆς ὑμετέρας φιλίας ἀπολαύων. Λ. Καὶ σύγε ἡμῖν ἡδὺς εἶ, ἀλλὰ πολλῷ ἡδίων ἂν εἴης, εἴγε λαβὼν τὴν μάχαιραν αὐτὸς τὴν χεῖρα ἐπιβάλοις τῇ λοπάδι. Β. Ποιῶ, ὅπερ κελεύετε. Λ. Οὐ κελεύομεν, ἀλλ' ἀντιβολοῦμεν τὸν φίλον φιλικῶς.

ΔΙΑ-

ΔΙΑʹΛΟΓ. Ζ!

Θ. Ὑπελείφθησαν καρκῖνοι, Λάζαρε. Λ. Ἀλλ᾽ ȣ̓ σοί γε ἀφωρισμένοι ἦτοί εἰσι. Θ. Τινὲς γȣ̃ν τȣ́των. Λ. Πέπεισμαι, εἰ λόγȣς τινὰς περὶ καρκίνων εἰδείης. Θ. Καρκῖνον ὀρθὰ βαδίζειν διδάσκεις. Λ. Ὁρῶ σε σοφὸν ὄντα, καὶ πολλῷ σοφώτερον τȣ̃ Λεοντίȣ. Θ. Πάντως καρκῖνον δασύποδι παραβάλλεις. Λ. Μᾶλλον δὲ σὺ τῶν σοφωτάτων εἶ. Θ. Τί παίζεις; ϗ τȣ̃ χάριν τὸν μὲν Λεόντιον ἀποκαλεῖς δασύπȣν, ἐμὲ δὲ καρκῖνον; Λ. Ἄπαγε ταύτης τῆς ἑρμηνείας ἀλλοτρίας τȣ̃τε πράγματος, ϗ τῆς ἐμῆς γνώμης! Θ. Εὐωχώμεθα ȣ̃ν· μεταξὺ γὰρ διαλεγομένοις ἡμῖν δέδονται καρκῖνοι. Λ. Μᾶλλον δὲ καρκίνια.

ΔΙΑʹΛΟΓ. Η!

Θ. Ὥρα ἤδη ἀπιέναι εἰς εὐνήν. Λ. Οὔπω ἤκȣσται ἡ ὀγδόη. Θ. Αὐτίκα ἀκȣσθήσεται ἡ ἐννάτη. Λ. Ἐπίτρεψόν μοι, ἀντιβολῶ, μέχρι τῆς ἐννάτης ἐνταῦθα παρὰ τῇ μητρὶ μένειν. Θ. Περιθέειν τῇδε κἀκεῖσε· οἶδα γὰρ σȣ τȣ̃ τρόπȣ τὸ ἄστατον. Λ. Ἀπέστω μȣ πᾶσα ἀταξία! Πλὴν ἀλλὰ περιπατήσω μικρὸν μεμνημένος τȣ̃ λόγȣ, ὅπερ ἔναγχος ἀκηκόαμεν ἐν τῷ φροντιστηρίῳ. Θ. Εἰπὲ, τίνος; διέφυγε γάρ μȣ τὴν μνήμην. Λ. Μετὰ τὸ δειπνεῖν ἠρεμήσεις, ἢ χίλια βήματα περιπατήσεις. Θ. Ἀρκέσειεν ἂν διακόσια.

ΔΙΑʹΛΟΓ. Θ!

Θ. Ἄπιθι ἐπ᾽ εὐνὴν, ὡς ἐπὶ τελευτήν.

Λ. Τί ποτε δηλοῖ ἡ τελευτή; Θ. Θάνατον. Λ. Τί ἐςι θάνατος; Θ. Διάζευξις ψυχῆς ἀπὸ τȣ̃ σώματος. Λ. Οἴει με ταύτῃ τῇ νυκτὶ τεθνήξεσθαι; Θ. Οὐδῆτα! τȣ̃τόγε ȣ̓κ οἴομαι, ἐνδέχεται μέντοι ἀποθανεῖν σε. Λ. Μᾶλλον μὲν ȣ̃ν ὑπνώσω. Θ. Ἀτὰρ ὁ ὕπνος ἐςὶν ἀδελφὸς τȣ̃ θανάτȣ. Λ. Μᾶλλον δὲ ὀλιγοχρόνιος θάνατος. Θ. Μελέτα τοίνυν τὸν θάνατον, ϗ ȣ̓κ ἔςῃ ἀφρων, ἀλλὰ σώφρων.

ΔΙΑʹΛΟΓ. Ιʹ.

Θ. Εὐτρεπίσθης πρὸς τὸν ὕπνον; Λ. Ἔγωγε. Θ. Οὐκȣ̃ν ὕπνωσον· αὐτίκα γὰρ σβεσθήσεται ὁ λύχνος. Λ. Οὕτως ἡ μέλαινα νὺξ ἐκφοβήσει με. Θ. Οὐχ ἕξομεν ἀσέληνον νύκτα, ἀλλ᾽ ὑποσέληνον. Λ. Ἔγωγε ȣ̓δὲν ἧττον δειμαίνω. Θ. Μῦσον τȣ̀ς ὀφθαλμȣ̀ς, ϗ ȣ̓δεὶς φόβος ἔςαι τȣ̃ ζόφȣ. Τί ἔτι σαυτὸν περιςρέφεις ἐπὶ τῆς κλίνης, ἀνήσυχε; Λ. Ἴσως τὴν νύχθ᾽ ὅλην ἀγρυπνήσω. Θ. Ὅτι τί δή; Λ. Ὅτι ὁ φόβος ἀφαιρεῖ με τὸν ὕπνον. Θ. Τί δέδιας; Λ. Τὸν ζόφον, ἀλλὰ καὶ τὰ μορμολύκεια καὶ φάσματα. Θ. Ἀπόθȣ τȣ̃τον τὸν μάταιον φόβον· ȣ̓́τε γὰρ μορμολύκεια ὑπάρχει, ȣ̓́τε φάσματα. Λ. Ἀλλ᾽ ἀκήκοα πολλάκις διεξιόντων περὶ τȣ́των. Θ. Γραῶν ἴσων ϗ ἠλιθίων ἀνθρώπων. Λ. Πειράσομαι, εἴπως δυναίμην ὕπνȣ τυγχάνειν. Θ. Ἀνάπαυȣ ἡσύχως. Λ. Καὶ σοίγε ἥσυχον νύκτα ἐπεύχομαι.

ἙΛΛΗΝΙΚΩ͂Ν ΔΙΑΛΟ΄ΓΩΝ ἙΚΑΤΟΝΤΑ΄Σ Γ'.

ΔΕΚΑ΄Σ Α'.

Περὶ τῆς Παιδείας καὶ τῶν μερῶν αὐτῆς.

ΔΙΑ΄ΛΟΓΟΣ Α'.

Μουσώνιος. Σοφιανός.

Μ. Τίς πρῶτος λέγεται εὑρεῖν τὰ Γράμματα; Σ. Θεῦθ ὁ Αἰγύπτιος. Μ. Μῶν λυσιτελής ἐστιν ἡ τῶν Γραμμάτων εὕρεσις; Σ. Σφόδρα γε· εἰ μὴ γὰρ Γράμματα εἴχομεν, οὐδὲν ἂν ᾔδειμεν, μᾶλλον δὲ τυφλοῖς ἂν ὅμοιοι ἦμεν· εἴγε Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων· ὥσπερ ἐκ τοὐναντίου Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα. Μ. Πόσα ἐστὶ τὰ Γράμματα παρὰ τοῖς Ἕλλησι; Σ. Τέτταρα πρὸς τοῖς εἴκοσι. Μ. Ἆρ' οὖν τοσαῦτα ἦν κατ' ἀρχὰς παρ' ἐκείνοις; Σ. Οὐ μὲν οὖν, ἀλλ' ἑκκαίδεκα μόνα, ἅπερ Κάδμος ἐκ τῆς Φοινίκων ἐς τὴν Ἑλλάδα μετεκόμισε.

Μ. Τίς

Μ. Τίς δὲ τὰ λοιπὰ τῶν Γραμμάτων ἐξεῦρε; Σ. Παλαμήδης μὲν πρότερον εφεῦρε τέτταρα· ξ. θ. φ. χ. Σιμωνίδης δ' αὖ ὕςερον ἄλλα τοσαῦτα προσέθηκε· η. ω. ζ. ψ. Μ. Ἦ καὶ ἱκανά ἐςι ταῦτα πρὸς ἀπαρτισμὸν κ̀ τελειότητα τῆς Εʹλλάδος φωνῆς; Σ. Παντάπασίγε. Μ. Πῶς ἐχρῶντο οἱ Εʹλληνες τοῖς Γράμμασιν; Σ. Οὐ μόνον γράφοντες κ̀ ἀριθμȣ̃ντες τοῖς Γράμμασιν ἐχρῶντο, ἀλλὰ δὴ κ̀ καταδικάζοντες κ̀ ἀπολύοντες. διὸ τὸ μὲν Α, λευκὸν, τὸ δὲ Κ, μέλαν ὑπῆρχε παρ' ἐκείνοις. Μ. Οʹτι τί δή, Σ. Οʹτι τὸ μὲν τῆς καταδίκης, τὸ δὲ τῆς ἀπολύσεως ἦν σημεῖον. Μ. Τίς πρῶτος ἐξεῦρε τὰς χαρακτῆρας τῶν Γραμμάτων κ̀ τὴν Τυπογραφίαν; Σ. Ἰωάννης Γȣτεμβέργιος ὁ Γερμανὸς κατὰ τὸ 1440 ἔτος.

ΔΙΑʹΛΟΓ. Β!

Μ. Τίνι ὀργάνῳ ἐχρῶντο οἱ Παλαιοὶ γράφοντες; Σ. Τῷ γραφείῳ. Μ. Οʹποῖόν τι ἦν τὸ εἶδος; Σ. Θάτερον μὲν τῶν μερῶν ὀξὺ εἰς τὸ ἐγχαράττειν τὰ Γράμματα ἐν κηρώματι, εἴτ' ȣ̃ν κηρωτῷ πίνακι τῇ ἐκ σιδήρȣ ἀκωκῇ, θάτερον δὲ πλατὺ πρὸς τὸ ἀπαλείφειν ταῦτα. Μ. Νῦν δὲ τίνι ὀργάνῳ ἐγχαράττομεν τὰ Γράμματα; Σ. Τῷ καλάμῳ, μᾶλλον δὲ τῷ πτερῷ. Μ. Πῶς παρασκευάζεται τὸ πτερόν; Σ. Τέμνεται ἡ ἀκὶς τῷ μαχαιριδίῳ, εἶτα ὀξὺ ποιεῖται κ̀ προσαρμόζεται τῇ χειρί. Μ. Εʹκ τίνος κατεσκευάζετο τὸ πάλαι ὁ χάρτης; Σ. Εʹξ αἰγυπτίας παπύρȣ, εἴτ' ȣ̃ν καλάμȣ. Μ. Ἔνθα δὲ ȣ̓κ ἦν πάπυρος, ἐν τίνι ἔγραφον; Σ. Εʹνέγραφον τοῖς φύλλοις τῆς φοίνικος κ̀ λεύκης, ἢ τῷ φλοιῷ τῆς φιλύρας, πτελέας τε κ̀ μελίας.

Μ.

Μ. Ἐκ τίνος δὲ νῦν κατασκευάζεται; Σ. Ἐκ παλαιᾶ λίνε, ὅπερ ἐς σμικρότατα συντρίβεται. Μ. Τῷ τρόπῳ γίγνεται λειότερος, καὶ πρὸς τὸ γράφειν ἁρμοδιώτερος; Σ. Ἀπολεαινόμενος τῷ τῦ κάπρε ὀδόντι. Μ. Ἐκ τίνος δὲ κατασκευάζεται τὸ γραφικὸν μέλαν; Σ. Ἐκ λιγνύος, εἴτ' ἦν ἀσβόλης, ἢ ἐκ κηκῖδος, κόμμεώς τε καὶ χαλκάνθε, εἶθ' ἕτως ἐγχεῖται εἰς τὸ μελανοδοχεῖον, εἰς ὃ ἐμβάπτομεν τὰς καλάμες, εἰ δὲ βέλει, τὰ πτερά.

ΔΙΑʹΛΟΓ. Γ!

Μ. Τίποτ' ἐστὶ τὸ Διδασκαλεῖον; Σ. Τόπος ὑπὸ τῆς πόλεως ὡρισμένος, εἰς ὃν οἱ παῖδες φοιτῶντες διάγεσι μανθάνοντες τὰ Γράμματα, εἴτ' ἦν τὰ Ἐγκύκλια καλέμενα παιδεύματα. Μ. Τίνα δεῖ μανθάνειν τὰς παῖδας ἐν ταῖς τῶν λόγων διατριβαῖς; Σ. Οἷς καὶ ἄνδρες γενόμενοι χρήσονται. Μ. Ποῖα ταῦτα λέγεις; Σ. Δικαιοσύνην, σωφροσύνην, ὑπακοὴν, ἐγκράτειαν καὶ τὰς λοιπὰς τῶν ἀρετῶν. Μ. Πῶς δεῖ ἄγειν τὰς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων; Σ. Λόγοις καὶ παραινέσεσιν, ἢ πληγαῖς καὶ αἰκισμοῖς. Μ. Οὐ χρὴ κολάζειν τὰς ῥαθυμῦντας καὶ ἀτακτῦντας τῶν παίδων ἐν τοῖς φροντιστηρίοις; Σ. Πάνυ μὲν ἦν. Μ. Πῶς δεῖ κολάζειν τὰς τοιέτες; Σ. Πρῶτον μὲν ἐπιπλήττειν αὐτοῖς πικρῶς, καὶ δάκνειν λόγοις θυμοδακέσιν, εἰ δὲ τέτων ὀλιγωροῖεν, καὶ τῷ διδασκάλῳ ἀπειθοῖεν, τῇ ῥάβδῳ τὸν νῶτον μαστίζειν, ἢ τῇ σκυτάλῃ ξαίνειν. Μ. Εἰ δὲ ἔφηβοι εἶεν; Σ. Εἰς τὸ δεσμωτήριον αὐτὰς ἐμβάλλειν, ἢ ζημίας ἐπιτιθέναι, καὶ εἰ μὴ μετατίθοιντο,

το, ἀποδιοπομπεῖσθαι ἐκ τȣ̃ φροντιςηρίȣ ὡς φθορέας ϗ λυμεῶνας των συχολαςῶν. Μ. Τί παραδέδοται περὶ Εʼκτορος; Σ. Παραχεῖν αὐτὸν τὰς χεῖρας τῷ καθηγητῇ. Μ. Τί δὲ περὶ Γρατιανȣ̃ τȣ̃ δευτέρȣ; Σ. Δεδακρυκέναι, εἴτις τῶν συχολαςῶν κολάζοιτο. Μ. Τίς τὸν ἑαυτȣ̃ καθηγεμόνα διὰ πάσης ἔχε τιμῆς; Σ. Αʼντωνῖνος ὁ φιλόσοφος· τȣ̃ γὰρ Μετιανȣ̃ τὴν εἰκόνα ἐν τῷ δωματίῳ αὐτȣ̃ ἔχε, ϗ τὸν τάφον χρυσῷ ςεφάνῳ ἐκόσμησε. Μ. Πότερον ȣ̃ν δοτέον τοῖς παισὶν ἀνάπαυσιν τῶν πόνων; Σ. Πάνυ μὲν ȣ̃ν· εἴγε ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐςι.

ΔΙΑʼΛΟΓ. Δ.

Μ. Πόθεν δεῖ ποιεῖσθαι τȣ̀ς παῖδας τὴν ἀρχὴν τῶν μαθημάτων; Σ. Εʼκ τῆς Γραμματικῆς· αὕτη γὰρ διδάσκει αὐτȣ̀ς ὀρθῶς λέγειν τε ϗ γράφειν. Μ. Πόσα τὰ μέρη αὐτῆς; Σ. Τέτταρα· Οʼρθογραφία, Προσῳδία, Εʼτυμολογία ϗ Σύνταξις. Μ. Τίς τῶν παρʼ ἡμῖν φερομένων Γραμματικῶν κρείττων ἐςὶ ϗ μᾶλλον ἁρμόττȣσα τοῖς παισίν; Σ. Ηʽ τȣ̃ Κατηφόρȣ· σαφεςέρα γὰρ αὕτη καὶ πληρεςέρα τῶν λοιπῶν καθέςηκεν. Μ. Αʼρʼ ȣ̃ν ȣ̈τω δυσχερής ἐςιν ἡ Εʼλλὰς φωνὴ, ὡς οἱ πλεῖȣς τῶν ἡμετέρων οἴονται; Σ. Οὐ μὲν ȣ̃ν. Μ. Τί ȣ̃ν τοσȣ̃τον κατατρίϐȣσι χρόνον ἐν τοῖς παρʼ ἡμῖν φροντιςηρίοις οἱ παῖδες ταύτην μανθάνοντες; Σ. Οʼτι οἱ πολλοὶ τῶν Καθηγητῶν ȣ̓ καλῶς ταύτην ἐκδιδάσκȣσι. Μ. Τῷ τρόπῳ; σαφήνισον. Σ. Οὐχ ἑρμηνεύȣσι δηλονότι τοῖς παρʼ αὐτȣ̀ς φοιτῶσι τὰ πρὸ ὁδȣ̃ γιγνόμενα, ȣ̓δʼ ἀναπτύσσȣσι

σα-

σαφῶς καὶ ᾗ δέον ἕκαστα, ὥστε ξυνιέναι τῶν ἀναγινωσκομένων, ἀλλὰ κελεύουσιν αὐτοὺς τὰ προκείμενα μόνον ἀναγινώσκειν, καὶ ψιττακῶν δίκην ἀποστοματίζειν μηδὲν ὅλως γινώσκοντας μηδὲ συνιέντας, ὧν ἀναγινώσκουσι, καὶ τῇ τῶν λέξεων πληθύϊ τὸν νοῦν αὐτῶν παραφορτίζοντες ἐν ἀγνοίας μυχοῖς ὅλον ὑποβρύχιον καταδύουσι. Μ. Πῶς ἂν οὖν ῥᾷον καὶ ἀπονώτερον οἱ παρ' ἡμῖν παῖδες τοῦ Ἕλληνος λόγου ἐγκρατεῖς γίγνοιντο; Σ. Εἴπερ οἱ διδάσκοντες οὐ μόνον τοὺς γραμματικοὺς κανόνας τοῖς μαθηταῖς καλῶς διερμηνεύοιεν, καὶ ἕκαστα σαφῶς τε καὶ εὐκρινῶς ἀναπτύσσοιεν, ἀλλὰ δὴ καὶ θαμὰ αὐτοὺς ἐξασκοῖεν πρὸς τοὺς λόγους ἐξηγούμενοι τοὺς ἀρίστους Συγγραφέας, καὶ προτρέποντες μιμεῖσθαι ἐκείνους· ἅμα δὲ καὶ ἐθίζοντες αὐτοὺς τῇ Ἑλλήνων φωνῇ ἐν τῇ μετ' ἀλλήλων διαλέξει χρῆσθαι. Μ. Οἴει ἂν οὕτω ῥαδίως τοὺς παῖδας τὴν Ἑλλάδα φωνὴν ἐκμαθεῖν; Σ. Σφόδρα γε· τοιαύτῃ γὰρ χρώμενοι μεθόδῳ οἱ τὴν Εὐρώπην οἰκοῦντες εὐχερῶς μανθάνουσι τὴν Ῥωμαίων φωνὴν ὀρθῶς λέγοντες καὶ γράφοντες. Μ. Τίνες ἐγένοντο παρ' Ἕλλησιν ἄριστοι Γραμματικοί; Σ. Ἀριστοφάνης, Ἀρίσταρχος, Ζηνόδοτος, Ἐρατοσθένης, Ἀπολλώνιος καὶ ἄλλοι συχνοί. Μ. Τί ἔργον εἶχον οὗτοι; Σ. Ἀνέκρινον τὰ τῶν Ἀρχαίων συγγράμματα, καὶ τὰ γνήσια τῶν ὑποβολιμαίων διέστελλον, διὸ καὶ Κριτικοὶ ἤκουσαν. Μ. Τίνες εἰσὶν οἱ ἐνδοξότατοι τῶν Ἑλλήνων συγγραφέων; Σ. Αἴσωπος, Ἡρόδοτος, Θουκυδίδης, Ξενοφῶν, Πλάτων, Ἀριστοτέλης, Θεόφραστος, Λυσίας, Ἰσοκράτης, Ἰσαῖος, Δημοσθένης, Αἰσχίνης, Ἀριστείδης, Λουκιανὸς, Πλούταρχος. Μ. Ποίῳ χαρακτῆρι τοῦ λόγου ἐ-

χρήσαν

χρήσαντο ἦτοι οἱ Συγγραφεῖς; Σ. Διαφόρῳ μὲν κατὰ τὴν διαφορὰν τῶν ὑποθέσεων, περὶ ὧν γεγράφασι, καθαρῷ μέντοι ἅπαντες καὶ σαφεῖ, καὶ ἀκριβῶς ἑλληνικῷ. Μ. Τίνας πρὸ τῶν ἄλλων ἑρμηνευτέον τοῖς παισὶν ἐν τοῖς φροντιστηρίοις μετὰ τὴν τῶν ὀκτὼ μερῶν τοῦ λόγου γνῶσιν; Σ. Πρῶτον μὲν τοὺς Αἰσωπείους μύθους, εἶτα τοὺς νεκρικοὺς διαλόγους τοῦ Λουκιανοῦ, εἶτα τοὺς προτρεπτικοὺς λόγους τοῦ Ἰσοκράτους, ἔπειτα τὴν Κύρου παιδείαν τοῦ Ξενοφῶντος μετὰ τῶν ἀπομνημονευμάτων τοῦ Σωκράτους, καὶ συνελόντι φάναι, ἀεὶ τοὺς εὐχερεστέρους, καὶ σαφεστέρους καὶ μάλιστα ἁρμόττοντας ταῖς ἁπαλαῖς τῶν νέων ψυχαῖς. Μ. Πῶς ἑρμηνευτέον τοῖς διδασκάλοις τούτους τοὺς Συγγραφέας; Σ. Γραμματικῶς τε ἅμα καὶ φιλοσοφικῶς, ἀλλ᾽ οὐ μηχανικῶς κατὰ τὸ νῦν παρ᾽ ἡμῖν ἐπικρατοῦν ἔθος, ἐπιδεικνῦντας τοῖς παρ᾽ αὐτοὺς φοιτῶσι τήν τε ὕλην καὶ τὸ εἶδος, καὶ πᾶσαν τὴν τοῦ λόγου σκευήν. Μ. Τίνι μεθόδῳ χρηστέον αὐτοῖς ἐξηγουμένοις τὰ μαθήματα; Σ. Ἑκατέρᾳ τῇ τε Ἀναλυτικῇ καὶ Συνθετικῇ ἐξασκοῦσι τοὺς μαθητὰς συνεχῶς πρός τε Τεχνολογίαν καὶ Θεματογραφίαν, καὶ τἄλλα τῶν εἰς γραμματικὴν θεωρίαν ἀνηκόντων. Μ. Πῶς δεῖ μεθερμηνεύειν τοὺς Ἑλλήνων λόγους εἰς την καθωμιλημένην φωνήν; Σ. Οὐ κατὰ λέξιν, ὡς λέξιν λέξει ἀποδιδόναι, ᾗ κοινῇ εἴθισται τοῖς πλείσταις τῶν ἡμετέρων, ἀλλὰ κατ᾽ ἔννοιαν, ὡς νοῦν νοΐ συνάπτειν καὶ συναρμόττειν. Μ. Τί δὲ περὶ τῆς βαρβαρικῶς λεγομένης ψυχολογίας ὑποληπτέον; Σ. Ματαιοπονίαν ἄντικρυς ταύτην εἶναι, ἢ τόγε ἀληθέστερον εἰπεῖν, ψυχρολογίαν.

ΔΙΑ-

ΔΙΑʹΛΟΓ. Ε!

Μ. Τίνος δεῖ ἀκȣ́ειν τȣ̀ς παῖδας μετὰ τὴν γραμματικὴν θεωρίαν; Σ. Τῆς Ποιητικῆς, ἥτις ἐςὶ τέχνη τȣ̃ ποιεῖν ςίχȣς ἐμμέτρȣς μετὰ ῥυθμȣ̃ ϗ ἁρμονίας. Μ. Τίς φέρεται τὰ πρῶτα τῶν παρ᾽ Ἕλλησι Ποιητῶν; Σ. Ὅμηρος ὁ δαιμόνιος, ὃς ȣ̃τω πένης γενέσθαι λέγεται, ὡς λιμῷ διαφθαρῆναι. Μ. Οὐκ ȣ̃ν τυφλὸς ἐτέχθη; Σ. Πηρὸς δήπȣ τὰς ὄψεις ἐςὶν ὁ ȣ̃τω γνώμης περὶ αὐτȣ̃ ἔχων, ἴσως δὲ ὑπὸ γήρως ἢ νόσȣ ἐςέρηται τῶν ὀφθαλμῶν. Μ. Διὰ πόσης τιμῆς ἔσχεν αὐτὸν Ἀλέξανδρος ὁ Φιλίππȣ; Σ. Οὕτως ἐτίμα, ὡς τὴν Ἰλιάδα αὐτȣ̃ ἐν χρυσῷ κιβωτίῳ, ὃ πολυτελέςατον ἦν τῶν Δαρείȣ χρημάτων, καταθέσθαι, ϗ νύκτωρ ἑαυτῷ προσκεφάλαιον ὑποθεῖναι. Μ. Πόσαι πόλεις ἐμάχοντο περὶ αὐτȣ̃; Σ. Ἑπτά· κἂν Σμύρνη νεὼν αὐτῷ ἀνέθηκαν. Μ. Τίς ἐγένετο σύγχρονος αὐτῷ; Σ. Ἡσίοδος ὁ ἐν Κύμῃ μὲν τῆς Αἰολίδος τεχθεὶς, ἐν Ἄσκρῃ δὲ τῆς Βοιωτίας ἀνατραφεὶς, ϗ διʹ αὐτὸ τȣ̃το Ἀσκραῖος καὶ Βοιώτιος ποιητὴς κληθείς. Μ. Τί παραδεδώκασι περὶ τȣ́τȣ; Σ. Ἐμυθεύσαντο τὰς ἐννέα Μȣ́σας κλάδȣς δρεψαμένας Ἑλικωνίτιδας καθεύδοντα αὐτὸν ἐλθεῖν ϗ ἐπισιτίσαι, ϗ ȣ̃τω σοφίας ποιητικῆς ἐμφορηθῆναι. Μ. Τί δηλοῖ ȣ̃τος ὁ μῦθος; Σ. Ὅτι Μȣσῶν δῶρον ἡ Ποίησις, ἢ ὅτι ἀμήχανον ἄνευ θείας ἐπιπνοίας Ποιητήν τινα γενέσθαι. Μ. Τίς τῶν Ποιητῶν θαυμάζεται ἐπὶ Τραγῳδίᾳ; Σ. Σοφοκλῆς, τῷ εἶναι ἧττον μὲν ὀγκώδης τȣ̃ Αἰσχύλȣ, ὑψηλότερος δὲ τȣ̃ Εὐριπίδȣ. Μ. Τίς δὲ ἐπὶ Κωμῳδίᾳ; Σ. Ἀριςοφάνης, τῷ διενεγκεῖν ἀπαν-

Λ. Τί ποτε δηλοῖ ἡ τελευτή; Θ. Θάνατον. Λ. Τί ἐςι θάνατος; Θ. Διάζευξις ψυχῆς ἀπὸ τȣ̃ σώματος. Λ. Οἴει με ταύτῃ τῇ νυκτὶ τεθνήξεσθαι; Θ. Οὐδῆτα! τȣ̃τόγε ȣ̓κ οἴομαι, ἐνδέχεται μέντοι ἀποθανεῖν σε. Λ. Μᾶλλον μὲν ȣ̓ν ὑπνώσω. Θ. Αʹτὰρ ὁ ὕπνος ἐςὶν ἀδελφὸς τȣ̃ θανάτȣ. Λ. Μᾶλλον δὲ ὀλιγοχρόνιος θάνατος. Θ. Μελέτα τοίνυν τὸν θάνατον, ϗ ȣ̓κ ἔςῃ ἀφρων, ἀλλὰ σώφρων.

ΔΙΑʹΛΟΓ. Ι!

Θ. Εὐτρεπίσθης πρὸς τὸν ὕπνον; Λ. Εʹγωγε. Θ. Οὐκȣ̃ν ὕπνωσον· αὐτίκα γὰρ σβεσθήσεται ὁ λύχνος. Λ. Οὕτως ἡ μέλαινα νὺξ ἐκφοβήσει με. Θ. Οὐχ ἕξομεν ἀσέληνον νύκτα, ἀλλ᾽ ὑπασέληνον. Λ. Εʹγωγε ȣ̓δὲν ἧττον δειμαίνω. Θ. Μῦσον τȣ̀ς ὀφθαλμȣ̀ς, ϗ ȣ̓δεὶς φόβος ἔςαι τȣ̃ ζόφȣ. Τί ἔτι σαυτὸν περιςρέφεις ἐπὶ τῆς κλίνης, ἀνήσυχε; Λ. Γʹσως τὴν νύχθ᾽ ὅλην ἀγρυπνήσω. Θ. Οʹτι τί δή; Λ. Οʹτι ὁ φόβος ἀφαιρεῖ μȣ τὸν ὕπνον. Θ. Τί δέδιας; Λ. Τὸν ζόφον, ἀλλὰ καὶ τὰ μορμολύκεια καὶ φάσματα. Θ. Αʹπόθȣ τȣ̃τον τὸν μάταιον φόβον· ȣ̓͗τε γὰρ μορμολύκεια ὑπάρχει, ȣ̓͗τε φάσματα. Λ. Αλλ᾽ ἀκήκοα πολλάκις διεξιόντων περὶ τȣ́των. Θ. Γραῶν ἴσων ϗ ἠλιθίων ἀνθρώπων. Λ. Πειράσομαι, εἴπως δυναίμην ὕπνȣ τυγχάνειν. Θ. Αʹναπαύȣ ἡσύχως. Λ. Καὶ σοίγε ἥσυχον νύκτα ἐπεύχομαι.

ΕʹΛΛΗ.

ἙΛΛΗΝΙΚΩ͂Ν ΔΙΑΛΟ'ΓΩΝ
ἙΚΑΤΟΝΤΑ'Σ Γ'.

ΔΕΚΑ'Σ Α'.

Περὶ τῆς Παιδείας καὶ τῶν μερῶν αὐτῆς.

ΔΙΑ'ΛΟΓΟΣ Α'.

Μυσώνιος. Σοφιανός.

Μ. Τίς πρῶτος λέγεται εὑρεῖν τὰ Γράμματα; Σ. Θεῦθ ὁ Αἰγύπτιος. Μ. Μῶν λυσιτελής ἐστιν ἡ τῶν Γραμμάτων εὕρεσις; Σ. Σφόδρα γε· εἰ μὴ γὰρ Γράμματα εἴχομεν, οὐδὲν ἂν ᾔδειμεν, μᾶλλον δὲ τυφλοῖς ἂν ὅμοιοι ἦμεν· εἴγε Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων· ὥσπερ ἐκ τοὐναντίου Διπλοῦν ὁρῶσιν οἱ μαθόντες γράμματα. Μ. Πόσα ἐστὶ τὰ Γράμματα παρὰ τοῖς Ἕλλησι; Σ. Τέτταρα πρὸς τοῖς εἴκοσι. Μ. Ἆρ' οὖν τοσαῦτα ἦν κατ' ἀρχὰς παρ' ἐκείνοις; Σ. Οὐ μὲν οὖν, ἀλλ' ἑκκαίδεκα μόνα, ἅπερ Κάδμος ἐκ τῆς Φοινίκων ἐς τὴν Ἑλλάδα μετεκόμισε.

Μ. Τίς

Μ. Τίς δὲ τὰ λοιπὰ τῶν Γραμμάτων ἐξεῦρε; Σ. Παλαμήδης μὲν πρότερον εφεῦρε τέτταρα· ξ. ϑ. φ. χ. Σιμωνίδης δ' αὖ ὕςερον ἄλλα τοσαῦτα προσέθηκε· η. ω. ζ. ψ. Μ. Ηʹ καὶ ἱκανά ἐςι ταῦτα πρὸς ἀπαρτισμὸν ϗ τελειότητα τῆς Εʹλλάδος φωνῆς; Σ. Παντάπασίγε. Μ. Πῶς ἐχρῶντο οἱ Εʹλληνες τοῖς Γράμμασιν; Σ. Οὐ μόνον γράφοντες ϗ ἀριθμȣ̃ντες τοῖς Γράμμασιν ἐχρῶντο, ἀλλὰ δὴ ϗ καταδικάζοντες ϗ ἀπολύοντες. διὸ τὸ μὲν Α, λευκὸν, τὸ δὲ Κ, μέλαν ὑπῆρχε παρ' ἐκείνοις. Μ. Οʹτι τί δή, Σ. Οʹτι τὸ μὲν τῆς καταδίκης, τὸ δὲ τῆς ἀπολύσεως ἦν σημεῖον. Μ. Τίς πρῶτος ἐξεῦρε τὰς χαρακτῆρας τῶν Γραμμάτων ϗ τὴν Τυπογραφίαν; Σ. Ἰωάννης Γȣτεμβέργιος ὁ Γερμανὸς κατὰ τὸ 1440 ἔτος.

ΔΙΑʹΛΟΓ. Β!

Μ. Τίνι ὀργάνῳ ἐχρῶντο οἱ Παλαιοὶ γράφοντες; Σ. Τῷ γραφείῳ. Μ. Οʹποῖόν τι ἦν τὸ εἶδος; Σ. Θάτερον μὲν τῶν μερῶν ὀξὺ εἰς τὸ ἐγχαράττειν τὰ Γράμματα ἐν κηρώματι, εἴτ' ȣ̃ν κηρωτῷ πίνακι τῇ ἐκ σιδήρȣ ἀκωκῇ, θάτερον δὲ πλατὺ πρὸς τὸ ἀπαλείφειν ταῦτα. Μ. Νῦν δὲ τίνι ὀργάνῳ ἐγχαράττομεν τὰ Γράμματα; Σ. Τῷ καλάμῳ, μᾶλλον δὲ τῷ πτερῷ. Μ. Πῶς παρασκευάζεται τὸ πτερόν; Σ. Τέμνεται ἡ ἀκὶς τῷ μαχαιριδίῳ, εἶτα ὀξὺ ποιεῖται ϗ προσαρμόζεται τῇ χειρί. Μ. Εʹκ τίνος κατεσκευάζετο τὸ πάλαι ὁ χάρτης; Σ. Εʹξ αἰγυπτίας παπύρȣ, εἴτ' ȣ̃ν καλάμȣ. Μ. Ἔνθα δὲ ȣ̓κ ἦν πάπυρος, ἐν τίνι ἔγραφον; Σ. Εʹνέγραφον τοῖς φύλλοις τῆς φοίνικος ϗ λεύκης, ἢ τῷ φλοιῷ τῆς φιλύρας, πτελέας τε ϗ μελίας.

Μ.

Μ. Ἐκ τίνος δὲ νῦν κατασκευάζεται; Σ. Ἐκ παλαιᾶ λίνε, ὅπερ ἐς σμικρότατα συντρίβεται. Μ. Τῷ τρόπῳ γίγνεται λειότερος, καὶ πρὸς τὸ γράφειν ἁρμοδιώτερος; Σ. Ἀπολεαινόμενος τῷ τῆ κάπρε ὀδόντι. Μ. Ἐκ τίνος δὲ κατασκευάζεται τὸ γραφικὸν μέλαν; Σ. Ἐκ λιγνύος, εἴτ᾽ ἂν ἀσβόλης, ἢ ἐκ κηκίδος, κόμμεώς τε ϗ χαλκάνθε, εἶθ᾽ ἕτως ἐγχεῖται εἰς τὸ μελανοδοχεῖον, εἰς ὃ ἐμβάπτομεν τὲς καλάμες, εἰ δὲ βέλει, τὰ πτερά.

ΔΙΆΛΟΓ. Γ!

Μ. Τί ποτ᾽ ἐςὶ τὸ Διδασκαλεῖον; Σ. Τόπος ὑπὸ τῆς πόλεως ὡρισμένος, εἰς ὃν οἱ παῖδες φοιτῶντες διάγεσι μανθάνοντες τὰ Γράμματα, εἴτ᾽ ἂν τὰ Ἐγκύκλια καλέμενα παιδεύματα. Μ. Τίνα δεῖ μανθάνειν τὲς παῖδας ἐν ταῖς τῶν λόγων διατριβαῖς; Σ. Οἷς ϗ ἄνδρες γενόμενοι χρήσονται. Μ. Ποῖα ταῦτα λέγεις; Σ. Δικαιοσύνην, σωφροσύνην, ὑπακοὴν, ἐγκράτειαν καὶ τὰς λοιπὰς τῶν ἀρετῶν. Μ. Πῶς δεῖ ἄγειν τὲς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων; Σ. Λόγοις καὶ παραινέσεσιν, ἒ πληγαῖς ϗ αἰκισμοῖς. Μ. Οὐ χρὴ κολάζειν τὲς ῥαθυμἕντας ϗ ἀτακτἕντας τῶν παίδων ἐν τοῖς φροντιςηρίοις; Σ. Πάνυ μὲν ἒν. Μ. Πῶς δεῖ κολάζειν τὲς τοιἕτες; Σ. Πρῶτον μὲν ἐπιπλήττειν αὐτοῖς πικρῶς, καὶ δάκνειν λόγοις θυμοδακέσιν, εἰ δὲ τἕτων ὀλιγωροῖεν, ϗ τῷ διδασκάλῳ ἀπειθοῖεν, τῇ ῥάβδῳ τὸν νῶτον μαςίζειν, ἢ τῇ σκυτάλῃ ξαίνειν. Μ. Εἰ δὲ ἔφηβοι εἶεν; Σ. Εἰς τὸ δεσμωτήριον αὐτὲς ἐμβάλλειν, ἢ ζημίας ἐπιτιθέναι, καὶ εἰ μὴ μετατίθοιντο,

τα,

το, ἀποδιοπομπεῖσθαι ἐκ τȣ̃ φροντιςηρίȣ ὡς φθορέας ϗ λυμεῶνας των συσχολαςῶν. Μ. Τί παραδέδοται περὶ Εʹκτορος; Σ. Παρασχεῖν αὐτὸν τὰς χεῖρας τῷ καθηγητῇ. Μ. Τί δὲ περὶ Γρατιανȣ̃ τȣ̃ δευτέρȣ; Σ. Δεδακρυκέναι, εἴτις τῶν συσχολαςῶν κολάζοιτο. Μ. Τίς τὸν ἑαυτȣ̃ καθηγεμόνα διὰ πάσης ἔσχε τιμῆς; Σ. Αʹντωνῖνος ὁ φιλόσοφος· τȣ̃ γὰρ Μετιανȣ̃ τὴν εἰκόνα ἐν τῷ δωματίῳ αὐτȣ̃ ἔσχε, ϗ τὸν τάφον χρυσῷ ςεφάνῳ ἐκόσμησε. Μ. Πότερον ȣ̓̃ν δοτέον τοῖς παισὶν ἀνάπαυσιν τῶν πόνων; Σ. Πάνυ μὲν ȣ̓̃ν· εἴγε ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐςι.

ΔΙΑʹΛΟΓ. Δ.

Μ. Πόθεν δεῖ ποιεῖσθαι τȣ̀ς παῖδας τὴν ἀρχὴν τῶν μαθημάτων; Σ. Εʹκ τῆς Γραμματικῆς· αὕτη γὰρ διδάσκει αὐτȣ̀ς ὀρθῶς λέγειν τε ϗ γράφειν. Μ. Πόσα τὰ μέρη αὐτῆς; Σ. Τέτταρα· Οʹρθογραφία, Προσῳδία, Εʹτυμολογία ϗ Σύνταξις. Μ. Τίς τῶν παρ' ἡμῖν φερομένων Γραμματικῶν κρείττων ἐςὶ ϗ μᾶλλον ἁρμόττȣσα τοῖς παισίν; Σ. Ηʹ τȣ̃ Κατηφόρȣ· σαφεςέρα γὰρ αὕτη καὶ πληρεςέρα τῶν λοιπῶν καθέςηκεν. Μ. Αʹ̃ρ' ȣ̓̃ν ȣ̔́τω δυσχερής ἐςιν ἡ Εʹλλὰς φωνὴ, ὡς οἱ πλεῖȣς τῶν ἡμετέρων οἴονται; Σ. Οὐ μὲν ȣ̓̃ν. Μ. Τί ȣ̓̃ν τοσȣ̃τον κατατρίϐȣσι χρόνον ἐν τοῖς παρ' ἡμῖν φροντιςηρίοις οἱ παῖδες ταύτην μανθάνοντες; Σ. Οʹ́τι οἱ πολλοὶ τῶν Καθηγητῶν ȣ̓ καλῶς ταύτην ἐκδιδάσκȣσι. Μ. Τῷ τρόπῳ; σαφήνισον. Σ. Οὐχ ἑρμηνεύȣσι δηλονότι τοῖς παρ' αὐτȣ̃ς φοιτῶσι τὰ πρὸ ὁδȣ̃ γιγνόμενα, ȣ̓δ' ἀναπτύσσȣσι

σα-

σαφῶς ϗ ᾗ δέον ἕκαςα, ὥςε ξυνιέναι τῶν ἀναγινωσκομένων, ἀλλὰ κελεύουσιν αὐτοὺς τὰ προκείμενα μόνον ἀναγινώσκειν, ϗ ψιττακῶν δίκην ἀποςοματίζειν μηδὲν ὅλως γινώσκοντας μηδὲ συνιέντας, ὧν ἀναγινώσκουσι, ϗ τῇ τῶν λέξεων πληθύϊ τὸν νοῦν αὐτῶν παραφορτίζοντες ἐν ἀγνοίας μυχοῖς ὅλον ὑποϐρύχιον καταδύουσι. Μ. Πῶς ἂν οὖν ῥᾷον ϗ ἀπονώτερον οἱ παρ' ἡμῖν παῖδες τοῦ Ἕλληνος λόγου ἐγκρατεῖς γίγνοιντο; Σ. Εἴπερ οἱ διδάσκοντες οὐ μόνον τοὺς γραμματικοὺς κανόνας τοῖς μαθηταῖς καλῶς διερμηνεύοιεν, ϗ ἕκαςα σαφῶς τε ϗ εὐκρινῶς ἀναπτύσσοιεν, ἀλλὰ δὴ καὶ θαμὰ αὐτοὺς ἐξασκοῖεν πρὸς τοὺς λόγους ἐξηγούμενοι τοὺς ἀρίςους Συγγραφέας, ϗ προτρέποντες μιμεῖσθαι ἐκείνους· ἅμα δὲ ϗ ἐθίζοντες αὐτοὺς τῇ Ἑλλήνων φωνῇ ἐν τῇ μετ' ἀλλήλων διαλέξει χρῆσθαι. Μ. Οἴει ἂν οὕτω ῥαδίως τοὺς παῖδας τὴν Ἑλλάδα φωνὴν ἐκμαθεῖν; Σ. Σφόδρα γε· τοιαύτῃ γὰρ χρώμενοι μεθόδῳ οἱ τὴν Εὐρώπην οἰκοῦντες εὐχερῶς μανθάνουσι τὴν Ῥωμαίων φωνὴν ὀρθῶς λέγοντες ϗ γράφοντες. Μ. Τίνες ἐγένοντο παρ' Ἕλλησιν ἄριςοι Γραμματικοί; Σ. Ἀριςοφάνης, Ἀρίςαρχος, Ζηνόδοτος, Ἐρατοσθένης, Ἀπολλώνιος ϗ ἄλλοι συχνοί. Μ. Τί ἔργον εἶχον οὗτοι; Σ. Ἀνέκρινον τὰ τῶν Ἀρχαίων συγγράμματα, ϗ τὰ γνήσια τῶν ὑποϐολιμαίων διέςελλον, διὸ ϗ Κριτικοὶ ἤκουσαν. Μ. Τίνες εἰσὶν οἱ ἐνδοξότατοι τῶν Ἑλλήνων συγγραφέων; Σ. Αἴσωπος, Ἡρόδοτος, Θουκυδίδης, Ξενοφῶν, Πλάτων, Ἀριςοτέλης, Θεόφραςος, Λυσίας, Ἰσοκράτης, Ἰσαῖος, Δημοσθένης, Αἰσχίνης, Ἀριςείδης, Λουκιανὸς, Πλούταρχος. Μ. Ποίῳ χαρακτῆρι τοῦ λόγου ἐ-

χρήσαι

χρήσαντο ἔτοι οἱ Συγγραφεῖς; Σ. Διαφόρῳ μὲν κατὰ τὴν διαφορὰν τῶν ὑποθέσεων, περὶ ὧν γεγράφασι, καθαρῷ μέντοι ἅπαντες ϗ σαφεῖ, ϗ ἀκριϐῶς ἑλληνικῷ. Μ. Τίνας πρὸ τῶν ἄλλων ἑρμηνευτέον τοῖς παισὶν ἐν τοῖς φροντιστηρίοις μετὰ τὴν τῶν ὀκτὼ μερῶν τᾶ λόγα γνῶσιν; Σ. Πρῶτον μὲν τὰς Αἰσωπείας μύθας, εἶτα τὰς νεκρικὰς διαλόγας τᾶ Λακιανᾶ, εἶτα τὰς προτρεπτικὰς λόγας τᾶ Ἰσοκράτας, ἔπειτα τὴν Κύρα παιδείαν τᾶ Ξεναφῶντος μετὰ τῶν ἀπομνημονευμάτων τᾶ Σωκράτας, ϗ συνελόντι φάναι, ἀεὶ τὰς εὐχερεστέρας, ϗ σαφεστέρας ϗ μάλιστα ἁρμόττοντας ταῖς ἁπαλαῖς τῶν νέων ψυχαῖς. Μ. Πῶς ἑρμηνευτέον τοῖς διδασκάλοις τάτας τὰς Συγγραφέας; Σ. Γραμματικῶς τε ἅμα ϗ φιλοσοφικῶς, ἀλλ' ἐ μηχανικῶς κατὰ τὸ νῦν παρ' ἡμῖν ἐπικρατᾶν ἔθος, ἐπιδεικνῦντας τοῖς παρ' αὐτὰς φοιτῶσι τήν τε ὕλην ϗ τὸ εἶδος, ϗ πᾶσαν τὴν τᾶ λόγα σκευήν. Μ. Τίνι μεθόδῳ χρηστέον αὐτοῖς ἐξηγαμένοις τὰ μαθήματα; Σ. Ἑκατέρᾳ τῇτε Ἀναλυτικῇ ϗ Συνθετικῇ ἐξασκᾶσι τὰς μαθητὰς συνεχῶς πρός τε Τεχνολογίαν ϗ Θεματογραφίαν, καὶ τἄλλα τῶν εἰς γραμματικὴν θεωρίαν ἀνηκόντων. Μ. Πῶς δεῖ μεθερμηνεύειν τὰς Ἑλλήνων λόγας εἰς την καθωμιλημένην φωνήν; Σ. Οὐ κατὰ λέξιν, ὡς λέξιν λέξει ἀποδιδόναι, ἣ κοινῇ εἴθισται τοῖς πλείσταις τῶν ἡμετέρων, ἀλλὰ κατ' ἔννοιαν, ὡς νᾶν καὶ συνάπτειν ϗ συναρμόττειν. Μ. Τί δὲ περὶ τῆς βαρϐαρικῶς λεγομένης ψυχολογίας ὑποληπτέον; Σ. Ματαιοπονίαν ἄντικρυς ταύτην εἶναι, ἢ τόγε ἀληθέστερον εἰπεῖν, ψυχρολογίαν.

ΔΙΑ'-

ΔΙΑ'ΛΟΓ. Ε'.

Μ. Τίνος δεῖ ἀκούειν τοὺς παῖδας μετὰ τὴν γραμματικὴν θεωρίαν; Σ. Τῆς Ποιητικῆς, ἥτις ἐστὶ τέχνη τοῦ ποιεῖν στίχους ἐμμέτρους μετὰ ῥυθμοῦ καὶ ἁρμονίας. Μ. Τίς φέρεται τὰ πρῶτα τῶν παρ' Ἕλλησι Ποιητῶν; Σ. Ὅμηρος ὁ δαιμόνιος, ὃς οὕτω πένης γενέσθαι λέγεται, ὡς λιμῷ διαφθαρῆναι. Μ. Οὐκ οὖν τυφλὸς ἐτέχθη; Σ. Πηρὸς δήπου τὰς ὄψεις ἐστὶν ὁ οὕτω γνώμης περὶ αὐτοῦ ἔχων, ἴσως δὲ ὑπὸ γήρως ἢ νόσου ἐστέρηται τῶν ὀφθαλμῶν. Μ. Διὰ πόσης τιμῆς ἔσχεν αὐτὸν Ἀλέξανδρος ὁ Φιλίππου; Σ. Οὕτως ἐτίμα, ὡς τὴν Ἰλιάδα αὐτοῦ ἐν χρυσῷ κιβωτίῳ, ὃ πολυτελέστατον ἦν τῶν Δαρείου χρημάτων, καταθέσθαι, καὶ νύκτωρ ἑαυτῷ προσκεφάλαιον ὑποθεῖναι. Μ. Πόσαι πόλεις ἐμάχοντο περὶ αὐτοῦ; Σ. Ἑπτά· κἂν Σμύρνῃ νεὼν αὐτῷ ἀνέθηκαν. Μ. Τίς ἐγένετο σύγχρονος αὐτῷ; Σ. Ἡσίοδος ὁ ἐν Κύμῃ μὲν τῆς Αἰολίδος τεχθεὶς, ἐν Ἄσκρῃ δὲ τῆς Βοιωτίας ἀνατραφεὶς, καὶ δι' αὐτὸ τοῦτο Ἀσκραῖος καὶ Βοιώτιος ποιητὴς κληθεὶς. Μ. Τί παραδεδώκασι περὶ τούτου; Σ. Ἐμυθεύσαντο τὰς ἐννέα Μούσας κλάδους δρεψαμένας ἑλικωνίτιδας καθεύδοντα αὐτὸν ἐλθεῖν καὶ ἐπισιτίσαι, καὶ οὕτω σοφίας ποιητικῆς ἐμφορηθῆναι. Μ. Τί δηλοῖ οὗτος ὁ μῦθος; Σ. Ὅτι Μουσῶν δῶρον ἡ Ποίησις, ἢ ὅτι ἀμήχανον ἄνευ θείας ἐπιπνοίας Ποιητήν τινα γενέσθαι. Μ. Τίς τῶν Ποιητῶν θαυμάζεται ἐπὶ Τραγωδίᾳ; Σ. Σοφοκλῆς, τῷ εἶναι ἧττον μὲν ὀγκώδης τοῦ Αἰσχύλου, ὑψηλότερος δὲ τοῦ Εὐριπίδου. Μ. Τίς δὲ ἐπὶ Κωμωδίᾳ; Σ. Ἀριστοφάνης, τῷ διενεγκεῖν

ἀπαν-

ἀπάντων ἀγχινοίᾳ τε καὶ νοὸς ὀξύτητι· ὅθεν καὶ τὸ Κωμικὸς ἔλαχε καλεῖσθαι. Μ. Τίνι διαφέρει ἡ Τραγῳδία τῆς Κωμῳδίας; Σ. Τῷ τέλει τῶν γιγνομένων· ἡ μὲν γὰρ εἰς γέλωτα, ἡ δὲ εἰς δάκρυα τελευτᾷ. Μ. Τίς ᾖσεν ὕμνους Θεῶν, καὶ ᾠδὰς Ἡρώων; Σ. Πίνδαρος ὁ ἀμίμητος. Μ. Τίνες τῶν παρ᾽ Ἕλλησι Ποιητῶν ἐκλήθησαν Πλειάδες; Σ. Θεόκριτος, Καλλίμαχος, Λυκόφρων, Νίκανδρος. Ἀπολλώνιος ὁ Ῥόδιος, Ἄρατος καὶ Ὅμηρος ὁ νεώτερος. Μ. Τίς τῶν παρὰ Ῥωμαίοις Ποιητῶν ἐφάμιλλός ἐστιν Ὁμήρῳ; Σ. Βιργίλιος ὁ Μάρων, ὃν ἐξελλήνισεν ἡμῖν δι᾽ ἐπῶν Εὐγένιος ὁ πάνυ ἐν τούτοις τοῖς δυστυχεστάτοις καιροῖς, ὅτε μεμύκασι τὰ χείλη παρ᾽ ἡμῖν αἱ Μοῦσαι. Μ. Πόσου ἄξιον ἡγήσατο αὐτὸν ὁ Σεβαστός; Σ. Τοσούτου, ὡς παριόντι αὐτῷ εἰς τὸ θέατρον προϋπεξίστασθαι τῆς ἕδρας.

ΔΙΑΛΟΓ. ΣΤ!

Μ. Τί ἐστι Ῥητορική; Σ. Τέχνη τοῦ εὖ λέγειν. ἢ ὡς Ἀριστοτέλει δοκεῖ, δύναμις περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν. Μ. Τίς πρῶτος ταύτην ἐφεῦρε; Σ. Κόραξ ὁ Συρακούσιος, περὶ οὗ καὶ τὸ κακοῦ κόρακος κακὸν ᾠὸν εἰρημένον. Μ. Τίνες δὲ ταύτην ηὔξησαν, καὶ ἐπὶ τὸ τελεώτερον προήγαγον; Σ Πρόδικος ὁ Κεῖος, Γοργίας ὁ Λεοντῖνος, καὶ Τισίας ὁ Συρακούσιος, διαφερόντως δὲ περὶ ταύτην ἐσπούδασεν Ἰσοκράτης ὁ Ἀθηναῖος, ὃς σχήμασι ταύτην ποικίλοις ἐκόσμησε πάρισά τε καὶ ἰσόκωλα καὶ ὁμοιτέλευτα καὶ ἀντίθετα εἴπερ τις ἄλλος τῶν πρὸ αὐτοῦ ῥητόρων ἐν λόγοις ἐπιτηδευ-

ἐπιτηδεύσας καὶ ἐς κόρον χρησάμενος. Μ. Τί ἐστι τοῦ Ῥήτορος ἔργον κατὰ τὸν Ἰσοκράτην; Σ. Τὸ τὰ μικρὰ μεγάλως, καὶ τὰ μεγάλα μικρῶς εἰπεῖν· ἢ ὃ ταυτόν ἐστι, τὰ μεγάλα μικρὰ ποιεῖν, ὁπότε βούλεται, καὶ τοῖς μικροῖς περιτιθέναι μέγεθος. Μ. Τίς ἐγένετο κράτιστος τῶν παρ' Ἕλλησι ῥητόρων; Σ. Δημοσθένης, ὃς διὰ τὴν περιοῦσαν οἱ τῶν λόγων δύναμιν Ῥήτωρ κατ' ἐξοχὴν ἤκουσε. Μ. Πῶς κτήσατο τοσαύτην τῶν λόγων δεινότητα; Σ. Πόνῳ ἀσκήσει καὶ μελέτῃ χρησάμενος· οὕτω γὰρ φιλόπονος ἦν, ὥστε φασὶν ἑαυτὸν οἴκοι καθείρξαντα ξυρῆσαι τῆς ἑαυτοῦ κεφαλῆς μέρος, ἵνα μήτε προΐοι, μήτε δέχοιτό τινα. Μ. Τί ἀπεκρίνατο τῷ πυθομένῳ, πῶς περιεγένου τῆς Ῥητορικῆς; Σ. Πλεῖον ἐλαίου, ἢ οἴνου διαπανήσας. Μ. Τί δή; Σ. Ὅτι νύκτωρ πρὸς λύχνον ἦν συνταττόμενος τοὺς λόγους. Μ. Τοῦ χάριν ὀκτάκις ἀντέγραψε τὸν Θουκυδίδην; Σ. Ἵνα τὴν ἰδέαν τοῦ λόγου παρ' αὐτοῦ λάβοι, ἥτις ἐστὶν ἄριστος διδάσκαλος. Μ. Τίς ἀντεπολιτεύσατο αὐτῷ; Σ. Αἰσχίνης ὁ Ἀδραμύττου, ὃς ταῖς ἁπάντων ἁλοὺς ψήφοις εἰς Ῥόδον ἀπῆρε, κἀκεῖ τέχνην ῥητορικῶν λόγων ἐδίδαξε. Μ. Τίνες παρὰ τούτους ἐγένοντο ἐπιφανέστατοι Ῥήτορες; Σ. Ἀντιφῶν, Ἀνδοκίδης, Λυσίας, Ἰσαῖος, Λυκοῦργος, Ὑπερίδης, Δείναρχος, οἳ συνάμα τοῖς τρισὶ νῦν εἰρημένοις οἱ δέκα Ῥήτορες κατ' ἐξοχὴν καλοῦνται. Μ. Τί ἱστοροῦσι περὶ Ἑρμογένους; Σ. Γενέσθαι αὐτὸν ῥήτορα θαυμάσιον, ὃς εἰς παῖδας μὲν τελῶν ἔγραψε τέχνην ῥητορικὴν, ἣν μετὰ χεῖρας φέρουσιν ἅπαντες, εἰς ἄνδρας δὲ ἥκων ἀφῃρέθη τὴν ἕξιν ὑπὸ νόσου. Μ. Τίς παρὰ Ῥωμαίοις διήνεγκε τῶν ἄλλων τῇ τῶν

λόγων

λόγων δεινότητι; Σ. Κικέρων, ὃς διὰ τοῦτο κορυφαῖος καὶ πατὴρ τῆς ῥωμαϊκῆς εὐγλωττίας καλεῖται, καὶ μὴν καὶ γνώμων καὶ κανὼν καὶ στάθμη τοῦ πεζοῦ λόγου. Μ. Τίνες τῶν λόγων αὐτοῦ εἰσὶ κάλλιστοι; Σ. Οἱ μήκιστοι. Μ. Τίς συνετάξατο παρὰ Ῥωμαίοις τέχνην ῥητορικήν; Σ. Κυϊντιλλιανός, ὃς πολλὰ τῶν Ἀρχαίων συγγράμματα ὀρθῶς ἀνακρίνει. Μ. Πόσα τὰ μέρη τοῦ κατὰ ῥήτορας λόγου; Σ. Ἕξ· Προοίμιον, Διήγησις, Πρότασις, Κατασκευή, Ἀνασκευὴ καὶ Ἐπίλογος.

ΔΙΑΛΟΓ. Ζ!

Μ. Τίνες τῶν ἐπιστημῶν εἰσι βεβαιόταται καὶ ἀκριβέσταται; Σ. Αἱ Μαθηματικαί. Μ. Ποῖαι εἰσὶν αὗται; Σ. Ἀριθμητική, Γεωμετρία, Ἀνάλυσις, καὶ αἱ ἐκ τούτων μικταί. Μ. Τίνες εὗρον τὰς Μαθηματικὰς ἐπιστήμας; Σ. Οἱ Αἰγύπτιοι. Μ. Τίς πρῶτος ἐκόμισε ταύτας εἰς Ἑλλάδα; Σ. Θαλῆς ὁ Μιλήσιος, ὃς θεωρῶν ποτε εἰς τοὺς ἀστέρας ἐνέπεσεν εἰς τὸ βάραθρον. Μ. Τί ἔφη αὐτῷ ἡ θεράπαινα; Σ. Δίκαια παθεῖν, ὃς τὰ ἐν ποσὶν ἀγνοῶν τὰ ἐν οὐρανοῖς ἐσκόπει. Μ. Τίνες ἐγένοντο ἄριστοι Γεωμέτραι, καὶ Ἀριθμητικοὶ παρ᾽ Ἕλλησιν; Σ. Εὐκλείδης, Ἀρχιμήδης, Ἀπολλώνιος, Νικόμαχος καὶ Διόφαντος. Μ. Τίσιν ὀργάνοις χρῶνται μάλιστα οἱ Γεωμέτραι πρὸς τὰ διαγράμματα; Σ. Τῷ διαβήτῃ καὶ τῷ κανόνι. Μ. Τί ἔφη Ἀρχιμήδης τῷ παίσαντι αὐτὸν στρατιώτῃ; Σ. Μὴ τάραττε τοὺς κύκλους. Μ. Τίς ἔγραψε περὶ Ἀστρονομίας; Σ. Πτολεμαῖος ὁ Κλαύδιος. Μ. Περὶ τί ἐνασχολεῖται αὕτη; Σ. Περὶ

τὴν

τὴν κίνησιν τῶν ἀςέρων. Μ. Ποσαπλοῖ εἰσιν οἱ Ἀςέρες; Σ. Διττοὶ, πλάνητές τε ϗ ἀπλανεῖς. Μ. Πῶς διαφέρϐσιν ἀλλήλων; Σ. Οἱ μὲν ςίλϐϐσι μείζονι φωτὶ, ϐ κινϐνται δὲ, οἱ δὲ κινϐνται μὲν, ϐ ςίλϐϐσι δὲ, ἀλλὰ δανείζονται τὸ φῶς ὑπὸ τϐ ἡλίϐ. Μ. Τί δὲ εἰσιν οἱ Κομῆται; Σ. Ἀςέρες διὰ τινος ὡρισμένϐ χρόνϐ περιοδικῶς ἐν ϐρανῷ φαινόμενοι, ϗ πλανητῶν δίκην φερόμενοι. Μ. Πότε γίγνεται ἔκλειψις Σελήνης; Σ. Ἡνίκα παρεμπίπτει ἡ γῆ μεταξὺ τϐ ἡλίϐ· ἐκ τϐναντίϐ δὲ ἔκλειψις Ἡλίϐ συμβαίνει, ἡνίκα παρεμπίπτει ἡ Σελήνη. Μ, Τί ἐδίδασκεν ὁ Ἀναξαγόρας; Σ. Οἰκεῖσθαι τὴν Σελήνην ϗ τὰς λοιπὰς Πλανήτας, ϗ ἔχειν λόφϐς ϗ φάραγγας, λίμνας τε ϗ θαλάσσας. Μ. Τίς πρῶτος διέταξε τὸ Ἡμερολόγιον; Σ. Νϐμᾶς ὁ Πομπήλιος, ὃς διεῖλε τὸν ἐνιαυτὸν εἰς δυωκαίδεκα μῆνας. Μ. Τίς δὲ ἐπιδιωρθώσατο αὐτό; Σ. Γάϊος ὁ Καῖσαρ διὰ Σωσιγένϐς τϐ Ἀλεξανδρέως, ὥσπερ Γρηγόριος ὁ ΙΓ! Πάπας τὸ τϐ Γαΐϐ διὰ Κλαυΐϐ τϐ Γερμανϐ, ϗ τϐτ' αὖ πάλιν Χαμβέργερος, Στϐρμιός τε ϗ ἄλλοι Ἀςρονόμοι. Μ. Τίς πρῶτος ἔγραψε σφαῖραν γῆς παρ' Ἕλλησιν; Σ. Ἀναξίμανδρος ὁ Μιλήσιος, ὃς ϗ γνώμονα εἰσήγαγε, ϗ ὡρολογεῖα εὗρε, ϗ τὴν γῆν ἐν μεσαιτάτῳ τϐ παντὸς κεῖσθαι ἐδίδαξεν. Μ. Ὁποία τις ἐπιςήμη ἐςὶν ἡ Γεωγραφία; Σ. Ἡδίςη, ϗ μάλιςα τοῖς νέοις πρέπϐσα. Μ. Τίς τῶν Ἀρχαίων συνέγραψε Γεωγραφίαν; Σ. Στράβων ὁ Ἀμασεὺς, ὃς ἀκριβέςατον ϗ παντοδαπῆς γνώσεως ἀνάπλεων ἐξειργάσατο ἡμῖν ἔργον. Μ. Τί ἔγραψε Παυσανίας; Σ. Τὴν γεωγραφίαν τῆς Ἑλλάδος. Μ. Τίς ἔγραψε περὶ θέσεως τῆς

γῆς; Σ. Διονύσιος ὁ Περιηγητής. Μ. Ὁποῖον ἐςι τὸ σχῆμα τῆς γῆς; Σ. Σφαιροειδές· ἐντελέςατον γὰρ ἡ σφαῖρα, ϰ κινεῖται περὶ τὰς δύω πόλυς πρὸς Ἄρκτον. Μ. Οὐκ ἂν ἐςιν ὑψηλὰ ὄρη, καὶ βαθεῖαι φάραγγες; Σ. Ταῦτα ὐδὲν κωλύει μὴ εἶναι τὴν γῆν σφαιροειδῆ. Μ. Ἆρ' ὖν ὑπάρχυσιν Ἀντίποδες, οἳ ὑπεναντίως ἡμῖν βαίνυσι; Σ. Πάλαι μὲν ἠμφισβήτητο, νῦν δ' ἐκτὸς πάσης ἀμφισβητήσεως καθέςηκε. Μ. Πόσα τὰ μέρη τῦ κόσμυ; Σ. Τέτταρα· Ἄρκτος, Ἀνατολή, Μεσημβρία, Δύσις. Μ. Εἰς πόσας Ζώνας διαιρεῖται ἡ Γῆ; Σ. Εἰς πέντε· εἰς μίαν Διακεκαυμένην διὰ τὸ ἐξαίσιον καῦμα, καὶ εἰς δύω Εὐκράτυς διὰ τὴν εὐκρασίαν τῦ ἀέρος, ϰ εἰς τοσαύτας Κατεψυγμένας διὰ τὸ ὑπερβάλλον ψύχος ὕτω καλυμένας. Μ. Τίνες παρὰ Γερμανοῖς ἐγένοντο διάσημοι Γεωγράφοι; Σ. Φίλιππος ὁ Κλυβέριος, καὶ Ἰωάννης ὁ Βυσίγγιος.

ΔΙΑ'ΛΟΓ. Η!

Μ. Τίς τῶν ἐπιςημῶν ἐςι θειοτάτη, ϰ τοῖς ἀνθρώποις ἀναγκαιοτάτη; Σ. Ἡ Φιλοσοφία γνῶσις ὕσα θείων τε ϰ ἀνθρωπίνων πραγμάτων. Μ. Πῶς διαιρεῖται ἡ Φιλοσοφία; Σ. Διχῶς, εἰς τὴν Θεωρητικήν, ἧς τέλος ἀλήθεια, ϰ εἰς τὴν Πρακτικήν, ἧς τέλος πρᾶξις. Μ. Πόσα τὰ μέρη τῆς Θεωρητικῆς; Σ. Τρία· Λογική, Μεταφυσική ϰ Φυσική. Μ. Πόσα δὲ τῆς Πρακτικῆς; Σ. Τοσαῦτα· Ἠθική, Οἰκονομική ϰ Πολιτική. Μ. Τίς πρῶτος ἤρξατο φιλοσοφεῖν τὰ Ἠθικά; Σ. Σωκράτης ὁ Σωφρονίσκυ ϰ Φαιναρέ-

ναρέτης· διὸ καὶ σοφώτατος ἁπάντων πρὸς τῆς Πυθίας ἐμαρτυρήθη. Μ. Τί ἔφη Κικέρων περὶ αὐτοῦ; Σ. Καταγαγεῖν τὴν Φιλοσοφίαν ἐξ οὐρανοῦ, καὶ εἰς τοὺς οἴκους εἰσαγαγεῖν. Μ. Πῶς τοῦτο; Σ Ὅτι χαίρειν εἰπὼν τῇ φυσικῇ θεωρίᾳ καὶ τῇ περὶ τὰ μετέωρα λέσχῃ (φλυαρίᾳ) ἤρξατο διδάσκειν τοὺς ἀνθρώπους τί δίκαιον, τί ἄδικον, τί ἀγαθὸν, τί κακὸν, τί καλὸν, τί αἰσχρὸν, καὶ ὅλως τί τὸ αἱρετὸν καὶ τί τὸ φευκτὸν, ὃ τὸ θειότατον ἅμα καὶ κάλλιστον τοῖς ἀνθρώποις πέφυκε μάθημα. Μ. Τῷ τρόπῳ ἐφιλοσόφει; Σ. Διαλόγοις χρώμενος, ἥτις ἐστὶν ἀρίστη μέθοδος. Μ. Ἆρ᾽ οὖν ἔπειθε τοὺς συνδιαλεγομένους αὐτῷ; Σ. Πᾶσι τοῖς συνοῦσιν αὐτῷ ἐχρῆτο ἐν λόγοις, ὅπως βούλοιτο· παρ᾽ ὃ κύβοις ἔφασαν τοὺς λόγους αὐτοῦ ἐοικέναι· ἀπτῶτας γὰρ εἶναι, ὅπου ἂν πέσωσι. Μ. Τίνες ἐγένοντο οἱ κορυφαιότατοι αὐτοῦ ὁμιληταί; Σ. Πλάτων, Ξενοφῶν καὶ Ἀντισθένης. Μ. Ποῦ ἠνέῳξεν ὁ Πλάτων τὴν σχολήν; Σ. Ἐν Ἀκαδημίᾳ, ὅπερ ἦν Γυμνάσιον ἀλσῶδες οὐ πολὺ ἀπέχον τῶν Ἀθηνῶν ἀπὸ Ἐκαδήμου τινὸς οὕτω καλούμενον, ἀφ᾽ ἧς τὰ τῶν Λόγων Φροντιστήρια Ἀκαδημίαι ἐκλήθησαν. Μ. Πόσου ἄξιον ἡγήσατο αὐτὸν Κικέρων; Σ. Τοσούτου, ὥστε εἰπεῖν αἱρεῖσθαι μᾶλλον τῷ Πλάτωνι συμψεύδεσθαι, ἢ τοῖς ἄλλοις συναληθεύειν. Μ. Τί δὲ ἔφη περὶ τῶν Διαλόγων αὐτοῦ; Σ. Τὸν Δία, εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλέξεσθαι. Μ. Πῶς ὡρίσατο ὁ Πλάτων τὸν ἄνθρωπον; Σ. Ζῶον δίπουν, ἄπτερον. Μ. Τίνα τρόπον ἀνεσκεύασεν αὐτὸν ὁ Διογένης; Σ, Τίλας ἀλεκτρυόνα εἰσήνεγκεν εἰς τὴν σχολὴν, καί φησιν· οὗτός ἐστιν ὁ Πλά-

Πλάτωνος ἄνθρωπος. Μ. Πῶς δ᾽ ὡρίσατο αὐτὸν Ἀριστοτέλης; Σ. Ζῶον λογικόν. Μ. Ἆρ᾽ οὖν βέλτιον προσήκει τῷ ἀνθρώπῳ οὗτος ὁ ὁρισμός; Σ. Παντάπασί γε· λόγον γὰρ μόνον ἄνθρωπος ἔχει τῶν ζώων. Μ. Τίνες ἔφασαν τὰ ζῶα λόγῳ χρῆσθαι; Σ. Πολλοί γε παλαιοί τε καὶ νεώτεροι, τῷ συμφώνως ταῦτα ζῆν τῇ φύσει. Μ. Ποίῳ δὴ τεκμηρίῳ χρώμενος ὁ Πλούταρχος ἠβουλήθη τοῦτ᾽ ἀποδεῖξαι; Σ. Τῷ Γρύλλον τὸν Ὀδυσσέως ἑταῖρον εἰς σῦν μεταβεβλημένον μὴ βουληθῆναι εἰς ἄνθρωπον μεταμορφωθῆναι. Μ. Ἐπὶ τίνι ἤχθετο ὁ Θράσυλλος; Σ. Ἐπὶ τῷ ἀπαλλαγῆναι τῆς μανίας, ὅτι ταύτῃ συνοικῶν ᾤετο πάντα τὰ ἐν Πειραιεῖ καταίροντα πλοῖα ἑαυτοῦ εἶναι, καὶ ἥδετο σφόδρα. Μ. Τί φησιν ὁ Σοφοκλῆς; Σ. Ἐν τῷ μὴ φρονεῖν ἥδιστος βίος.

ΔΙΑ'ΛΟΓ. Θ!

Μ. Τίς ἐπιστήμη τερπνοτάτη, καὶ τῷ ἀνθρωπίνῳ βίῳ λυσιτελεστάτη; Σ. Ἡ Φυσική. Μ. Περὶ τί ἐνασχολεῖται αὕτη; Σ. Περὶ πάντα τὰ Σώματα, τὰς δυνάμεις καὶ ποιότητας αὐτῶν ἀνιχνεύουσα, καὶ τὰ πάθη καὶ τὰς ἐνεργείας ἀναπτύσσουσα. Μ. Πόθεν συνέστηκε τὰ φυσικὰ Σώματα; Σ. Ἐκ τῶν Στοιχείων, ἅπερ Ἄτομα καλεῖσθαι εἴωθεν, ὡς μὴ οἷά τε ὄντα τέμνεσθαι, εἴτ᾽ οὖν διαιρεῖσθαι. Μ. Πῶς διῄρηται τὰ Σώματα; Σ. Διχῶς· εἰς ἁπλᾶ, καὶ σύνθετα. Μ. Πόσα ἁπλᾶ; Σ. Τέτταρα· Αἰθήρ, Πῦρ, Φῶς, καὶ Ἀήρ, εἰ μή τις εἴποι τὸ πῦρ καὶ τὸ φῶς ἀποτετέσματα τοῦ αἰθέρος εἶναι· αὐτὸ γὰρ τὸ στοιχειακὸν πῦρ ἐστι

καὶ

ϗ ὕλη τȣ̃ φωτός. Μ. Τὸ δὲ Ὕδωρ ϗ ἡ Γῆ ȣ̓χ ἁπλᾶ σώματά ἐςιν; Σ. Οὐ μὲν ȣ̓ν· ἡ μὲν γὰρ σύγκριμα πολλῶν σωμάτων ἐςὶ, τὸ δὲ ἐκ δυοῖν ἀέρων πυῤῥώδȣς ϗ ὑγρώδȣς συνέςηκεν, ὡς ἡ Χυμικὴ ἀνάλυσις ἔδειξε. Μ. Τί ἐςιν Αἰθήρ; Σ. Σῶμα ῥοωδέςατον λεπτότατόντε ϗ διαφανέςατον πληρȣ̃ν ἅπαν τὸ κενὸν, ἐν ᾧ τὰ ȣ̓ράνια σώματα ὑφέςηκέ τε ϗ κινεῖται· μᾶλλον μὲν ȣ̓ν αὐτὸ τὸ ςοιχειακὸν πῦρ, ϗ ὕλη τȣ̃ φωτός. Μ. Τί ἐςι Πῦρ; Σ. Σῶμα ῥευςότατον, λεπτομερέςατον, ταχύτατόν τε ϗ διαιρετικώτατον. Μ. Πόθεν γίγνεται ἡ Θερμότης; Σ. Ἐκ τῆς κινήσεως τȣ̃ ἐν τοῖς σώμασι πυρός. Μ. Πῶς καλεῖται τὸ Ὄργανον, ὅπερ τὴν αὔξησιν ἢ μείωσιν τῆς θερμότητας ἐμφαίνει; Σ. Θερμόμετρον. Μ. Τί ἐςι Φῶς; Σ. Σῶμα ῥευςὸν ϗ λεπτότατον, δι' ȣ̃ ὁρῶμεν τὰ Ἀντικείμενα. Μ. Πόθεν γίγνεται τὰ Χρώματα τῶν σωμάτων; Σ. Ἐκ τῆς ἀνακλάσεως τῶν τȣ̃ φωτὸς ἀκτίνων. Μ. Πόσα ἐςὶ τὰ Κύρια χρώματα; Σ. Ἑπτά· ἐρυθρὸν, χρυσοειδὲς, ὠχρὸν, πράσινον, κυάνεον, πορφυρȣ̃ν ϗ ἰῶδες. Μ. Τὸ δὲ λευκὸν ϗ μέλαν ȣ̓κ ἔςι χρώματα; Σ. Οὐ μὲν ȣ̓ν· τὸ μὲν γὰρ ȣ̓δεμίαν ἀνακλᾷ ἀκτῖνα, τὸ δὲ λευκὸν πάσας ὁμȣ̃. Μ. Τὰ δὲ λοιπὰ τῶν χρωμάτων πόθεν γίγνεται; Σ. Ἐκ τῆς τῶν ἑπτὰ ἐκείνων μίξεως ϗ συγκρίσεως. Μ. Πόθεν συνίςαται ἡ ἐν ταῖς νεφέλαις ὁρωμένη Ἶρις; Σ. Ἐκ τῆς θλάσεως ϗ ἀνακλάσεως τῶν πλαγίως πρὸς αὐτὰς προσπιπτȣσῶν τȣ̃ φωτὸς ἀκτίνων, ὥσπερ δὴ ϗ ἡ ἅλως, ὁ παρήλιος, ϗ ἡ παρασελήνη, ναὶ μὴν ϗ τὸ λυκαυγὲς ϗ ἡ ἠώς. Μ. Τί ἐςιν Ἀήρ; Σ. Σῶμα ῥευςὸν,

ςὸν, διαφανὲς, βαρύτε ϗ ἐλαςικόν. Μ. Πῶς καλεῖται ὁ πᾶσαν τὴν γῆν περιέχων Ἀὴρ σὺν πᾶσι τοῖς ἐν αὐτῷ ἀτμοῖς ϗ ἀναθυμιάσεσιν; Σ. Ἀτμοσφαῖρα. Μ. Τί γίγνεται ἐν τῇ Ἀτμοσφαίρᾳ; Σ. Διάφοροι μεταβολαὶ συμβαίνȣσιν, ἅπερ Μετέωρα καλεῖται. Μ. Τίνα ἐςὶ ταῦτα; Σ. Ἄνεμος, Ὁμίχλη, Νέφος, Νεφέλη, Ὑετὸς, Χάλαζα, Χιὼν, Ἀςραπὴ, Βροντὴ, Ἶρις, ϗ ὅσα τȣ́τοις παραπλήσια. Μ. Τί ἐςιν Ἄνεμος; Σ. Ῥύσις ἀέρος, ἢ πληρέςερον, ἀὴρ πολὺς ῥέων ϗ ἀθρόος, ὅςις ϗ πνεῦμα λέγεται. Μ. Πόσοι καθολικοὶ Ἄνεμοι; Σ. Τέτταρες ἐκ τῶν τεττάρων τῆς γῆς μερῶν πνέοντες, Εὖρος, Ζέφυρος, Βορέας, Νότος· τȣ́των ὁ μὲν Εὖρος ἕωθεν πνεῖ ϗ ξηρός ἐςιν· ὁ δὲ Ζέφυρος ἀπὸ Δυσμῶν ϗ χλιαρὸς τυγχάνει, ἄλλως τε ἦρος φανέντος· ὁ δὲ Βορέας ἀπ᾽ Ἄρκτȣ ϗ ψυχρός ἐςιν· ὁ δὲ Νότος ἀπὸ Μεσημβρίας ϗ ἀλεεινὸς ὑπάρχει, ϗ διά τοι τȣ̃το ὑετὸν φέρει. Μ. Οἱ δὲ σφοδροὶ ϗ βίαιοι Ἄνεμοι πῶς καλȣ̃νται; Σ. Ἄελλαι, θύελλαι, λαίλαπες ϗ καταιγίδες. Μ. Πόθεν γίγνεται ὁ Ἄνεμος; Σ. Ἐκ τῆς τȣ̃ ἀέρος πυκνώσεως ϗ μανώσεως. Μ. Πῶς καλεῖται τὸ Ὄργανον, ὅπερ τὰς τȣ̃ ἀέρος μεταβολὰς ἐμφαίνει; Σ. Βαρόμετρον, ἢ ὀρθότερον Ἀεροβαρόμετρον. Μ. Πῶς δὲ ἡ Μηχανὴ, δι᾽ ἧς ἀποδείκνυται ἡ τȣ̃ ἀέρος βαρύτης; Σ. Πνευματικὴ Ἀντλία. Μ. Τί ἐςιν Ἦχος; Σ. Πληγὴ ἀέρος ὑπ᾽ ἀντιτύπων σωμάτων γιγνομένη. Μ. Τί δὲ Ἠχώ; Σ. Ἦχος ὑπὸ ςεῤῥῶν ϗ ἀντιτύπων σωμάτων ἀνακλώμενος, καὶ ἐπὶ τὸ προέμενον αὖθις ἐπανιών. Μ. Πόθεν γίγνεται ἡ Ἀςραπή; Σ. Ἐκ τῆς ἐξάψεως τῶν ἐν τῷ ἀέρι

ἐπι-

ἐπιπολαζουσῶν ἀναθυμιάσεων· ἡ δὲ ἀναπυρωθεῖσα καὶ βιαίως μετὰ βρόμου κατενεχθεῖσα ὕλη Κεραυνὸς, ἢ Σκηπτὸς καλεῖται· ὁ δὲ βρόμος, εἴτ' οὖν πάταγος Βροντὴ λέγεται. Μ. Τί ἐστιν Ὁμίχλη; Σ. Ἀτμώδης ἀναθυμίασις τὸν περικεχυμένον ἡμῖν ἀέρα ἀφανῆ ποιοῦσα. Νέφος δὲ πάχος ἀτμῶδες τὸν ὑπὲρ ἡμᾶς ἀέρα ἀμαυρὸν καθιστῶν. Μ. Πόθεν συνίσταται ὁ Ὑετός; Σ. Ἐκ νεφῶν πεπυκνωμένων, ἡνίκα αἱ ψεκάδες ἠρέμα ἐπὶ τὴν γῆν πίπτουσιν· ὁ δὲ βίαιος καὶ ῥαγδαῖος ὑετὸς Ὄμβρος καλεῖται· οὗτος δὲ σφοδρὸς καὶ ἀθρόος καταφερόμενος Καταῤῥάκτης ὠνόμασται. Μ. Τί ἐστι Πάχνη; Σ. Δρόσος πεπηγυῖα. Μ. Πῶς συνίσταται ἡ Χιών; Σ. Ἡνίκα αἱ ἐκ τῶν νεφῶν καταφερόμεναι σταγόνες πήγνυνται· σφοδρὰ δὲ αὕτη καὶ ἀθρόα καταφερομένη Νιφετὸς καλεῖται. Μ. Τί ἐστι Πάγος; Σ. Ὕδωρ πεπηγός. Μ. Πῶς συνίσταται ὁ Κρύσταλλος; Σ. Ὅταν τὸ ὕδωρ παγῇ, καὶ σκληρυνθῇ ὑπὸ τοῦ κρυμοῦ. Μ. Πῶς γίγνεται ἡ Χάλαζα; Σ. Ὅταν αἱ πεπηγυῖαι τοῦ ὕδατος ῥανίδες βιαίως ὑπὸ τοῦ βρίθους καταφέρονται. Μ. Τί ἐστιν Ὕδωρ; Σ. Σῶμα ῥευστὸν, βαρὺ, διαυγὲς, ἄχυμον, ἄοσμον, χαλαρὸν καὶ ἀχρωμάτιστον, καί τι ἐλαστικόν. Μ. Ποσαχῶς καλεῖται τὸ ὕδωρ; Σ. Πολλαχῶς· τὸ μὲν γὰρ ποτάμιον, τὸ δὲ φρεατιαῖον, τὸ δὲ θαλάττιον, τὸ δὲ πηγαῖον, τὸ δὲ λιμναῖον λέγεται. Μ. Τί ἐστι Θάλασσα; Σ. Συναγωγὴ ὑδάτων· Ὠκεανὸς δὲ θάλασσα περιῤῥέουσα πᾶσαν τὴν γῆν· Πηγὴ δὲ ὕδωρ ἐκ τῆς γῆς πηδῶν· Ῥύαξ δὲ καὶ Ῥεῖθρον ὕδωρ ἐπὶ τὰ κάτω ῥέον· οἱ δὲ μείζους ὀχετοὶ τῶν ὑδάτων Ποταμοὶ καλοῦνται.

Μ. Πό-

Μ. Πόθεν γίγνονται αἱ Ἀμπώτιδες, εἴτ' ἂν Παλλίῤῥοιαι ἐν τοῖς πελάγεσιν; Σ. Ἐκ τῆς ἕλξεως τῶν Φωςήρων, Ἡλίȣ φημὶ ϗ Σελήνης· ταύτη τοι ϗ μέγιςαι μὲν συμβαίνȣσι κατὰ τὰς συνόδȣς, ἤτοι συζυγίας, ἐλάχιςαι δὲ κατὰ τȣ̀ς τετραγωνισμȣ̀ς αὐτῶν. Μ. Πόθεν γίγνεται ἡ Ἅλμη ϗ ἡ Πικρία τῆς θαλάττης; Σ. Ἔνιοι μὲν τῶν φυσιολογȣ́ντων οἴονται κἂν τῇ θαλάττῃ ἁλῶν μεταλλεῖα εἶναι· ἕτεροι δὲ φασιν ȣ̓́τως ἐξ ἀρχῆς αὐτὴν ὑπὸ τȣ̃ Δημιȣργȣ̃ ἁλμυρὰν γεγονέναι, συγκομίζειν δὲ ϗ τȣ̀ς εἰς ταύτην ἐμβάλλοντας ποταμȣ̀ς ȣ̓κ ὀλίγα ἁλατώδη μόρια δι' ἧς ῥέȣσι γῆς. Ἡ δὲ πικρότης δοκεῖτισι γίγνεσθαι ἐκ τῶν ἐν τῇ θαλάττῃ σεσηπότων ϗ διαλυθέντων ζώων τε ϗ φυτῶν. Μ. Πόθεν γίγνονται αἱ ἀρχαὶ τῶν πηγῶν ϗ ποταμῶν; Σ. Ἐκ τῆς Θαλάττης· τὸ γὰρ θαλάττιον ὕδωρ καθ' ἑκάςην ὑπὸ τῆς τȣ̃ Ἡλίȣ θερμότητος ἐξατμιζόμενον φέρεται ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ϗ βȣνῶν, ἔνθα τῷ ψύχει συςελλόμενον πήγνυται, καὶ εἰς ὕδωρ τρέπεται· τὸ δὲ ὕδωρ κάτω φερόμενον ποιεῖ τὰ ῥεύματα, ἢ διϊὸν διὰ τῆς γῆς ἐκ τῶν μυχῶν αὐτῆς βρύει· ὅθεν οἱ κρȣνοὶ τῶν ὑδάτων. Μ. Τίς τῶν Ἀρχαίων ἔγραψε περὶ Φύσεως; Σ. Δημόκριτος, Ἡράκλειτος, Ἀναξαγόρας, Ἐμπεδοκλῆς, Ἀριςοτέλης καὶ ἄλλοι συχνοὶ, ὧν τὰ Συγγράμματα ὁ τȣ̃ χρόνȣ ῥȣ̃ς κατέκλυσε. Μ. Τίνες δὲ τῶν Νεωτέρων περίπυςοι ἐν τοῖς Φυσικοῖς ἐγένοντο; Σ. Νεύτων ὁ ἀοίδιμος, Μȣσχεμβροίκιος ὁ κλεινὸς, καὶ ἄλλοι πάμπολλοι ἐκ παντὸς γένȣς καὶ ἔθνȣς τῶν ἐν Εὐρώπῃ οἰκȣ́ντων.

ΔΙΑ-

ΔΙΑʹΛΟΓ. Ι!

Μ. Τίς τῶν ἐπισημῶν τυγχάνει σωτηριώδης τοῖς ἀνθρώποις; Σ. Ηʹ Ιʹατρικὴ, εἰ δὲ βέλει, Θεραπευτική· αὕτη γὰρ τὴν μὲν παρȣ̑σαν ὑγείαν φυλάττει, τὴν δὲ ἀπȣ̑σαν ἀνακαλεῖται. Μ. Τίνες παρʹ Εʹλλησιν ἐγένοντο διάσημοι Ιʹατροί; Σ. Αʹσκληπιὸς, Ιʹπποκράτης ϗ Γαληνός. Μ. Τίς δὲ παρὰ Ρʹωμαίοις γραφῇ παραδέδωκε τὰ τῆς Ιʹατρικῆς παραγγέλματα; Σ. Κορνήλιος ὁ Κέλσος ἀνὴρ τῆς τε ἄλλης παιδείας εὖ ἥκων, ϗ τῆς ἱερᾶς τῶν Αʹσκληπιαδῶν τέχνης ζάκορος διασώτης. Μ. Τί ἔλεγεν Αʹδριανὸς ὁ Καῖσαρ ποτνιώμενος ἐπὶ τοῖς ἰατροῖς; Σ. Πολλῶν ἰατρῶν εἴσοδοι μʹ ἀπώλεσαν. Μ. Οʹτι τί δή; Σ. Οʹτι ȣ̓κ ἰάσαντο τὴν ὕδρωπα νόσον, ὑφʹ ἧς κατείχετο, ȣ̓δʹ ἐδυνήθησαν ταύτην ἀκέσασθαι. Μ. Τίσι παρείκασαν τȣ̀ς ἀκέσορας, εἴτʹ ȣ̓̑ν ἰατρȣ̀ς; Σ. Τοῖς ἀκεσαῖς. Μ. Τί δή; Σ. Οʹτι ὥσπερ ἱματίων ῥαγέντων εἰσί τινες ἀκεσαὶ, ȣ̔́τω τοι ϗ οἱ ἰατροὶ, ὅταν νοσήσωσί τινες, τότε ἰῶνται τȣ́τȣς. Μ. Τίνα τῶν νοσημάτων ἐσὶ δυσίατα, ἢ ὅλως ἀνίατα; Σ. Ηʹ ποδαλγία, ἡ λίθος, ὁ καρκῖνος, ἡ φθίσις ϗ ὁ λοιμός. Μ. Πȣ̑ γίγνεται ἡ λίθος; Σ. Εʹν τοῖς νεφροῖς, κἀν τῇ κύσει. Μ. Πȣ̑ δὲ ἡ φθίσις; Σ. Εʹν τῷ πνεύμονι. Μ. Τίνα ἐσὶ τὰ σημεῖα τῆς φθίσεως. Σ, Βὴξ ξηρὸς, ϗ ἰσχνότης τȣ̑ σώματος. Μ. Ποσαπλȣ̑ς ἐσιν ὁ Πυρετός; Σ. Πολυειδής· ὁ μὲν γὰρ ἐφήμερος, ὁ δὲ τριταῖος, ὁ δὲ τεταρταῖος, ὁ δὲ ὀξὺς καλεῖται. Μ. Διὰ τί ὁ πυρετὸς ἐσι παράδοξος; Σ. Οʹτι οἱ πυρέττοντες νῦν μὲν θάλπονται, νῦν δὲ ῥιγȣ̑σι·

γῆτι· τὸ γὰρ θάλπος διαδέχεται τὸ ψύχος. Μ. Πόθεν γίγνεται ὁ Πυρετός; Σ. Ἐκ πολλῶν μὲν αἰτιῶν, μάλιστα δὲ ἐκ τῆς ἀκρασίας καὶ λαγνείας. Μ. Πόθεν δὲ ὁ Λοιμός; Σ. Ἐκ τοῦ λιμοῦ, κἀκ τοῦ διεφθορότος ἀέρος. Μ. Ποῖ ἔπεμπον τὸ πάλαι τὰς μαινομένους; Σ. Εἰς Ἀντίκυραν πιομένους ἐλλέβορον, διὰ τὸ δεῖσθαι αὐτοῦ. Μ. Ἔστιν ἄκος τοῦ θανάτου; Σ. Οὐδέν· ἀπόκειται γὰρ ἅπαξ τοῖς ἀνθρώποις ἀποθανεῖν. Μ. Τί οὖν φησιν ὁ Σοφός; Σ. Μέμνησο ἄνθρωπε τοῦ θανάτου, καὶ ζήσεις εἰς τὸν αἰῶνα. Μ. Ἐπεὶ δὲ οὐδὲν βεβαιότερον τοῦ θανάτου ἐστὶ, τί θαυμαστόν; Σ. Ὅτι πάντες ἀμνημονοῦμεν αὐτοῦ, καὶ πόρρω ἡμῶν ἀφεστάναι δοκοῦμεν, ἄλλως τε οἱ Νέοι, καί τοι χθὲς, ἀλλὰ καὶ σήμερον ἐξενεχθέντος τινός. Μ. Τί οὖν πρὸς ἡμῶν ἐστι ποιεῖν; Σ. Οὕτω βιοῦν ὡς αὐτίκα τεθνηξομένους, καὶ οὕτω πονεῖν ὡς ἀεὶ βιωσομένους.

ΔΕΚΑ'Σ Β!

Περί τινων ἀρχαίων Ἀνδρῶν.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Προκόπιος. Σωφρόνιος.

Π. Πόσοι Σοφοὶ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν ἐν τῇ Ἑλλάδι; Σ. Ἑπτά. Π. Τίνες

οὗτοι

ȣ̃τοι καλȣ̃νται. Σ. Σόλων, Θαλῆς, Βίας, Χίλων, Πιττακὸς, Κλεόβȣλος, Περίανδρος. Π. Τί ἀπεφθέγξατο Σόλων ὁ Ἀθηναῖος; Σ. Τέλος ὁρᾶν τȣ̃ βίȣ. Π. Τί δ' ἀπεφήνατο Θαλῆς ὁ Μιλήσιος; Σ. Ἐγγύην φεύγειν. Π. Τί δ' ἐγνωμάτευσε Βίας ὁ Πριηνεύς; Σ. Οἱ πλείȣς κακοί. Π. Τί δ' ἐφιλοσόφησε Χίλων ὁ Λακεδαιμόνιος; Σ. Γνῶθι σαυτόν. Π. Τί δὲ ὑπέθετο Πιττακὸς ὁ Μιτυληναῖος; Σ. Μηδὲν ἄγαν. Μ. Τὶ δὲ παρήνεσε Κλεόϐȣλος ὁ Λίνδιος; Σ. Τὸ μέτρον ἄριςον. Π. Τί δὲ παρήγγειλε Περίανδρος ὁ Κορίνθιος; Σ. Θυμȣ̃ κρατεῖν.

ΔΙΑ'ΛΟΓ. Β.!

Π. Τίς ἦν ὁ περιαδόμενος Ἀνάχαρσις; Σ. Φιλόσοφος σκύθης. Π. Πῶς ἐγένετο γνώριμος τῷ Σόλωνι; Σ. Ἀγχινοίᾳ ϗ συνέσει χρησάμενος. Π. Ὅπως εἶχε γνώμης περὶ φίλων; Σ. Κρεῖττον, ἔφασκεν, ἕνα φίλον ἔχειν πολλȣ̃ ἄξιον, ἢ πολλȣ̀ς μηδενὸς ἀξίȣς. Π. Τί ἔφη ὑπὸ μειρακίȣ παρὰ πότον ὑϐρισθείς; Σ. Μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον ȣ̓ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις. Π. Τί ἀπεκρίνατο πρὸς τὸν πυθόμενον, πῶς ἄν τις μὴ μεθύσκοιτο; Σ. Εἰ ὁρῴη τȣ̀ς μεθύοντας, οἷα ποιȣ̃σιν, ἢ ὃ ταυτόν ἐςιν, εἰ πρὸ ὀφθαλμῶν ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας. Π. Πόσȣς βότρυς ἔλεγε φέρειν τὴν ἄμπελον; Σ. Τρεῖς· τὸν μὲν πρῶτον ἡδονῆς, τὸν δὲ δεύτερον μέθης, τὸν δὲ τρίτον μανίας. Π. Τί ἐςιν ἀγορὰ κατ' αὐτόν; Σ. Τόπος ὡρισμένος εἰς τὸ ἀλλήλȣς ἀπατᾶν ϗ πλεονεκτεῖν.

Π. Τί-

Π. Τίνι ἐοικέναι ἔλεγε τὰς νόμους; Σ. Τοῖς ἀραχνίοις, εἴτ᾽ οὖν τοῖς ὑφάσμασι τῆς ἀράχνης. Π. Ἴθι εἰπὲ, τίνος ἕνεκα; Σ. Καὶ γὰρ εἰς ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃ τι κοῦφον καὶ ἀσθενὲς, στέγειν· ἐὰν δὲ μεῖζον, διακόψαν οἴχεσθαι. Π. Τί ἔφη ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ, ὅτι σκύθης ἐστίν; Σ. Ἐμοὶ μὲν ὄνειδος ἡ πατρὶς, σὺ δὲ τῇ πατρίδι. Π. Τί ἱστοροῦσι περὶ τούτου; Σ. Τριῶν ἕνεκεν θαυμάζειν τῶν Ἑλλήνων, πρῶτον μὲν, ὅτι ἀρχόμενοι μὲν πίνουσιν ἐν μικροῖς, πλησθέντες δὲ ἐν μεγάλοις· εἶτα ὅτι νομοθετοῦντες κατὰ τῶν ὑβριζόντων τιμῶσι τὰς ἀθλητὰς ἐπὶ τῷ τύπτειν ἀλλήλους· τρίτον ὅτι ἀγωνίζονται μὲν οἱ τεχνίται, κρίνουσι δὲ οἱ μὴ τεχνίται.

ΔΙΑʹΛΟΓ. Γ!

Π. Τίς ἦν ὁ Αἴσωπος; Σ. Θεράπων Ξάνθου τοῦ φιλοσόφου, καὶ μύθων ποιητής. Π. Ὁποῖός τις ἦν; Σ. Αἰσχρὸς το εἶδος, ῥυπαρὸς τὸ σχῆμα, κυρτὸς τοὺς ὤμους, σιμὸς τὴν ῥῖνα, καὶ βραδὺς τὴν γλῶτταν. Π. Τί οὖν πρὸς πάντων ἐφιλεῖτο; Σ. Ὅτι εὐτράπελος ἦν καὶ ἀστεῖος. Π. Πῶς ἐδήλωσε τὰς τὰ σῦκα διαφορήσαντας δούλους; Σ. Παρέσχεν αὐτοῖς χλιαρὸν ὕδωρ πιεῖν. Π Τί οὖν ἐγένετο; Σ. Ἀνέδωκαν, εἴτ᾽ οὖν ἐξήμεσαν τὴν ὀπώραν. Π. Τοῦ χάριν ὠψώνησε γλώττας; Σ. Ὅτι προσετάχθη ὀψωνῆσαι πᾶν ὅ,τι βέλτιστον ἐν τῷ κρεωπωλείῳ. Π. Ἆρ᾽ οὖν ἡ γλῶττα βέλτιστόν ἐστι; Σ. Κάλλιστόν τε ἅμα καὶ χείριστον. Π. Τί δή; Σ. Ὅτι ὄργανον μεγίστων ἀγαθῶν, καὶ κακῶν τυγχάνει γε οὖσα. Π. Τί ᾔτησεν ὁ παῖς

Αἰσω-

Αἰσώπῳ λύκος τὴν γέρανον; Σ. Ἐξελεῖν τῦ λαιμῦ, ὅπερ ἐπεπήγει οἱ ὀςῦν ἐκ τῦ κριῦ, ὃν κατεβοινήσατο. Π. Τί ἐπηγγείλατο αὐτῇ; Σ. Μισθὸν ὑπέσχετο παρέξειν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλῦσα τὸ ὀςῦν ἐκ τῦ λαιμῦ αὐτῦ ἐκβάλοι. Π. Μῶν πεποίηκε τῦθ' ἡ γέρανος; Σ. Πάνυ μὲν ὖν· ἐμβαλῦσα γὰρ τὸ ῥάμφος δολιχόδειρος ὖσα εἰς τὸν φάρυγγα αὐτῦ ἐξῆρε τὸ ὀςῦν. Π. Ἦ̓ κ̀ εὐγνώμων ἦν ὁ λύκος περὶ αὐτὴν, καὶ τὸν μισθὸν ἐξέτισεν; Σ. Ἀγνωμονέςατός γε· ὐδὲ γὰρ χάριν ἔσχεν, ὔτοιγε ἀπέτισε. Π. Πῶς παρῃτήσατο; Σ. Ἀρκεῖ σοι μισθὸς, ἔφη, ὅτι ἐκ λύκῦ ςόματος ἐξῆρες κάραν σῶαν μηδὲν παθῦσαν. Π. Τίνι δὲ δόλῳ ἐχρήσατο πρὸς τὸ ἐξαπατῆσαι τὴν ἔριφον; Σ. Παραγενόμενος ἐπὶ τὴν ἔπαυλιν προσεποιεῖτο αἲξ εἶναι. Π. Τί ἀπεκρίνατο αὐτῷ ἡ ἔριφος; Σ. Συνίημι μὲν τῆς φωνῆς τῆς μητρὸς, ὁρῶ δέ σε διὰ τῆς κλειθρίας λύκον ὄντα. Π. Τίποτε παθὼν ἐνεκάλει τῷ ἀρνί; Σ. Ὅτι σκώπτοι ἄρα αὐτὸν θηρίον ὠμὸν ἀποκαλῶν, κ̀ αἱμοβόρον. Π. Πῶς διήλεγξεν αὐτὸν ὁ ἄρς, εἴτ' ὖν ἀμνός; Σ. Ἄρτι, φησὶ, γαςρὸς ἐξέφυν. Π. Τίνα δ' ἄλλην αἰτίαν ἐπέφερεν αὐτῷ; Σ. Ὅτι ταράττοι τὸ ὕδωρ κ̀ θολώῃ. Π. Τίνα τρόπον ἀπήλεγξεν αὐτὸν ψευδόμενον; Σ. Ἐγὼ φησιν κάτω ἵςαμαι, τὸ δὲ ὕδωρ ἄνωθεν ῥεῖ. Π. Ἆρ' ὖν ἀπέςη τῦ σκοπῦ; Σ. Οὐ μὲν ὖν, ἀλλὰ συλλαβὼν τὸν ἄρνα ἐκβέβρωκε. Π. Τί δηλοῖ ὗτος ὁ μῦθος; Σ. Ὅτι οἱ ἀθῷοι κ̀ δικαίως κἀδίκως (παντὶ τρόπῳ) ὑπὸ τῶν πονηρῶν ἀπόλλυνται. Π. Τί ᾔτει ὁ τῦ Αἰσώπῦ τέττιξ τὸν μύρμηκα; Σ. Τροφήν· ἦν γὰρ λιμώττων. Π. Τί δὲ ὗτος

πρὸς

πρὸς αὐτόν; Σ. Ἤρετο, τί ἐποίεις ὥρᾳ θέρους; Π. Τί ἀπεκρίνατο αὐτῷ ὁ τέττιξ; Σ. Οὐκ ἐσχόλαζον, ἀλλ᾽ ᾖδον μουσικῶς. Π. Τί δὲ ὁ μύρμηξ πρὸς αὐτόν; Σ. Εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ. Π. Τί δηλοῖ οὗτος ὁ μῦθος; Σ. Ὅτι νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ. Π. Ἆρ᾽ οὖν πάντες οἱ μέχρι καὶ νῦν φερόμενοι μῦθοι τοῦ Αἰσώπου εἰσίν; Σ. Οὐ μὲν οὖν, ἀλλ᾽ ἐξενίκησαν Αἰσώπειοι καλεῖσθαι, τῷ τὸν Αἴσωπον ἄριστα πάντων συγγράψαι τοὺς μύθους. Π. Τί πεποίηκε περὶ τῶν Ἀνθρώπων; Σ. Δύω πήρας ἕκαστον ἡμῶν ἐπιφέρειν τὴν μὲν ὄπισθεν, τὴν δὲ ἔμπροσθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν.

ΔΙΑʹΛΟΓ. Δ!

Π. Ποῖοίτινες ἦσαν Ἡράκλειτος καὶ Δημόκριτος; Σ. Φιλόσοφοι θαυμάσιοι ἐκ διαμέτρου ἀλλήλοις ἀντικείμενοι. Π. Τοῦ χάριν ὁ Ἡράκλειτός ἐστιν ἀξιομνημόνευτος; Σ. Ὅτι πάντα ἐθρηνώδει· ὅθεν Κλαυσῖνος ἐπεκλήθη. Π. Πῶς δὲ ἄλλως καλεῖται; Σ. Σκοτεινὸς, διὰ τὸ ἀσαφῶς καὶ ἀμυδρῶς γράψαι. Π. Διὰ τί ἐπετήδευσεν ἀσαφέστερον γράψαι; Σ. Ἵν᾽ ἱδρῶεν οἱ ἐντυγχάνοντες, καὶ προσίοιεν μόνοι οἱ δυνάμενοι. Π. Τί ἔφη ὁ Σωκράτης περὶ τῶν Συγγραμμάτων αὐτοῦ; Σ. Ἃ μὲν συνῆκα, γενναῖα, οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα, πλὴν δηλίου γέτινος δεῖται κολυμβητοῦ. Π. Τίνι νοσήματι περιπέπτωκε; Σ. Τῷ ὑδερῷ, ὑφ᾽ οὗ ἐξῴδηκε τὴν γαστέρα. Π. Τί ἐδίδασκε περὶ τῶν αἰσθητῶν; Σ. Μὴ εἶναι ἐπιστήμην περὶ αὐτῶν,

ὡς

ὡς ἀεὶ ῥεόντων· ὅθεν ἔλεγε. δὶς τῷ αὐτῷ ποταμῷ ὐκ ἔςιν ἐμβῆναι. Π. Διά τὶ δὲ ὁ Δημόκριτός ἐςι θαυμάσιος; Σ. Ὅτι πολὺν τῆς τῶν ἀνθρώπων κενοσπȣδίας διετέλει καταχέων τὸν γέλωτα· Ὅθεν Γελασῖνος προσείρηται. Π. Ἀληθές ἐςιν αὐτὸν ἑκόντα σβέσαι τὰς ὄψεις ἀπερεισάμενον εἰς ἔσοπτρα πυρωθέντα, ϗ τὴν ἀπ᾿ αὐτῶν ἀνάκλασιν εἰσδεξάμενον; Σ. Ψευδές τȣτό ἐςιν, ἀλλ᾿ ἐκεῖνο ἀληθὲς ὑπάρχει, ὅτι τȣ̃ κήπȣ δωμάτιόν τι ἀποτεμόμενος κατάκλειςος ἦν ἐν αὐτῷ. Π. Τίνος δ᾿ ἕνεκα ȣ̓ προῄει τȣ̃ οἰκίσκȣ, ἀλλὰ διετέλει οἰκȣρῶν ἐν αὐτῷ; Σ. Ἵνα τῇ τῶν ὄντων χολάζῃ θεωρίᾳ, ϗ μὴ ἀποσπῷτο ταύτης ὑπὸ τῶν ἔξω θορύβων ϗ τυρβῶν. Π. Τί ὑπέλαβον ἐκ τȣ́τȣ οἱ πολῖται περὶ αὐτȣ̃; Σ. Παραφρονεῖν αὐτὸν καὶ τῶν φρενῶν ἐξεςηκέναι· ταύτητοι μετεπέμψαντο τὸν Ἱπποκράτην ἰασόμενον αὐτόν. Π. Τί ἔφη Ἱπποκράτης περὶ αὐτȣ̃; Σ. Σοφώτατον ἄνδρα εἶναι. Π. Τί ἐδογμάτισε περὶ Κόσμȣ; Σ. Συνεςηκέναι ἐξ ἀτόμων, ἅπερ αἰώνια ὑπετίθετο ȣ̓κ ὀρθῶς φρονῶν.

ΔΙΑ΄ΛΟΓ. Ε!

Π. Ὁποῖός τις ἦν Σωκράτης τὸν τρόπον; Σ. Μέτριος ϗ ἐπιεικὴς εἰς ὑπερβολήν, ὥςε λακτισθέντα, ἐπειδὴ ἠνέσχετο, τινὸς θαυμάζοντος εἰπεῖν· εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν αὐτῷ ἐλάγχανον; Π. Ὁποῖος δὲ τὴν δίαιταν; Σ. Εὐτελέςατος ϗ αὐταρκέςατος, ὥςε πολλάκις ἀφορῶντα εἰς τὰ πλήθη τῶν πιπρασκομένων λέγειν πρὸς ἑαυτόν· πόσων ἐγὼ χρείαν ȣ̓κ ἔχω. Π.

Τί

Τί ἔφη πρὸς τὸν εἰπόντα, οὔ σοι λοιδορεῖται ὁ δεῖνα; Σ. Οὐχί· ἐμοὶ γὰρ οὐ πρόσεστι ταῦτα. Π. Τί δ' ἀπεκρίνατο πρὸς τὸν εἰπόντα, κακῶς ὁ δεῖνά σε λέγει; Σ. Οὐδὲν θαυμαστόν· καλῶς γὰρ λέγειν οὐκ ἔμαθε. Π. Διὰ τί ἠξίου τοὺς νέους συνεχῶς κατοπτρίζεσθαι; Σ. Ἵν' εἰ μὲν καλοὶ εἶεν, ἄξιοι γίγνοιντο· εἰ δ' αἰσχροὶ, παιδείᾳ τὸ αἶσχος ἐπικαλύπτοιεν. Π. Τίς ὁδὸς καλλίων ἐπ' εὐδοξίᾳ κατ' αὐτόν; Σ. Δι' ἧς ἄντις ἀγαθὸς τῷ ὄντι γένοιτο, καὶ μὴ δοκεῖν βούλοιτο. Π. Τί ἱστορήκασι περὶ αὐτοῦ; Σ. Πολλάκις δι' ὅλης τῆς ἡμέρας ἐφ' ἑνὸς σχήματος μεῖναι καιόμενον ὑπὸ τοῦ ἡλίου. Π. Τοῦ χάριν ἐποίει τοῦτο; Σ. Ἵν' ἐθίζοι ἑαυτὸν πάντα τὰ προσπίπτοντα γενναίως καὶ ἀνεξικάκως φέρειν. Π. Πῶς ἐκαλεῖτο ἡ γυνὴ αὐτοῦ; Σ. Ξανθίππη. Π. Ὁποία τις ἦν αὕτη; Σ. Κακίστη πασῶν τῶν γυναικῶν, καὶ ὑπὲρ τὸ δέον φιλόνεικος καὶ λοίδορος. Π. Πῶς ἐχρῆτο αὐτῇ; Σ. Πράως καὶ φιλοσόφως. Π. Τί ἔφη πρότερον μὲν ὑπ' αὐτῆς λοιδορούμενος, ὕστερον δὲ ὕδατι περιχεόμενος; Σ. Μετὰ τὴν βροντὴν συμβαίνει ὑετὸν γενέσθαι. Π. Τί δὲ τὸ θαυμασιώτερον αὐτοῦ; Σ. Ὅτι οὐκ ἠβούλετο παραιτήσασθαι (ἀπολῦσαι) ἐξὸν αὐτῷ ἀποπέμψασθαι. Π. Διὰ τί φασι τὰς Γυναῖκας τὴν πανοπλίαν ἐν τῇ γλώττῃ φέρειν; Σ. Ὅτι ἐρίζουσι καὶ ῥᾳδίως περὶ ὄνου σκιᾶς μάχονται. Π. Τίς κόσμος γυναιξὶ μάλιστα πρέπει; Σ. Σιωπὴ, αἰδὼς καὶ σωφροσύνη. Π. Τί φασιν οἱ Κωμικοὶ περὶ τοῦ γυναικείου κόσμου; Σ. Γυναικὶ κόσμον ἡ σιγὴ φέρει· καὶ Γυναικὶ κόσμος ὁ τρόπος, κ' οὐ χρυσία.

ΔΙΑ'-

ΔΙΑ΄ΛΟΓ. ΣΤ΄.

Π. Διὰ τὶ ὁ Διογένης καθήψατο τοῦ Πλάτωνος; Σ. Ὅτι κόσμιος ἦν τὴν ἀναβολὴν, καὶ πλατὺς ἐν λόγοις. Π. Ὁποῖος δέ τις ἦν ἐκεῖνος; Σ. Πιναρὸς ὅλος ϗ αὐχμηρὸς ϗ ῥυπαρός. Π. Τί ἀπέσκωψεν εἰς Πλάτωνα; Σ. Πατῶν ποτε τὰ στρώματα αὐτοῦ ἔφη· πατῶ Πλάτωνος τὸν τύφον. Π. Τί δὲ ὁ Πλάτων αὐτῷ; Σ. Ἑτέρῳ γε τύφῳ, Διόγενες. Π. Τίνος ἕνεκεν ἅψας λύχνον μεθ᾽ ἡμέραν πληθούσης ἀγορᾶς ἐζήτει ἄνθρωπον; Σ. Ὅτι ὀλίγοι κατὰ λόγον εἰσί. Π. Διὰ τί ἐπεκλήθη Κύων; Σ. Ὅτι κυνὸς τρόπον πάντας προσυλάκτει, καὶ ἔδακνε τοῖς λόγοις· ταύτῃ τοι ϗ τῷ μνήματι αὐτοῦ κύων ἐγκεκόλαπτο. Π. Διὰ τί δὲ θαυμάσιος; Σ. Ὅτι διέτριβεν ἐν πίθῳ, ϗ ἐκάθευδεν ἄνευ ὑπαυχενίου. Π. Τί ᾔτησε τὸν Ἀλέξανδρον; Σ. Μικρὸν ἀπὸ τοῦ ἡλίου μεταστῆναι. Π. Τί δὲ πρὸς τοῦτο Ἀλέξανδρος; Σ. Εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. Π. Τίνα χρήματα (σκεύη) ὑπῆρχεν αὐτῷ; Σ. Πάνυ μικρὰ, ἀμέλει τοι πήρα, βακτηρία ϗ τριβώνιον. Π. Τίνος ἕνεκεν ἔρριψε τὸ σκύφος (ποτήριον) εἰς τὸν ποταμόν; Σ. Ὅτι ἔδοξε μὴ δεῖσθαι αὐτοῦ θεασάμενος παῖδα ταῖς χερσὶν ἀρυόμενον ϗ πίνοντα. Π. Τί συνεβούλευε τοῖς ἀσώτοις ϗ ἄφροσιν; Σ. Ἢ νοῦν κτᾶσθαι ἢ βρόχον. Π. Διὰ τί οἱ Κυνικοὶ ἔτρεφον τὸν πώγωνα; Σ. Ἵνα μεμνημένοι ἄνδρες ὄντες μηδὲν ἀνάξιον ἀνδρῶν λέγοιεν, μηδὲ πράττοιεν.

ΔΙΑʹΛΟΓ. Ζ!

Π. Πῶς ἐδίδασκε Ζήνων ὁ φιλόσοφος; Σ. Αʹθήνῃσιν ἐν τῇ ποικίλῃ καλεμένῃ Στοᾷ, ἀφ' ἧς οἱ Στωϊκοὶ ἐπεκλήθησαν. Π. Οʹποῖός τις ἦν τὸ σχῆμα τῦ σώματος; Σ. Ισχνὸς, ὑπομήκης, μελάγχρως, παχύκνημός τε καὶ ἀσθενής. Π. Οʹποῖος δὲ τὴν ψυχήν; Σ. Σώφρων, ἐγκρατὴς, μέτριος καὶ λιτός. ὅθεν καὶ Παροιμία· Ζήνωνος ἐγκρατέστερος. Π. Εʹν τίνι ἐτίθετο τὴν εὐδαιμονίαν; Σ. Εʹν τῇ ἀρετῇ. Π. Διὰ πόσης τιμῆς ἦγον αὐτὸν οἱ Αʹθηναῖοι; Σ. Οὕτω σφόδρα ἐτίμων, ὡς τῶν τειχῶν αὐτῷ τὰς κλεῖς παρακαταθέσθαι, καὶ τελευτήσαντα χρυσῷ στεφάνῳ τιμῆσαι, καὶ χαλκῇ εἰκόνι. Π. Τί δεῖν ἔλεγε τὲς νέες χρῆσθαι; Σ. Πάσῃ κοσμιότητι ἔντε πορείᾳ καὶ σχήματι καὶ περιβολῇ. Π. Πῶς ἐφίμωσε τὸ φλυαρῦν μειράκιον; Σ. Διὰ τῦτο, ἔφη, δύω ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκέωμεν, ἧττονα δὲ λέγωμεν. Π. Τί ἐχρήσθη αὐτῷ πυνθανομένῳ περὶ τῦ βίε; Σ. Συγχρωτίζεσθαι τοῖς νεκροῖς. Π. Τί ἐδήλε τῦτο; Σ. Συγγίνεσθαι τοῖς πάλαι σοφοῖς δι' ὧν καταλελόιπασι λόγων· ὅθεν ξυνεὶς ἀνέγνω τὰ τῶν Αʹρχαίων. Π. Τίς τῶν ἐκ τῆς ποικίλης ἐθαυμάσθη ἐπὶ φρενῶν λεπτότητι; Σ. Χρύσιππος, διαλεκτικώτατος πάντων γενόμενος καὶ πολυγραφώτατος, ὥστε εἰπεῖν ἐπ' αὐτῦ· εἰμὴ Χρύσιππος ἦν, ὐκ ἂν ἦν Στοά. Π. Τί ἱστορήκασι περὶ αὐτῦ; Σ. Οὕτως ἐσχολακέναι τῇ τῶν ὄντων θεωρίᾳ, καὶ ταῖς σοφιστικαῖς τῶν λόγων πλεκτάναις, ὡς ἐπιλαθέσθαι σιτίετε καὶ ποτῦ, καὶ τὴν παιδίσκην, ἥπερ ἐχρῆτο,

το, ψωμίσαι αὐτόν. Π. Τίς δὲ ἐπὶ τρόπων χρηςότητι; Σ. Ἐπίκτητος ὁ τὸ χρυσοῦν ἡμῖν Ἐγχειρίδιον καταλελοιπώς, καὶ πᾶσαν τὴν Φιλοσοφίαν τούτοις δὴ τοῖς δυσὶ ῥήμασιν· Ἀνέχου καὶ Ἀπέχου· συμπεριειληφώς. Π. Τίποτε σημαίνειν βούλεται ταυτὶ τὰ ῥήματα; Σ. Τὸ μὲν ἐγκράτειαν ἀσκεῖν πάντων, ὑφ᾽ ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τὸ δὲ πάντα τὰ προσπίπτοντα, ὁποῖά ποτ᾽ ἂν ᾖ, γενναίως φέρειν, καὶ μὴ ἀθυμεῖν. Π. Πόσου ἐπράθη ὁ πήλινος αὐτοῦ λύχνος; Σ. Τρισχιλίων δραχμῶν. Π. Τοῦ χάριν ὠνήσατο αὐτὸν ὁ πριάμενος; Σ. Ὤετο σοφὸς ἔσεσθαι ἐκείνῳ χρησάμενος.

ΔΙΑ'ΛΟΓ. Η΄.

Π. Τίς ἦν Λυκοῦργος; Σ. Νομοθέτης τῶν Λακεδαιμονίων. Π. Τίνας νόμους ἔθηκε τοῖς Σπαρτιάταις; Σ. Ἀρίστους, ὀλίγων τινῶν ἐξαιρουμένων, οἵπερ αὐστηρότεροι τοῦ δέοντος ἦσαν. Π. Τί ἐβούλετο τῷ τῶν σκυλάκων ζεύγει ἐπιδεῖξαι; Σ. Ὅσην ῥοπὴν ἔχει πρὸς ἀρετῆς κτῆσιν ἡ τοῦ βίου ἀγωγή. Π. Τῷ τρόπῳ ἤγαγε τὼ σκύλακε; Σ. Παντάπασιν ἀνομοίως· τὸν μὲν γὰρ οἰκουρεῖν καὶ λιχνεύειν, τὸν δὲ θηρᾶν καὶ ἐξιχνεύειν ἐδίδαξε. Π. Τί οὖν ἐγένετο; Σ. Ὁ μὲν κατοικίδιος νωθὴς καὶ βραδὺς, ὁ δὲ θηράτωρ ὠκὺς καὶ γοργὸς ἐκβέβηκεν. Π. Ὁποία τις ἦν ἡ τῶν Λακεδαιμονίων ἀγωγή; Σ. Σκληροτάτη· ἀπεσκλήρυνον γὰρ αὐτοὺς πρὸς πᾶν ἔργον χαλεπόν. διά τοι τοῦτο αἱ χεῖρες αὐτῶν οὐκ ἦσαν ἁπαλαὶ, ἀλλὰ τύλων ἀνάπλεῳ, καὶ πολλάκις οἱ παῖδες παρ᾽ αὐτοῖς ξαινόμενοι μά-

ςιξι δὶ ὅλης τῆς ἡμέρας διεκαρτέρȣν. Π. Τί ἂν ἐκ τȣτȣ περιεγένετο αὐτοῖς; Σ. Τὸ τȣς πλείςȣς καλȣς κἀγαθȣς γενέσθαι, ὀλίγȣς δὲ φαύλȣς· νῦν δὲ παρʹ ἡμῖν οἱ πλείȣς μαςιγίαι καὶ κύφωνες καὶ φαυλεπιφαυλότατοι τυγχάνȣσιν ὄντες. Π. Τίνα νόμον ἐξέδωκε περὶ τῶν ἀγάμων; Σ. Εʹκέλευσεν αὐτȣς χειμῶνος ὥρᾳ κύκλῳ προϊόντας τὴν ἀγορὰν ᾄδειν εἰς ἑαυτȣς ᾠδήν τινα πεποιημένην, ὡς δίκαια πάσχοιεν τοῖς νόμοις ἀπειθȣντες. Π. Διὰ τί τὰς κόρας ἐνομοθέτησεν ἀπροίκȣς ἐκδίδοσθαι; Σ. Οʹπως, ἔφη, μήθʹ αἱ ἄποροι δὶ ἔνδειαν ἄγαμοι μένοιεν, μήθʹ αὖ αἱ ἄσεμνοι διὰ περιȣσίαν χρημάτων σπȣδάζοιντο, ἕκαςος δὲ εἰς τὸν τρόπον τῆς παιδὸς ἀφορῶν ἀρετῇ τὴν αἵρεσιν ποιοῖτο. Π. Τίς φερνὴ (προίξ) καλλίςη; Σ. Οʹ σεμνὸς βίος, κατὰ τὸν Βίαντα, Π. Τȣ χάριν ὁ Θεμιςοκλῆς τὸν ἐπιεικῆ τȣ πλȣσίȣ πρȣτίμησε μνηςῆρος; Σ. Ζητῶ, ἔφη, ἄνδρα χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός. Π. Διὰ τί ὁ Λυκȣργος τȣς νόμȣς ȣτως ὀλίγȣς ἔθηκεν; Σ. Οʹτι τοῖς ὀλίγα λέγȣσιν ὀλίγων νόμων χρεία ἐςί. Π. Πῶς ἀπέτρεπον οἱ Λακεδαιμόνιοι τȣς ἑαυτῶν παῖδας τȣ μεθύειν; Σ. Ηʹνάγκαζον τȣς Εἵλωτας ἐν ταῖς ἑορταῖς πολὺν πίνειν ἄκρατον, ϗ εἰσῆγον εἰς τὰ συμπόσια ἐπιδεικνῦντες τοῖς νέοις, οἷόν ἐςι τὸ μεθύειν. Π. Τί ὑποληπτέον περὶ τȣτȣ; Σ. Μυσαρὸν ϗ ἀπάνθρωπον ἔργον εἶναι· τὴν γὰρ ἐκ τῆς τῶν ἄλλων διαςροφῆς ἐπανόρθωσιν ȣ φιλάνθρωπον, ȣδὲ πολιτικὸν ἡγȣμεθα.

ΔΙΑ-

ΔΙΑ'ΛΟΓ. Θ'.

Π. Ποσαπλαῖ εἰσιν αἱ τέχναι; Σ. Διτταί· αἱ μὲν ἐλεύθεραι, αἱ δὲ βάναυσοι. Π. Τί φασιν οἱ Κωμικοὶ περὶ τῆς τέχνης; Σ. Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη. Π. Τί δ' ἐδόκει τῷ Νέρωνι περὶ αὐτῆς; Σ. Τὸ τέχνιον πᾶσα γῆ τρέφει· οἱ δ' ἄτεχνοι πανταχοῦ γῆς ὀλιγωροῦνται, καὶ ἐν Καρὸς μοίρᾳ εἰσίν. Π. Ἐπὶ τίνι οὗτος ἐθαυμάζετο; Σ. Ἐπὶ τῇ Μουσικῇ. διὸ ἀποθνήσκων ἀνεβόησε· Φεῦ! οἷος τεχνίτης ἀπόλλυμαι. Π. Τίς πρῶτος ᾖσε τῇ κιθάρᾳ; Σ. Ἀμφίων. Π. Τί μυθεύονται περὶ αὐτοῦ; Σ. Ὅτι ἐκίνει τοὺς λίθους τῇ χέλυϊ, εἴτ' οὖν τῇ κινύρᾳ. Π. Τίνες παρὰ τοῦτον ἐγένοντο διάσημοι Μουσικοὶ παρ' Ἕλλησιν; Σ. Ὀρφεὺς, Ἀρίων, Μαρσύας, Τιμόθεος. Π. Τί φασι περὶ τοῦ Ὀρφέως; Σ. Ὅτι ἐκίνει τὰ δένδρα τῷ μέλει, καὶ κατεῖχε τὸν ῥοῦν τῶν ποταμῶν. Π. Τί δὲ περὶ τοῦ Ἀρίωνος; Σ. Ὅτι δελφῖνες καταχηληθέντες τοῖς κρούμασι παρέπλεον τῇ νηΐ, καὶ εἷς τούτων ὑπολαβὼν αὐτὸν ἐπὶ νώτου ἐξήνεγκεν εἰς Κόρινθον. Π. Τί ἐμυθεύσαντο περὶ τοῦ Μαρσύου; Σ. Ἐλθεῖν αὐτὸν εἰς ἔριν τῷ Ἀπόλλωνι περὶ μουσικῆς. Π. Τί οὖν ἐγένετο; Σ. Ἡττηθεὶς ἐξεδάρη ὑπὸ τοῦ Ἀπόλλωνος. Π. Τί ἱστορήκασι περὶ τοῦ Τιμοθέου; Σ. Διενεγκεῖν ἁπάντων τῇ μουσικῇ, ὥστε καὶ θυμὸν ἐγείρειν διὰ τῆς συντόνου καὶ αὐστηρᾶς ἁρμονίας, καὶ μέντοι καὶ χαλᾶν καὶ μαλάττειν πάλιν διὰ τῆς ἀνειμένης, ὁπότε βούλοιτο. Π. Τί δὲ ἐπλάσαντο περὶ τοῦ ὄνου τοῦ Ἀμμωνίου; Σ. Καταλιπόντα τὸν χιλὸν ἠκροᾶσθαι τοῦ δεσπότου ἐξηγουμένου τοὺς Ποιητάς. Π. Τίνα ἐστὶ τὰ

λοιπά

λοιπὰ μȣσικὰ Οʹργανα; Σ. Βάρβιτος, Κινύρα, Σαμβύκη, Κύμβαλον. Π. Τίσιν ἐσήμηναν τὸ ἀνακλητικὸν οἱ Παλαιοί; Σ. Τῇ Σάλπιγγι, τῇ Βυκάνῃ, τῷ Κέρᾳ κ̀ τῷ Τυμπάνῳ. ταύτῃ τοι ἔχον σαλπιγκτὰς, βυκανιςὰς κ̀ τυμπανοτρίβας. Π. Τίς ἐγένετο μεγαλοφωνότατος σαλπιγκτὴς ἐν τῷ Τρωϊκῷ πολέμῳ; Σ. Ὁ Στέντωρ, ἀφʹ ȣ̔ ςεντώρειος φωνὴ, κ̀ Στέντωρος μεγαλοφωνότερος, παροιμία ἐπὶ τῶν μέγα βοώντων.

ΔΙΑʹΛΟΓ. Ι͵

Π. Τί ἐςι Γραφική; Σ. Εἰκασία, εἴτʹ ȣ̓ν ἀφομοίωσις τῶν ὁρωμένων. Π. Τίς ἐγένετο διασημότατος τῶν παρʹ Εʹλλησι γραφέων; Σ. Αʹπελλῆς ὁ Κῷος, ὁ καὶ Εʹφέσιος, διὰ τὸ πολὺν χρόνον ἐν Εʹφέσῳ διατρίψαι. Π. Τίνα ἔγραψεν; Σ. Αʹλέξανδρον τὸν τȣ̃ Φιλίππȣ. Π. Τί ἔφη τῷ κρηπιδοποιῷ; Σ. Μὴ ὑπὲρ τὴν κρηπῖδα. Π. Αʹντὶ τίνος; Σ. Αʹνθʹ ὅτȣ τῆς μὲν κρηπῖδος ὀρθῶς ἐπελάβετο, τὸν δὲ μηρὸν, τὴν κνήμην, καὶ τὸν πόδα κακῶς ἐπιδιωρθώσατο. Π. Τί εἰώθει λέγειν; Σ. Οὐδεμία ἡμέρα ἄνευ γραμμῆς. Π. Εʹπὶ τίνι θαυμάζεται; Σ. Εʹπὶ τῷ διδάξαι παρασκευάζειν τὰ γραφεῖα. Π. Τί ἀπεκρίνατο πρὸς τὸν ἄθλιον ζωγράφον δείξαντα αὐτῷ εἰκόνα, κ̀ εἰπόντα νῦν ταύτην γέγραφα; Σ. Καὶ ἢν μὴ λέγῃς, οἶδα, ὅτι ταχὺ γέγραπται, θαυμάζω δὲ, πῶς ȣ̓χὶ τοιαύτας πλείȣς γέγραφας. Π. Τίνες παρὰ τȣ̃τον ἐγένοντο ἐπιφανεῖς ζωγράφοι; Σ. Παῤῥάσιος κ̀ Ζεῦξις. Π. Πότερος τȣ́των ἦν γραφικώτερος; Σ. Ὁ Παῤῥάσιος. Π. Τῷ

τȣ̃τε

τȣ̃το κρίνεις; Σ. Ὅτι ὁ μὲν Ζεῦξις ἀπεϐȣκόλησε τȣ̀ς ὄρνιθας τῇ ςαφυλῇ, ὁ δὲ Παῤῥάσιος ἐξηπάτησε τὸν Ζεῦξιν τῇ σινδόνι. Π. Τίς ἔγραψε τὴν Στοὰν, ἐν ᾗ Ζήνων ἐδίδασκε ϗ ἐποίκιλε; Σ. Πολύγνωτος, ὃς ἦν ἄριςος γραφεύς. Π. Τίνες ἐγένοντο παρ' Ἕλλησιν ἄριςοι Ἑρμογλύφοι, ϗ ἐν τοῖς μάλιςα εὐδόκιμοι Λιθοξόοι; Σ. Φειδίας ϗ Λύσιππος. Π. Διὰ τί εἰσιν ȣ̂τοι διασημότατοι; Σ. Ὅτι θαυμασίᾳ τέχνῃ ἔγλυφον ἐν ἀργυρῷ καὶ χρυσῷ, μαρμάρῳ τε καὶ ἐλέφαντι. Π. Τίνες παρὰ τȣ́τȣς ἐγένοντο περίπυςοι Γλυφεῖς; Σ. Μύρων, Πολύκλειτος ϗ Πραξιτέλης. Π. Τίσιν ὀργάνοις χρῶνται ȣ̂τοι οἱ δημιȣργοί; Σ. Σμιλίοις, μοχλίοις, γλυφείοις, κοπεῦσι, κολαπτῆρσι ξυςῆρσι ϗ λαξευτηρίοις. Π. Τί τῶν ἐν Εὐρώπῃ ἐθνῶν διέλαμψε πρὸ τῶν ἄλλων ἐν τῇ μȣσικῇ ϗ γραφικῇ; Σ. Τὸ Ἰταλῶν· ȣ̂τοι γὰρ διήνεγκον ἁπάντων ταύταις δὴ ταῖς ἐλευθέραις τέχναις, ὡς τὰ αὐτοῖς εἰργασμένα σαφῶς τε ϗ ἀποχρώντως δείκνυσι.

ἘΛΛΗ-

ΔΕΚΑʹΣ Γ!

Περὶ τῶν μυθολογεμένων Θεῶν τῶν Εʹλλήνων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Διόσκερος. Αʹπολλόδωρος.

Δ. Τίνι ἐλάτρευον οἱ Εʹλληνες; Α. Τοῖς εἰδώλοις, ξοάνοις τε ϗ εἰκάσμασι τῶν παρʹ αὐτοῖς νομιζομένων Θεῶν. Δ. Πῶς διῄρεν τὲς Θεές; Α. Τριχῶς· εἰς τὲς Οὐρανίες, Εʹπιγείες ϗ Καταχθονίες. Δ. Πῶς ἐσέβοντο τὲς Οὐρανίες; Α. Εʹκαιον αὐτοῖς θυσίας ἐπὶ τῶν βωμῶν. Δ. Πῶς δὲ τὲς Εʹπιγείες; Α. Εʹθυον αὐτοῖς ἱερὰ ἐπὶ χθαμαλῶν τόπων. Δ. Πῶς δὲ τὲς Καταχθονίες; Α. Εʹσφαττον αὐτοῖς μέλανα ζῶα ἐν σπηλαίοις ϗ βόθροις. Δ. Τί ἐθυμίων αὐτοῖς; Α. Λιβανωτὸν, ὃν ἔκαιον ἐν θυμιατηρίοις. Δ. Τί ᾖδον εἰς τὲς Θεές; Α. Υʹμνες ϗ Παιᾶνας. Δ. Τίνας ἐκάλεν Δαίμονας; Α. Τὰς μεταξὺ Θεῶν ϗ Αʹνθρώπων φύσεις. Δ. Πῶς διῄρεν αὐτές; Α. Εἰς ἀγαθὲς ϗ πονηρές. Δ. Τί ἐδόξαζον περὶ αὐτῶν; Α. Ωʹοντο τὲς μὲν ἀγαθὲς προτρέπειν τὲς ἀνθρώπες ἐπὶ τὰ καλὰ, τὲς δὲ πονηρὲς ἐπὶ τὰ φαῦλα. Δ. Οʹποῖον ἦν τὸ Σωκράτες δαιμόνιον; Α. Αʹγαθόν. Δ. Τί ὑπηνίττετο τέτῳ Σωκράτης; Α. Τὸν ἐν ἡμῖν λόγον, ὅς οἷάτις Θεὸς εἰσηγεῖται ἡμῖν ἃ δεῖ ποιεῖν, ϗ ἃ μή.

ΔΙΑʹ-

ΔΙΑΛΟΓ. Β!

Δ. Τίς ἐνομίσθη ἀρχαιότατος Θεὸς τοῖς Ἕλλησιν; Α. Ὁ Οὐρανὸς, ὃς ἐγέννησε τὸν Κρόνον. Δ. Πῶς γράφεται οὗτος; Α. Γέρων κεκυφὼς, βαθὺ γένειον καθειμένος, πολιὸς τὴν κεφαλὴν, λήμης τὰς ὀφθαλμὰς μεςὸς ὢν, σιμὸς τὸν ῥῖνα, ἐῤῥυτιδωμένος τὴν ὄψιν, πελιδνὸς τὴν χρόαν, κρατῶν ἅρπην, εἴτ᾽ οὖν δρέπανον ἐν τῇ χειρί. Δ. Τί αἰνίττεται ἡ ἅρπη; Α. Τὸν χρόνον, ὃς πάντα καταναλίσκει, ϗ ὡς εἰπεῖν ἐκθερίζει. Δ. Τίνος γῆς ἦρξεν ὁ Κρόνος; Α. Τῆς Κρήτης. Δ. Διὰ τί ἡ ἀρχὴ αὐτᾶ καλεῖται χρυσᾶς αἰών; Α. Ὅτι ἡ γῆ αὐτομάτως ἤνεγκε καρπὰς. Δ. Πῶς πλάττεσι τὴν Φήμην; Α. Ἵππον πτερωτὸν, ὅτι ὀδὲν ταύτης ταχύτερον. Δ. Πῶς γράφεται ὁ Καιρός; Α. Νεανίας ἐπ᾽ ἄκρᾳ βεβηκὼς, πτερὰ περὶ τοῖν σκελοῖν ἔχων, ἐν δεξιᾷ ξυρὸν κατέχων, κατὰ μέτωπον κομῶν, ὄπισθεν φαλακρός. Δ. Τί ὑπαινίττεται ταῦτα; Α. Μὴ δεῖν προέσθαι αὐτὸν ἅπαξ δραξαμένας· ὅθεν Καιρῷ δέλευε. Δ. Τίνι ἐγένετο ὀλέθριος; Α. Τῷ Ἀρχίᾳ, ὃς ὑπερθέμενος ἐς τὴν αὔριον διελθεῖν τὴν ἐπιςολὴν, ἐν ᾗ ἀνεκαλύπτετο ἡ ἐπιβελὴ, νυκτὸς ἀπεπνίγη.

ΔΙΑΛΟΓ. Γ!

Δ. Πόσοι παῖδες ἐγένοντο τῷ Κρόνῳ; Α. Τρεῖς· Ζεὺς, Ποσειδὼν, ϗ Πλέτων. Δ. Πῶς ἐνείμαντο σφίσι τὴν ἀρχὴν μετὰ τὴν ἀποβίωσιν τᾶ πατρὸς αὐτῶν; Α. Διεκληρώσαντο περὶ αὐτῆς,

τῆς, καὶ ὁ μὲν Ζεὺς ἔλαχε τὴν ἄνω μοῖραν, ὁ δὲ Ποσειδῶν τὴν μέσην, ὁ δὲ Πλούτων τὴν κάτω. Δ. Τί προσανεπλάσαντο ἐκ τούτου οἱ Ποιηταί; Α. Τὸν μὲν Δία πεποιήκασι Θεὸν τοῦ πόλου, εἴτ' οὖν τοῦ οὐρανοῦ, τὸν δὲ Ποσειδῶνα τῆς ἁλὸς, εἴτ' οὖν τῆς θαλάσσης, τὸν δὲ Πλούτωνα τοῦ ᾅδου. Δ. Πῶς ἱστορεῖται τὸ ἄγαλμα τοῦ Διός; Α. Καθήμενον γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δεξιᾷ δὲ ἀετὸν προτεῖνον. Δ. Τί ὑπαινίττεται ταῦτα; Α. Τὸ ἑδραῖον καὶ ἀκατάληπτον καὶ ἀρχικόν. Δ. Τίς ἦν ὁ Ἑρμῆς; Α. Ὑπεργὸς καὶ ἄγγελος τῶν Θεῶν, μάλιστα δὲ τοῦ ὑπάτου Διὸς, οὗ τὰς ἀγγελίας κατὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν διέφερε· διὸ καὶ πτερωτὸν αὐτὸν ποιοῦσι διὰ τὴν ταχύτητα. Δ. Τίποτε δηλοῦν ἔοικεν ὁ Ἑρμῆς; Α. Τὸν λόγον, ὅς ὑπηρετικός ἐστι τοῦ νοὸς, καὶ ἐξαγγελτικὸς τῶν ἐν τῇ ψυχῇ παθημάτων. Δ. Διὰ τί ἱστῶσι τὸ ἄγαλμα αὐτοῦ βαστάζον μάρσυπον, εἴτ' οὖν βαλάντιον; Α. Ὅτι κέρδους αἴτιος καὶ ἐμπορίας ἔφορος πιστεύεται. Δ. Τί ἐστι τὸ ἐπίσημον αὐτοῦ; Α. Τὸ κηρύκειον; Δ. Ὁποῖόν τί ἐστι τοῦτο; Α. Ῥάβδος ἔχουσα ἑκατέρωθεν δύω ὄφεις περιπεπλεγμένους, καὶ ἀντιφιλοῦντας ἀλλήλους. Δ. Τί δηλοῖ τοῦτο τὸ σύμβολον; Α. Ὅτι δεῖ τοὺς πολεμίους διαλάττεσθαι τῷ λόγῳ, καὶ φιλεῖσθαι, καθάπερ οὗτοι οἱ ὄφεις ἀσπάζονται ἀλλήλους.

ΔΙΑʹΛΟΓ. Δ!

Δ. Τίνος παῖς ἐγένετο Ἀπόλλων; Α. Τοῦ Διὸς καὶ τῆς Λητοῦς. Δ. Πῶς πλάττουσι τὸ ἄγαλμα

μα αὐτῦ; Α. Μειράκιον γυμνὸν φόρμιγγα, εἴτ' ὖν κιθάραν ἐπὶ χειρῶν ἔχον. Δ. Πόσας χορδὰς ἔχει ἡ κινύρα, εἴτ' ὖν ἡ λύρα τῦ Ἀπόλλωνος; Α. Ἐννέα ἰσαρίθμυς ταῖς Μύσαις. Δ. Πῶς καλῦνται αὗται; Α. Καλλιόπη, Κλειὼ, Μελπομένη, Εὐτέρπη, Ἐρατὼ, Τερψιχώρη, Οὐρανία, Θάλεια, Πολύμνια. Δ. Πῦ δὲ κατῴκυν; Α. Ἐν Παρνασσῷ, Ἑλικῶνι, ϗ Πιερίᾳ· ὅθεν Πιερίδες ϗ Ἑλικωνιάδες. Δ. Τίνες εἰσὶν ὀπαδοὶ τῶν Μυσῶν; Α. Αἱ τρεῖς Χάριτες· Ἀγλαΐη Εὐφροσύνη, Θάλια. Δ. Πῶς γράφονται αὗται; Α. Παρθένοι γυμναὶ ϗ συνημμέναι ταῖς χερσί. Δ. Τίνος ἕνεκα; Α. Ὅτι δεῖ τὰς χάριτας καθαρὰς εἶναι ϗ ἀμοιβαίας. Δ· Πῦ ἐχρῶντο, εἴτ' ὖν ἐχρηςηριάζοντο τῷ Ἀπόλλωνι; Α. Ἐν Δελφοῖς. Δ. Τῦ χάριν; Α. Ἵνα μάθοιεν τὰ ἄδηλα ϗ ἀμφίδοξα. Δ. Τίς ἐμαντεύετο; Α. Ἡ Πυθία, ἥτις ἐπὶ τρίποδος δάφνης ἐκάθητο. Δ. Τί ὑπετόπαζον περὶ τύτυ τῦ χρηςηρίυ, εἴτ' ὖν μαντείυ; Α. Ἐπίςευον ἀληθέςατον ϗ ἀψευδέςατον εἶναι· ὅθεν τὰ ἐκ τρίποδος, ἐπὶ τῶν βεβαιοτάτων ϗ ἀναντιῤῥήτων. Δ. Τί ἦν πρὸς τῷ ἐν Δελφοῖς ναῷ γεγραμμένον; Α. Γνῶθι σαυτόν. Δ. Τίνες διεπόρθησαν τῦτον τὸν νεών; Α. Οἱ Φωκεῖς. Δ. Πῦ ἦσαν κείμενοι οἱ Δελφοί; Α. Ἐν τῷ ὀμφαλῷ τῆς Ἑλλάδος, ϗ ἐν τῷ κέντρῳ, ἢ ἐπίςευον, τῆς γῆς.

ΔΙΑΛΟΓ. Ε!

Δ. Τίς τῶν νομιζομένων Θεῶν μάλιςα τῶν ἄλλων ἐθρησκεύετο παρὰ Πέρσαις; Α. Ὁ Ἥλιος,

ὃν

ὃν Μίθραν αὐτοὶ ἐκάλουν. Δ. Τίνος παῖς μυθεύεται γενέσθαι; Α. Ὑπερίωνος ἑνὸς τῶν Τιτάνων, οἳ τὸν Δία καθελεῖν τοῦ θρόνου ἐπεχείρησαν. Δ. Πῶς ἐκαλεῖτο ὁ τοῦ Ἡλίου παῖς; Α. Φαέθων. Δ. Τί ἐμυθεύσαντο περὶ τούτου; Α. Ἐθελῆσαι αὐτὸν τὸ πατρῷον ἅρμα ἐλάσαι. Δ. Πῶς ἡνιόχησε; Α. Κάκιστα· κατέφλεξε γὰρ τὴν ὑφήλιον μὴ δυνάμενος κατέχειν τὸν χαλινὸν τῶν ἵππων, μηδ᾽ ἀναστέλλειν τὴν ὁρμὴν αὐτῶν. Δ. Τί δ᾽ οὖν ξυνέβη αὐτῷ; Α. Κατέπεσεν ἀπὸ τοῦ δίφρου ἐς τὸν Ἠριδανὸν, ἔνθα τέθαπται ὑπὸ τῶν ἀδελφῶν. Δ. Οὐκ ἀπέτρεψεν αὐτὸν ὁ Πατὴρ τοῦ πράγματος; Α. Σφόδρα γε· ἀλλ᾽ οὐκ ἐπείσθη αὐτῷ· ὅθεν ἐνέδωκεν ὁ πατὴρ ἐπὶ μεγίστῳ ἑαυτοῦ τε καὶ τοῦ παιδὸς κακῷ. Δ. Τί διδάσκει οὗτος ὁ μῦθος; Α. Μὴ δεῖν τοὺς πατέρας ἅπαντα ξυγχωρεῖν τοῖς υἱέσι, μηδὲ τούτους αὖ πάλιν ἀπειθεῖν τοῖς πατράσι. Δ. Τίνες μυθεύονται ὑπηρέτιδες τοῦ Ἡλίου γενέσθαι, καὶ τῶν πυλῶν τοῦ Οὐρανοῦ φύλακες; Α. Αἱ τρεῖς Ὧραι· Εἰρήνη, Εὐνομία καὶ Δίκη. Δ. Τί δὲ ἐπλάσαντο περὶ τῆς Ἠοῦς; Α. Ἐποχεῖσθαι ταύτην χρυσῇ ἁρμαμάξῃ λευκῶν ἵππων ἑλκόντων. Δ. Τίς λόγος φέρεται περὶ ταύτης; Α. Φίλη ταῖς Μούσαις ἠώς. Δ. Τί διδάσκονται τούτῳ οἱ Νέοι; Α. Πρωῒ ἀνίστασθαι, καὶ καθαρῷ νοῒ τὰς βίβλους διεξέρχεσθαι.

ΔΙΑ'ΛΟΓ. ΣΤ'

Δ. Πόθεν ἐκλήθησαν αἱ χρυσαῖ Ἀθῆναι; Α. Ἀπὸ τῆς Ἀθηνᾶς, τῆς καὶ Παλλάδος. Δ. Πό-

Πόθεν ἐμυθεύσαντο ταύτην τεχθῆναι; Α. Ἐκ τȣ̃ ἐγκεφάλȣ τȣ̃ Διός. Δ. Τί ὑπαινίττεται ȣ̃τος ὁ μῦθος; Α. Νοὸς ἐπιγέννημα τὴν σοφίαν εἶναι. Δ. Πῶς ἱςορεῖται ἡ Ἀθηνᾶ; Α. Παρθένος κόρη, γλαυκῶπις, ὑψηλὴ, αἰγίδα ἀνεζωσμένη, κόρυν φέρȣσα, ϗ δόρυ ἔχȣσα ϗ ἀσπίδα ϗ ἐλαίαν. Δ. Τί αἰνίττεται ταῦτα; Α. Τὸ ἀνδρεῖον ϗ σοφὸν ϗ καθαρὸν τȣ̃ νοός. Δ. Διὰ τί διδόασιν αὐτῇ Γοργόνα ἐπὶ τȣ̃ ςήθȣς; Α. Διὰ τὸ ταχὺ τȣ̃ νοός. Δ. Διὰ τί ἔῤῥιψε τȣ̀ς αὐλȣ́ς; Α. Διὰ τὸ τὴν ὄψιν αὐτῆς ἄμορφον ποιεῖν. Δ. Πῶς γράφεται ἡ Ἄρτεμις; Α. Παρθένος κόρη, εὐειδὴς, τόξα φέρȣσα ϗ φαρέτραν ϗ κύνας ἐπαγομένη. Δ. Τίνος ἕνεκα; Α. Ὅτι ἔφορος ἦν τῆς κυνηγετικῆς. Δ. Πȣ̃ ἐθρησκεύετο αὕτη; Α. Ἐν διαφόροις μὲν χώραις, διαφερόντως δὲ ἐν Ἐφέσῳ, ἔνθα νεὼν περιώνυμον ἔχεν, ὃς ἦν ἓν τῶν ἑπτὰ τȣ̃ Κόσμȣ θαυμασίων. Δ. Τȣ̃ χάριν; Α. Ὅτι ὑπὸ ἑκατὸν ϗ εἴκοσι βασιλέων ᾠκοδόμητο, ϗ τοσȣ́τοις ἴσοις κίοσιν εἴτ᾽ ȣ̃ν ςύλοις ὑπερείριςο. Δ. Τίνος ἕνεκεν ἐνέπρησε τὸν νεὼν Ἡρόςρατος; Α. Ἵν᾽ ἀθάνατος εἴη ἡ μνήμη τȣ̃ ὀνόματος αὐτȣ̃.

ΔΙΑʹΛΟΓ. Ζ!

Δ. Τί ξυνέϐη ἐν Οὐρανῷ τῶν Θεῶν εὐωχȣμένων; Α. Ἔρις δεινὴ ἐκινήθη μεταξὺ τῆς Ἥρας, Ἀθηνᾶς ϗ Ἀφροδίτης. Δ. Περὶ τίνος ἐγένετο αὐταῖς ἡ ἔρις; Α. Περὶ τȣ̃ χρυσȣ̃ μήλȣ, ὅπερ ἡ Ἔρις προῆκεν ἐπὶ τῆς τραπέζης μὴ κληθεῖσα εἰς τὴν τῶν Θεῶν εὐωχίαν. Δ. Τί ἐπεγε-

γέγραπτο τῷ μήλῳ; Α. Ἡ καλλίςη λαβέτω. Δ. Τίς περιεποιήσατο τὸ μῆλον; Α. Ἡ Ἥρα· ἐπεὶ δὲ ἥ τε Ἀθηνᾶ ϗ ἡ Ἀφροδίτη ἔχειν αὐτὸ ἐβέλοντο, διηνέχθησαν πρὸς ἀλλήλας. Δ. Τίνα ἐν εἵλοντο δικαςὴν τέτε πέρι; Α. Ἀλέξανδρον τὸν ϗ Πάριν. Δ. Τίνι ἐπιψηφίσατο τὸ μῆλον; Α. Τῇ Ἀφροδίτῃ, ἥτις ἔδοξεν αὐτῷ καλλίςη ἁπασῶν εἶναι. Δ. Πόθεν μυθεύεται αὕτη γεγονέναι; Α. Ἐκ τε ἀφρε τῆς θαλάττης. Δ. Τίς ἐςιν ὀπαδὸς αὐτῆς; Α. Ὁ Ἔρως. Δ. Πῶς γράφεται ἕτος; Α. Βρέφος φέρον τόξον ϗ φαρέτραν. Δ. Τί δηλοῖ ἡ Ἀφροδίτη; Α. Τὴν ἐπιθυμίαν. Δ. Τί δὲ ὁ Ἔρως; Α. Τὴν ἀφορμὴν ϗ τὸ κέντρον τῆς ἐπιθυμίας. Δ. Τί ἒν διδασκόμεθα ἐκ τέτε; Α. Ὅτι δεῖ φεύγειν τὰς ἀφορμὰς τε πάθες.

ΔΙΑʹΛΟΓ. Η!

Δ. Τίς ἦλθεν εἰς ἔριν τῷ Ἀπόλλωνι περὶ μεσικῆς; Α. Ὁ Πὰν, ὃν πρῶτόν φασι καλάμες συνάψαντα κηρῷ ποιῆσαι σύριγγα ϗ ᾆσαι. Δ. Τίνα ἐκάθισαν δικαςὴν τε ἀγῶνος; Α. Μίδαν τὸν Φρύγα, Δ. Τίνι ἀπένειμε τὴν νίκην; Α. Τῷ Πανί. Δ. Πῶς ἠμείψατο αὐτὸν ὁ Ἀπόλλων τῆςδε τῆς δίκης; Α. Περιῆψεν αὐτῷ ὄνε ὦτα· ὅθεν παροιμία· Μίδε ὦτα ἔχειν. Δ. Τίνων θεὸς ἦν ὁ Πάν; Α. Τῶν ποιμένων. Δ. Πῶς ἱςορεῖται; Α. Κέρατα ἔχων, ϗ γένειον βαθὺ καθειμένος ὀλίγον τράγε διαφέρων, ϗ νευρίδιον ἐπ᾽ ὤμων ἔχων ϗ καλαύροπα ϗ σύριγγα. Δ. Τίνες ὀπαδοὶ τε Πανός; Α. Οἱ Σάτυροι, οἱ ϗ

Τί-

Τίτυροι. Δ. Πῶς γράφονται ὗτοι; Α. Ὀξεῖς τὰ ὦτα, φαλακροὶ, κεράςαι, ϗ ὐρὰς ἔχοντες. Δ. Τί ἐμυθεύσαντο περὶ τῦ Πανός; Α. Ἐμβάλλειν ἀφνίδιον φόβον ϗ τάραχον τοῖς ςρατιώταις ἐν ταῖς μάχαις, ὃς πανικὸς φόβος ϗ πανικὸν δεῖμα καλεῖται.

ΔΙΆΛΟΓ. Θ!

Δ. Τίς Θεὸς τῦ πολέμυ; Α. Ὁ Ἄρης. Δ. Πῶς γράφεται ὗτος; Α. Νεανίας χαλεπὸς τὸ εἶδος, ἄγριος τὸ βλέμμα, τραχὺς τὴν φωνὴν, ϗ πῦρ πνέων. Δ. Τίς ἐφεῦρε τὸ πῦρ; Α. Ὁ Ἥφαιςος. Δ. Πῶς ἱςορεῖται; Α. Μέλας, δυσειδὴς, ϗ χωλὸς τὸν ἕτερον πόδα. Δ. Διὰ τί πλάττεται χωλεύων; Α. Ὅτι ἀπωσθεὶς τῦ θεσπεσίυ βηλῦ ὑπὸ τῦ Διὸς ξυνετρίβη τὸν πόδα κατὰ τὸν Ποιητήν. Δ. Τίνων θεός ἐςι; Α. Τῶν σιδηρυργῶν. Δ. Πῦ ἔσχε τὸ σιδηρυργεῖον; Α. Ἐν Λήμνῳ. Δ. Πόθεν ἐπλάσθη ὗτος ὁ μῦθος; Α. Ὅτι ἐν ταύτῃ τῇ νήσῳ πρῶτον ἐχαλκεύθη ὅπλα. Δ. Τίνας συνεργὺς αὐτῷ διδόασι; Α. Τὺς Κύκλωπας, Βρόντην, Στερόπην ϗ Πυράκμονα, ὧν ἕκαςος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τῦ μετώπυ. Δ. Τίσιν ὀργάνοις χρῶνται οἱ Χαλκεῖς; Α. Τῇ σφύρᾳ, ἥπερ ὁ σίδηρος κόπτεται ἐπὶ τῦ ἄκμονος, τῇ ῥίνῃ, ἥπερ λεαίνεται, τῇ πυράγρᾳ, ἥπερ ςρέφεται ὁ πεπυρωμένος σίδηρος, ϗ τῇ φύσῃ, ἥπερ ἀναῤῥιπίζεται τὸ πῦρ. Δ. Πῶς ἐκτρίβυσι τὸ πῦρ ἐκ τῦ χάλυβος; Α. Τῷ πυρίτῃ λίθῳ. Δ. Τίς ἡ χρῆσις τῦ πυράνυ; Α. Τύτῳ κομίζυσι τὺς ἐμπύρυς ἄνθρακας.

ΔΙΑ-

ΔΙΑʹΛΟΓ. Ι!

Δ. Τίς ἐδίδαξε τὰς ἀνθρώπυς σπείρειν τὴν γῆν, ϗ ἄρτον ὀπτᾷν; Α. Ἡ θεὰ Δημήτηρ, ἣ ϗ τὴν χρησέραν εὗρεν, ἥπερ τὸ ἄλφιτον εἴτ' ὖν τὸ ἄλευρον ἀποκρίνεται τῦ πιτύρυ. Δ. Πῶς γράφεται αὕτη; Α. Γυνὴ εὐπρόσωπος, ξανθὴ τὴν κόμην, κίδαριν κατὰ κεφαλῆς ἔχυσα, ϗ τῇ μὲν δεξιᾷ δᾷδα ἡμμένην προτείνυσα, τῇ δὲ λαιᾷ δράγμα ςαχύων ἔχυσα. Δ. Διὰ τί διδόασιν αὐτῇ δᾷδας ἡμμένας; Α. Ὅτι μετὰ τύτων ἐζήτησε τὴν Κόρην, εἴτ' ὖν τὴν Περσεφόνην. Δ. Τίς ἥρπασε ταύτην; Α. Ὁ Πλύτων, ὁ ϗ Αἰδωνεύς. Δ. Ἀντὶ τίνος; Α. Ἐπείπερ ὐδεμία τῶν Θεῶν ἑκῦσα εἰς γάμον ἐλθεῖν ἐβύλετο. Δ. Τίς ἐφρύρει τὸν ᾅδην; Α. Ὁ Κέρβερος, ὃς μυθεύεται κύων τρικέφαλος ϗ καρχαρόδυς γενέσθαι. Δ. Τίς ἦν ὁ Χάρων; Α. Πορθμεὺς τῦ Ἅδυ, ὃς διεκόμιζεν ἐκεῖσε τὺς τεθνεῶτας ἐν τῷ πορθμείῳ. Δ. Τί ἐδίδων αὐτῷ οἱ τελευτῶντες; Α. Ὀβολὸν Δανάκη καλύμενον. Δ. Τίνες ἦσαν οἱ ἐν Ἅδυ δικάζοντες; Α. Μίνως, Αἰακὸς ϗ Ῥαδάμανθυς. Δ. Διὰ τί ᾑρέθησαν ὗτοι δικαςαί; Α. Διὰ τὴν ἄκραν αὐτῶν δικαιοσύνην ϗ ἐπιείκειαν. Δ. Ποῖ ἀπέπεμπον τὺς δικαζομένυς; Α. Τὰς μὲν ἀγαθὺς ϗ εὐσεβεῖς ἄνδρας εἰς τὸ Ἠλύσιον πεδίον, ϗ εἰς τὰς Μακάρων νήσυς, τὺς δὲ πονηρὺς ϗ ἀσεβεῖς εἰς τὸν Τάρταρον ϗ Πυριφλεγέθοντα· ὧν ὁ μὲν ἦν πυρωδέςατος, ὁ δὲ ψυχρότατος. Δ. Πόσαι Μοῖραι ἐπλάττοντο; Α. Τρεῖς· Κλωθὼ, Λάχεσις ϗ Ἄτροπος· ὧν ἡ μὲν Κλωθὼ τὴν ἠλακάτην φορεῖ, ϗ κλώθει

τὸ

τὸ λίνον· ἡ δὲ Λάχεσις τὸν ἄτρακτον ἐπιςρέφει, ἡ δὲ Αʹτροπος τέμνει τὸ νῆμα τῇ ψαλίδι. Δ. Τίνες ἦσαν αἱ τιμωρητικαὶ θεαὶ τȣ̃ ἄδȣ; Α. Αἱ Εʹριννύες, αἱ ϰ̀ Σεμναὶ ϰ̀ Εὐμενίδες κατʼ ἀντίφρασιν καλȣ́μεναι. Δ. Τί ἔργον εἶχον αὗται; Α. Ἤλαυνον τȣ̀ς πονηρȣ̀ς ϰ̀ ἐξαγίςȣς ἡμμέναις δᾳσὶ ϰ̀ λαμπάσι. Δ. Πόσαι μυθεύονται γενέσθαι; Α. Τρεῖς· Αʹληκτὼ, Μέγαιρα καὶ Τισιφόνη. Δ. Τί συνάγεται ἐντεῦθεν; Α. Πεπιςευκέναι τȣ̀ς Εʹλληνας ἀθανασίαν ψυχῆς, ϰ̀ ἀνταπόδοσιν τῶν ἔργων μετὰ τὴν ἐνθένδε λῆξιν.

ΔΕΚΑʹΣ Δ!

Περὶ τῶν νομιζομένων Ἡρώων τῶν Εʹλλήνων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Ἡρόφιλος. Παλαίφατος.

Η. Τίνες ἤκȣσαν παρʼ Εʹλλησιν Ἥρωες καὶ Ἡμίθεοι; Π. Οἱ ἐκ θεῶν ϰ̀ ἀνθρώπων γενόμενοι, ϰ̀ ἀρετῇ τῶν ἄλλων διενεγκόντες, ϰ̀ διʼ αὐτὸ τȣ̃το μετὰ θάνατον ἀποθεωθέντες. Η. Πῶς ὥριςαι τῷ Λȣκιανῷ ὁ Ἥρως; Π. Σύνθετόν τι ἐξ ἀνθρώπȣ ϰ̀ θεȣ̃, ὃ μήτε θεός ἐςι, μήτε ἄνθρωπος, καὶ συναμφότερόν ἐςι. Η. Τίς λέγεται πρῶτος παρʼ Εʹλλησιν Ἥρως γενέσθαι;

ΔΕΚΑʹΣ Γ!

Περὶ τῶν μυθολογεμένων Θεῶν τῶν Εʹλλήνων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Διόσκερος. Αʹπολλόδωρος.

Δ. Τίνι ἐλάτρευον οἱ Εʹλληνες; Α. Τοῖς εἰδώλοις, ξοάνοις τε ϗ εἰκάσμασι τῶν παρ᾽ αὐτοῖς νομιζομένων Θεῶν. Δ. Πῶς διῄρυν τὺς Θεὺς; Α. Τριχῶς· εἰς τὺς Οὐρανίυς, Εʹπιγείυς ϗ Καταχθονίυς. Δ. Πῶς ἐσέβοντο τὺς Οὐρανίυς; Α. Εʹκαιον αὐτοῖς θυσίας ἐπὶ τῶν βωμῶν. Δ. Πῶς δὲ τὺς Εʹπιγείυς; Α. Εʹθυον αὐτοῖς ἱερὰ ἐπὶ χθαμαλῶν τόπων. Δ. Πῶς δὲ τὺς Καταχθονίυς; Α. Εʹσφαττον αὐτοῖς μέλανα ζῶα ἐν σπηλαίοις ϗ βόθροις. Δ. Τί ἐθυμίων αὐτοῖς; Α. Λιβανωτὸν, ὃν ἔκαιον ἐν θυμιατηρίοις. Δ. Τί ᾖδον εἰς τὺς Θεὺς; Α. Υʹμνυς ϗ Παιᾶνας. Δ. Τίνας ἐκάλυν Δαίμονας; Α. Τὰς μεταξὺ Θεῶν ϗ Αʹνθρώπων φύσεις. Δ. Πῶς διῄρυν αὐτὺς; Α. Εἰς ἀγαθὺς ϗ πονηρὺς. Δ. Τί ἐδόξαζον περὶ αὐτῶν; Α. Ωʹοντο τὺς μὲν ἀγαθὺς προτρέπειν τὺς ἀνθρώπυς ἐπὶ τὰ καλὰ, τὺς δὲ πονηρὺς ἐπὶ τὰ φαῦλα. Δ. Οʹποῖον ἦν τὸ Σωκράτυς δαιμόνιον; Α. Αʹγαθόν. Δ. Τί ὑπῃνίττετο τύτῳ Σωκράτης; Α. Τὸν ἐν ἡμῖν λόγον, ὃς οἱάτις Θεὸς εἰσηγεῖται ἡμῖν ἃ δεῖ ποιεῖν, ϗ ἃ μή.

ΔΙΑʹ-

ΔΙΑ'ΛΟΓ. Β!

Δ. Τίς ἐνομίσθη ἀρχαιότατος Θεὸς τοῖς Ε῍λησιν; Α. Ο῾ Οὐρανὸς, ὃς ἐγέννησε τὸν Κρόνον. Δ. Πῶς γράφεται ἔτος; Α. Γέρων κεκυφὼς, βαθὺ γένειον καθειμένος, πολιὸς τὴν κεφαλὴν, λήμης τὲς ὀφθαλμὲς μεςὸς ὢν, σιμὸς τὸν ῥῖνα, ἐῤῥυτιδωμένος τὴν ὄψιν, πελιδνὸς τὴν χρόαν, κρατῶν ἅρπην, εἴτ᾽ ἔν δρέπανον ἐν τῇ χειρί. Δ. Τί αἰνίττεται ἡ ἅρπη; Α. Τὸν χρόνον, ὃς πάντα καταναλίσκει, ἢ ὡς εἰπεῖν ἐκθερίζει. Δ. Τίνος γῆς ἦρξεν ὁ Κρόνος; Α. Τῆς Κρήτης. Δ. Διὰ τί ἡ ἀρχὴ αὐτȣ̃ καλεῖται χρυσȣ̃ς αἰών; Α. Ο῞τι ἡ γῆ αὐτομάτως ἤνεγκε καρπὲς. Δ. Πῶς πλάττȣσι τὴν Φήμην; Α. Ι῞ππον πτερωτὸν, ὅτι ȣ̓δὲν ταύτης ταχύτερον. Δ. Πῶς γράφεται ὁ Καιρός; Α. Νεανίας ἐπ᾽ ἄκρα βεϐηκὼς, πτερὰ περὶ τοῖν σκελοῖν ἔχων, ἐν δεξιᾷ ξυρὸν κατέχων, κατὰ μέτωπον κομῶν, ὄπισθεν φαλακρός. Δ. Τί ὑπαινίττεται ταῦτα; Α. Μὴ δεῖν προέσθαι αὐτὸν ἅπαξ δραξαμένȣς· ὅθεν Καιρῷ δȣ́λευε. Δ. Τίνι ἐγένετο ὀλέθριος; Α. Τῷ Α᾽ρχίᾳ, ὃς ὑπερθέμενος ἐς τὴν αὔριον διελθεῖν τὴν ἐπιςολὴν, ἐν ᾗ ἀνεκαλύπτετο ἡ ἐπιβȣλὴ, νυκτὸς ἀπεκνίγη.

ΔΙΑ'ΛΟΓ. Γ!

Δ. Πόσοι παῖδες ἐγένοντο τῷ Κρόνῳ; Α. Τρεῖς· Ζεὺς, Ποσειδῶν, ἢ Πλȣ́των. Δ. Πῶς ἐνείμαντο σφίσι τὴν ἀρχὴν μετὰ τὴν ἀποϐίωσιν τȣ̃ πατρὸς αὐτῶν; Α. Διεκληρώσαντο περὶ αὐ-

τῆς,

τῆς, καὶ ὁ μὲν Ζεὺς ἔλαχε τὴν ἄνω μοῖραν, ὁ δὲ Ποσειδῶν τὴν μέσην, ὁ δὲ Πλούτων τὴν κάτω. Δ. Τί προσανεπλάσαντο ἐκ τούτου οἱ Ποιηταί; Α. Τὸν μὲν Δία πεποιήκασι Θεὸν τοῦ πόλου, εἴτ' οὖν τοῦ οὐρανοῦ, τὸν δὲ Ποσειδῶνα τῆς ἁλὸς, εἴτ' οὖν τῆς θαλάσσης, τὸν δὲ Πλούτωνα τοῦ ᾅδου. Δ. Πῶς ἱστορεῖται τὸ ἄγαλμα τοῦ Διός; Α. Καθήμενον γυμνὰ ἔχον τὰ ἄνω, τὰ δὲ κάτω ἐσκεπασμένα, κρατοῦν τῇ μὲν εὐωνύμῳ σκῆπτρον, τῇ δεξιᾷ δὲ ἀετὸν προτεῖνον. Δ. Τί ὑπαινίττεται ταῦτα; Α. Τὸ ἑδραῖον καὶ ἀκατάληπτον καὶ ἀρχικόν. Δ. Τίς ἦν ὁ Ἑρμῆς; Α. Ὑπουργὸς καὶ ἄγγελος τῶν Θεῶν, μάλιστα δὲ τοῦ ὑπάτου Διὸς, οὗ τὰς ἀγγελίας κατὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν διέφερε· διὸ καὶ πτερωτὸν αὐτὸν ποιοῦσι διὰ τὴν ταχύτητα. Δ. Τίποτε δηλοῦν ἔοικεν ὁ Ἑρμῆς; Α. Τὸν λόγον, ὃς ὑπηρετικός ἐστι τοῦ νοὸς, καὶ ἐξαγγελτικὸς τῶν ἐν τῇ ψυχῇ παθημάτων. Δ. Διὰ τί ἱστῶσι τὸ ἄγαλμα αὐτοῦ βαστάζον μάρσυπον, εἴτ' οὖν βαλάντιον; Α. Ὅτι κέρδους αἴτιος καὶ ἐμπορίας ἔφορος πιστεύεται. Δ. Τί ἐστι τὸ ἐπίσημον αὐτοῦ; Α. Τὸ κηρύκειον; Δ. Ὁποῖόν τί ἐστι τοῦτο; Α. Ῥάβδος ἔχουσα ἑκατέρωθεν δύω ὄφεις περιπεπλεγμένους, καὶ ἀντιφιλοῦντας ἀλλήλους. Δ. Τί δηλοῖ τοῦτο τὸ σύμβολον; Α. Ὅτι δεῖ τοὺς πολεμίους διαλάττεσθαι τῷ λόγῳ, καὶ φιλοῦσθαι, καθάπερ οὗτοι οἱ ὄφεις ἀσπάζονται ἀλλήλους.

ΔΙΑʹΛΟΓ. Δ!

Δ. Τίνος παῖς ἐγένετο Ἀπόλλων; Α. Τοῦ Διὸς καὶ τῆς Λητοῦς. Δ. Πῶς πλάττουσι τὸ ἄγαλμα

μα αὐτοῦ; Α. Μειράκιον γυμνὸν φόρμιγγα, εἴτ' οὖν κιθάραν ἐπὶ χειρῶν ἔχον. Δ. Πόσας χορδὰς ἔχει ἡ κινύρα, εἴτ' οὖν ἡ λύρα τοῦ Ἀπόλλωνος; Α. Ἐννέα ἰσαρίθμους ταῖς Μούσαις. Δ. Πῶς καλοῦνται αὗται; Α. Καλλιόπη, Κλειώ, Μελπομένη, Εὐτέρπη, Ἐρατώ, Τερψιχώρη, Οὐρανία, Θάλεια, Πολύμνια. Δ. Ποῦ δὲ κατῴκουν; Α. Ἐν Παρνασσῷ, Ἑλικῶνι, καὶ Πιερίᾳ· ὅθεν Πιερίδες καὶ Ἑλικωνιάδες. Δ. Τίνες εἰσὶν ὀπαδοὶ τῶν Μουσῶν; Α. Αἱ τρεῖς Χάριτες· Ἀγλαΐη Εὐφροσύνη, Θάλια. Δ. Πῶς γράφονται αὗται; Α. Παρθένοι γυμναὶ καὶ συνημμέναι ταῖς χερσί. Δ. Τίνος ἕνεκα; Α. Ὅτι δεῖ τὰς χάριτας καθαρὰς εἶναι καὶ ἀμοιβαίας. Δ. Ποῦ ἐχρῶντο, εἴτ' οὖν ἐχρηστηριάζοντο τῷ Ἀπόλλωνι; Α. Ἐν Δελφοῖς. Δ. Τοῦ χάριν; Α. Ἵνα μάθοιεν τὰ ἄδηλα καὶ ἀμφίδοξα. Δ. Τίς ἐμαντεύετο; Α. Ἡ Πυθία, ἥτις ἐπὶ τρίποδος δάφνης ἐκάθητο. Δ. Τί ὑπετόπαζον περὶ τούτου τοῦ χρηστηρίου, εἴτ' οὖν μαντείου; Α. Ἐπίστευον ἀληθέστατον καὶ ἀψευδέστατον εἶναι· ὅθεν τὰ ἐκ τρίποδος, ἐπὶ τῶν βεβαιοτάτων καὶ ἀναντιῤῥήτων. Δ. Τί ἦν πρὸς τῷ ἐν Δελφοῖς ναῷ γεγραμμένον; Α. Γνῶθι σαυτόν. Δ. Τίνες διεπόρθησαν τοῦτον τὸν νεών; Α. Οἱ Φωκεῖς. Δ. Ποῦ ἦσαν κείμενοι οἱ Δελφοί; Α. Ἐν τῷ ὀμφαλῷ τῆς Ἑλλάδος, καὶ ἐν τῷ κέντρῳ, ἢ ἐπίστευον, τῆς γῆς.

ΔΙΑ'ΛΟΓ. Ε!

Δ. Τίς τῶν νομιζομένων Θεῶν μάλιστα τῶν ἄλλων ἐθρησκεύετο παρὰ Πέρσαις; Α. Ὁ Ἥλιος,

ὃν

ὃν Μίθραν αὐτοὶ ἐκάλϩν. Δ. Τίνος παῖς μυθεύεται γενέσθαι; Α. Ὑπερίωνος ἑνὸς τῶν Τιτάνων, οἳ τὸν Δία καθελεῖν τϩ͂ θρόνϩ ἐπεχείρησαν. Δ. Πῶς ἐκαλεῖτο ὁ τϩ͂ Ἡλίϩ παῖς; Α. Φαέθων. Δ. Τί ἐμυθεύσαντο περὶ τϩ́τϩ; Α. Ἐθελῆσαι αὐτὸν τὸ πατρῷον ἅρμα ἐλάσαι. Δ. Πῶς ἡνιόχησε; Α. Κάκιςα· κατέφλεξε γὰρ τὴν ὑφήλιον μὴ δυνάμενος κατέχειν τὸν χαλινὸν τῶν ἵππων, μηδʼ ἀναςέλλειν τὴν ὁρμὴν αὐτῶν. Δ. Τί δʼ ϩ̓͂ν ξυνέβη αὐτῷ; Α. Κατέπεσεν ἀπὸ τϩ͂ δίφρϩ ἐς τὸν Ἠριδανὸν, ἔνθα τέθαπται ὑπὸ τῶν ἀδελφῶν. Δ. Οὐκ ἀπέτρεψεν αὐτὸν ὁ Πατὴρ τϩ͂ πράγματος; Α. Σφόδρα γε· ἀλλʼ ϩ̓κ ἐπείσθη αὐτῷ· ὅθεν ἐνέδωκεν ὁ πατὴρ ἐπὶ μεγίςῳ ἑαυτϩ͂ τε ϗ τϩ͂ παιδὸς κακῷ. Δ. Τί διδάσκει ϩ̔͂τος ὁ μῦθος; Α. Μὴ δεῖν τϩ̀ς πατέρας ἅπαντα ξυγχωρεῖν τοῖς ὑιέσι, μηδὲ τϩ́τϩς αὖ πάλιν ἀπειθεῖν τοῖς πατράσι. Δ. Τίνες μυθεύονται ὑπηρέτιδες τϩ͂ Ἡλίϩ γενέσθαι, ϗ τῶν πυλῶν τϩ͂ Οὐρανϩ͂ φύλακες; Α. Αἱ τρεῖς Ὧραι· Εἰρήνη, Εὐνομία ϗ Δίκη. Δ. Τί δὲ ἐπλάσαντο περὶ τῆς Ἠϩ͂ς; Α. Ἐποχεῖσθαι ταύτην χρυσῇ ἁρμαμάξῃ λευκῶν ἵππων ἑλκόντων. Δ. Τίς λόγος φέρεται περὶ ταύτης; Α. Φίλη ταῖς Μϩ́σαις ἠώς. Δ. Τί διδάσκονται τϩ́τῳ οἱ Νέοι; Α. Πρωῒ ἀνίςασθαι, ϗ καθαρῷ νοῒ τὰς βίβλϩς διεξέρχεσθαι.

ΔΙΑʼΛΟΓ. ΣΤ!

Δ. Πόθεν ἐκλήθησαν αἱ χρυσαῖ Ἀθῆναι; Α. Ἀπὸ τῆς Ἀθηνᾶς, τῆς ϗ Παλλάδος. Δ. Πό-

Πόθεν ἐμυθεύσαντο ταύτην τεχθῆναι; Α. Ἐκ τοῦ ἐγκεφάλου τοῦ Διός. Δ. Τί ὑπαινίττεται οὗτος ὁ μῦθος; Α. Νοὸς ἐπιγέννημα τὴν σοφίαν εἶναι. Δ. Πῶς ἱστορεῖται ἡ Ἀθηνᾶ; Α. Παρθένος κόρη, γλαυκῶπις, ὑψηλὴ, αἰγίδα ἀνεζωσμένη, κόρυν φέρουσα, καὶ δόρυ ἔχουσα καὶ ἀσπίδα καὶ ἐλαίαν. Δ. Τί αἰνίττεται ταῦτα; Α. Τὸ ἀνδρεῖον καὶ σοφὸν καὶ καθαρὰν τοῦ νοός. Δ. Διὰ τί διδόασιν αὐτῇ Γοργόνα ἐπὶ τοῦ στήθους; Α. Διὰ τὸ ταχὺ τοῦ νοός. Δ. Διὰ τί ἔῤῥιψε τοὺς αὐλούς; Α. Διὰ τὸ τὴν ὄψιν αὐτῆς ἄμορφον ποιεῖν. Δ. Πῶς γράφεται ἡ Ἄρτεμις; Α. Παρθένος κόρη, εὐειδὴς, τόξα φέρουσα καὶ φαρέτραν καὶ κύνας ἐπαγομένη. Δ. Τίνος ἕνεκα; Α. Ὅτι ἔφορος ἦν τῆς κυνηγετικῆς. Δ. Ποῦ ἐθρησκεύετο αὕτη; Α. Ἐν διαφόροις μὲν χώραις, διαφερόντως δὲ ἐν Ἐφέσῳ, ἔνθα νεὼν περιώνυμον ἔσχεν, ὃς ἦν ἓν τῶν ἑπτὰ τοῦ Κόσμου θαυμασίων. Δ. Τοῦ χάριν; Α. Ὅτι ὑπὸ ἑκατὸν καὶ εἴκοσι βασιλέων ᾠκοδόμητο, καὶ τοσούτοις ἴσοις κίοσιν εἴτ' οὖν στύλοις ὑπερείριστο. Δ. Τίνος ἕνεκεν ἐνέπρησε τὸν νεὼν Ἡρόστρατος; Α. Ἵν' ἀθάνατος εἴη ἡ μνήμη τοῦ ὀνόματος αὐτοῦ.

ΔΙΆΛΟΓ. Ζ!

Δ. Τί ξυνέβη ἐν Οὐρανῷ τῶν Θεῶν εὐωχουμένων; Α. Ἔρις δεινὴ ἐκινήθη μεταξὺ τῆς Ἥρας, Ἀθηνᾶς καὶ Ἀφροδίτης. Δ. Περὶ τίνος ἐγένετο αὐταῖς ἡ ἔρις; Α. Περὶ τοῦ χρυσοῦ μήλου, ὅπερ ἡ Ἔρις προῆκεν ἐπὶ τῆς τραπέζης μὴ κληθεῖσα εἰς τὴν τῶν Θεῶν εὐωχίαν. Δ. Τί ἐπεγέ-

γέγραπτο τῷ μήλῳ; Α. Ἡ καλλίςῃ λαβέτω. Δ. Τίς περιεποιήσατο τὸ μῆλον; Α. Ἡ Ἥρα· ἐπεὶ δὲ ἥ τε Ἀθηνᾶ ϗ ἡ Ἀφροδίτη ἔχειν αὐτὸ ἐβέλοντο, διηνέχθησαν πρὸς ἀλλήλας. Δ. Τίνα ἦν εἵλοντο δικαςὴν τέτε πέρι; Α. Ἀλέξανδρον τὸν ϗ Πάριν. Δ. Τίνι ἐπιψηφίσατο τὸ μῆλον; Α. Τῇ Ἀφροδίτῃ, ἥτις ἔδοξεν αὐτῷ καλλίςη ἁπασῶν εἶναι. Δ. Πόθεν μυθεύεται αὕτη γεγονέναι; Α. Ἐκ τῆ ἀφρῆ τῆς θαλάττης. Δ. Τίς ἐςιν ὀπαδὸς αὐτῆς; Α. Ὁ Ἔρως. Δ. Πῶς γράφεται ἆτος; Α. Βρέφος φέρον τόξον ϗ φαρέτραν. Δ. Τί δηλοῖ ἡ Ἀφροδίτη; Α. Τὴν ἐπιθυμίαν. Δ. Τί δὲ ὁ Ἔρως; Α. Τὴν ἀφορμὴν ϗ τὸ κέντρον τῆς ἐπιθυμίας. Δ. Τί ὖν διδασκόμεθα ἐκ τέτε; Α. Ὅτι δεῖ φεύγειν τὰς ἀφορμὰς τῆ πάθες.

ΔΙΑΛΟΓ. Η!

Δ. Τίς ἦλθεν εἰς ἔριν τῷ Ἀπόλλωνι περὶ μεσικῆς; Α. Ὁ Πὰν, ὃν πρῶτόν φασι καλάμες συνάψαντα κηρῷ ποιῆσαι σύριγγα ϗ ᾆσαι. Δ. Τίνα ἐκάθισαν δικαςὴν τῆ ἀγῶνος; Α. Μίδαν τὸν Φρύγα. Δ. Τίνι ἀπένειμε τὴν νίκην; Α. Τῷ Πανί. Δ. Πῶς ἠμείψατο αὐτὸν ὁ Ἀπόλλων τῆςδε τῆς δίκης; Α. Περιῆψεν αὐτῷ ὄνε ὦτα· ὅθεν παροιμία· Μίδε ὦτα ἔχειν. Δ. Τίνων θεὸς ἦν ὁ Πάν; Α. Τῶν ποιμένων. Δ. Πῶς ἱςορεῖται; Α. Κέρατα ἔχων, ϗ γένειον βαθὺ καθειμένος, ὀλίγον τράγε διαφέρων, ϗ νευρίδιον ἐπ' ὤμων ἔχων ϗ καλαύροπα ϗ σύριγγα. Δ. Τίνες ὀπαδοὶ τῆ Πανός; Α. Οἱ Σάτυροι, οἱ ϗ

Τί-

Τίτυροι. Δ. Πῶς γράφονται ἔτοι; Α. Ὀξεῖς τὰ ὦτα, φαλακροὶ, κεράςαι, καὶ ἐρὰς ἔχοντες. Δ. Τί ἐμυθεύσαντο περὶ τῦ Πανός; Α. Εʹμβάλλειν αἰφνίδιον φόβον καὶ τάραχον τοῖς ςρατιώταις ἐν ταῖς μάχαις, ὃς πανικὸς φόβος καὶ πανικὸν δεῖμα καλεῖται.

ΔΙΑʹΛΟΓ. Θ!

Δ. Τίς Θεὸς τῦ πολέμυ; Α. Ὁ Αʹρης. Δ. Πῶς γράφεται ἔτος; Α. Νεανίας χαλεπὸς τὸ εἶδος, ἄγριος τὸ βλέμμα, τραχὺς τὴν φωνὴν, καὶ πῦρ πνέων. Δ. Τίς ἐφεῦρε τὸ πῦρ; Α. Ὁ Ἥφαιςος. Δ. Πῶς ἱςορεῖται; Α. Μέλας, δυσειδὴς, καὶ χωλὸς τὸν ἕτερον πόδα. Δ. Διὰ τί πλάττεται χωλεύων; Α. Ὅτι ἀπωσθεὶς τῦ θεσπεσίυ βηλῦ ὑπὸ τῦ Διὸς ξυνετρίβη τὸν πόδα κατὰ τὸν Ποιητήν. Δ. Τίνων θεός ἐςι; Α. Τῶν σιδηρυργῶν. Δ. Πῦ ἔχε τὸ σιδηρυργεῖον; Α. Εʹν Λήμνῳ. Δ. Πόθεν ἐπλάσθη ἔτος ὁ μῦθος; Α. Ὅτι ἐν ταύτῃ τῇ νήσῳ πρῶτον ἐχαλκεύθη ὅπλα. Δ. Τίνας συνεργὺς αὐτῷ διδόασι; Α. Τὺς Κύκλωπας, Βρόντην, Στερόπην καὶ Πυράκμονα, ὧν ἕκαςος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τῦ μετώπυ. Δ. Τίσιν ὀργάνοις χρῶνται οἱ Χαλκεῖς; Α. Τῇ σφύρᾳ, ᾗπερ ὁ σίδηρος κόπτεται ἐπὶ τῦ ἄκμονος, τῇ ῥίνῃ, ᾗπερ λεαίνεται, τῇ πυράγρᾳ, ᾗπερ ςρέφεται ὁ πεπυρωμένος σίδηρος, καὶ τῇ φύσῃ, ᾗπερ ἀναῤῥιπίζεται τὸ πῦρ. Δ. Πῶς ἐκτρίβυσι τὸ πῦρ ἐκ τῦ χάλυβος; Α. Τῷ πυρίτῃ λίθῳ. Δ. Τίς ἡ χρῆσις τῦ πυράνυ; Α. Τύτῳ κομίζυσι τὺς ἐμπύρυς ἄνθρακας.

ΔΙΑ-

ΔΙΑʼΛΟΓ. Ι!

Δ. Τίς ἐδίδαξε τὰς ἀνθρώπους σπείρειν τὴν γῆν, καὶ ἄρτον ὀπτᾶν; Α. Ἡ θεὰ Δημήτηρ, ἣ καὶ τὴν κριθὴν εὗρεν, ἤπερ τὸ ἄλφιτον εἴτ᾽ οὖν τὸ ἄλευρον ἀποκρίνεται τοῦ πιτύρου. Δ. Πῶς γράφεται αὕτη; Α. Γυνὴ εὐπρόσωπος, ξανθὴ τὴν κόμην, κίδαριν κατὰ κεφαλῆς ἔχουσα, καὶ τῇ μὲν δεξιᾷ δᾶδα ἡμμένην προτείνουσα, τῇ δὲ λαιᾷ δράγμα σταχύων ἔχουσα. Δ. Διὰ τί διδόασιν αὐτῇ δᾶδας ἡμμένας; Α. Ὅτι μετὰ τούτων ἐζήτησε τὴν Κόρην, εἴτ᾽ οὖν τὴν Περσεφόνην. Δ. Τίς ἥρπασε ταύτην; Α. Ὁ Πλούτων, ὁ καὶ Αἰδωνεύς. Δ. Ἀντὶ τίνος; Α. Ἐπείπερ οὐδεμία τῶν Θεῶν ἑκοῦσα εἰς γάμον ἐλθεῖν ἐβούλετο. Δ. Τίς ἐφρούρει τὸν ᾅδην; Α. Ὁ Κέρβερος, ὃς μυθεύεται κύων τρικέφαλος καὶ καρχαρόδους γενέσθαι. Δ. Τίς ἦν ὁ Χάρων; Α. Πορθμεὺς τοῦ Ἅδου, ὃς διεκόμιζεν ἐκεῖσε τοὺς τεθνεῶτας ἐν τῷ πορθμείῳ. Δ. Τί ἐδίδων αὐτῷ οἱ τελευτῶντες; Α. Ὀβολὸν Δανάκη καλούμενον. Δ. Τίνες ἦσαν οἱ ἐν Ἅδου δικάζοντες; Α. Μίνως, Αἰακὸς καὶ Ῥαδάμανθυς. Δ. Διὰ τί ᾑρέθησαν οὗτοι δικασταί; Α. Διὰ τὴν ἄκραν αὐτῶν δικαιοσύνην καὶ ἐπιείκειαν. Δ. Ποῖ ἀπέπεμπον τοὺς δικαζομένους; Α. Τοὺς μὲν ἀγαθοὺς καὶ εὐσεβεῖς ἄνδρας εἰς τὸ Ἠλύσιον πεδίον, καὶ εἰς τὰς Μακάρων νήσους, τοὺς δὲ πονηροὺς καὶ ἀσεβεῖς εἰς τὸν Τάρταρον καὶ Πυριφλεγέθοντα· ὧν ὁ μὲν ἦν πυρωδέστατος, ὁ δὲ ψυχρότατος. Δ. Πόσαι Μοῖραι ἐπλάττοντο; Α. Τρεῖς· Κλωθώ, Λάχεσις καὶ Ἄτροπος· ὧν ἡ μὲν Κλωθὼ τὴν ἠλακάτην φορεῖ, καὶ κλώθει

τὸ

τὸ λίνον· ἡ δὲ Λάχεσις τὸν ἄτρακτον ἐπιστρέφει, ἡ δὲ Ἄτροπος τέμνει τὸ νῆμα τῇ ψαλίδι. Δ. Τίνες ἦσαν αἱ τιμωρητικαὶ θεαὶ τοῦ ᾅδου; Α. Αἱ Ἐριννύες, αἱ καὶ Σεμναὶ καὶ Εὐμενίδες κατ᾽ ἀντίφρασιν καλούμεναι. Δ. Τί ἔργον εἶχον αὗται; Α. Ἤλαυνον τοὺς πονηροὺς καὶ ἐξαγίστους ἡμμέναις δᾳσὶ καὶ λαμπάσι. Δ. Πόσαι μυθεύονται γενέσθαι; Α. Τρεῖς· Ἀληκτὼ, Μέγαιρα καὶ Τισιφόνη. Δ. Τί συνάγεται ἐντεῦθεν; Α. Πεπιστευκέναι τοὺς Ἕλληνας ἀθανασίαν ψυχῆς, καὶ ἀνταπόδοσιν τῶν ἔργων μετὰ τὴν ἐνθένδε λῆξιν.

ΔΕΚΑʹΣ Δ!

Περὶ τῶν νομιζομένων Ἡρώων τῶν Ἑλλήνων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Ἡρόφιλος. Παλαίφατος.

Η. Τίνες ἤκουσαν παρ᾽ Ἕλλησιν Ἥρωες καὶ Ἡμίθεοι; Π. Οἱ ἐκ θεῶν καὶ ἀνθρώπων γενόμενοι, καὶ ἀρετῇ τῶν ἄλλων διενεγκόντες, καὶ δι᾽ αὐτὸ τοῦτο μετὰ θάνατον ἀποθεωθέντες. Η. Πῶς ὥρισται τῷ Λουκιανῷ ὁ Ἥρως; Π. Σύνθετόν τι ἐξ ἀνθρώπου καὶ θεοῦ, ὃ μήτε θεός ἐστι, μήτε ἄνθρωπος, καὶ συναμφότερόν ἐστι. Η. Τίς λέγεται πρῶτος παρ᾽ Ἕλλησιν Ἥρως γενέσθαι;

N Π. Διό-

Π. Διόνυσος, ὁ καὶ Βάκχος, ὃν καὶ τὴν ἄμπελόν φασιν εὑρεῖν καὶ τὸν οἶνον. Η. Τίνος παῖς ἐγένετο ἆτος; Π. Τȣ̃ Διὸς ϗ τῆς Σεμέλης. Η. Πῶς γράφεται; Π. Μεῖραξ ἀπώγων, κέρατα φέρων ϗ ἐπικαθήμενος τῷ πίθῳ. Η. Τίνας πράξεις κατεπράξατο; Π. Ἰνδȣ̀ς κατεςρέψατο, πάμπολλα ἔθνη ὑπηγάγετο, ϗ ἐλέφαντι ἰνδικῷ ἐποχȣ́μενος Αἴγυπτον, Συρίαν, Φρυγίαν τε ϗ τὴν ἕω πᾶσαν νικήσας περιῆλθεν. Εʹτι δὲ ἐπὶ τȣ́τοις τὸν θρίαμϐον καὶ τὸ βασίλειον διάδημα ἐξευρεῖν ἱςόρηται. Η. Τί φέρει ἐν τῇ χειρί; Π. Θύρσον, ἤτοι νάρθηκα, ἀφ᾽ ȣ̃ παροιμία· Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε Βάκχοι. Η. Εʹπὶ τίνος τάττεται; Π. Εʹπὶ τῶν ψευδῆ δόξαν ἐχόντων. Η. Τίς ὀπαδὸς τȣ̃ Διονύσȣ; Π. Οʹ Σειληνός, γέρων φαλακρός, σιμὸς τὴν ῥῖνα, ἐπὶ ὄνȣ ὀχȣ́μενος, ϗ ὑπὸ τȣ̃ οἴνȣ σφαλλόμενος, ϗ κάνθαρον, εἴτ᾽ ȣ̃ν ἀμφορέα ἐν τῇ χειρὶ ἔχων. Η. Τίνα ἑορτὴν ἦγον τῷ Βάκχῳ; Π. Τὰ Διονύσια. Η. Πῶς ἐτέλȣν ταῦτα; Π. Ωʹρχȣ̃ντο ἐπ᾽ ἀσκῶν πεφυσημένων, οἵπερ ἐκ τραγείων δορῶν ἐπεποίηντο, διὰ τὸ πολέμιον εἶναι τὸν τράγον τῇ ἀμπέλῳ. Η. Τίς παροιμία λέγεται ἐπὶ τȣ̃ τράγȣ; Π. Τράγον ἀμέλγειν. Η. Εʹπὶ τίνος τίθεται; Π. Εʹπὶ τῶν μάτην πονȣ́ντων.

ΔΙΑʹΛΟΓ. Β!

Η. Τίς μυθεύεται γενναιότατος ἁπάντων τῶν Ηʹρώων γενέσθαι; Π. Ηʹρακλῆς. Η. Τίνος παῖς ἦν ȣ̃τος; Π. Τȣ̃ Διὸς ϗ τῆς Αʹλκμήνης.

Η. Πῶς

Η. Πῶς γράφεται; Π. Γίγας λεοντῆν φορῶν, καὶ ῥόπαλον φέρων, ϗ τρία μῆλα κρατῶν. Η. Τί αἰνίττεται ταῦτα; Π. Τὸ γενναῖον ϗ ἀνδρεῖον αὐτȣ͂. Η. Πόσȣς ἄθλȣς (ἀγῶνας) διήντλησεν ὁ Ἡρακλῆς; Π. Δυωκαίδεκα, ἐν τοῖς ἀπέκτεινε τὴν λερναίαν Ὕδραν, ἣ πεντήκοντα κεφαλὰς εἶχεν, ὧν μιᾶς ἐκκοπτομένης, δύω ἀνεφύοντο· κατέςρωσεν Ἀνταῖον τὸν γίγαντα πὺξ παίσας· ἀπέπνιξε τὸν Νεμεαῖον λέοντα, ϗ ἐκδείρας τὴν δορὰν αὐτȣ͂ ὡς ἐπίσημον ἐφόρει· ἐξεκάθηρε τὴν Αὐγείȣ κόπρον· ἀνεῖλε τὸν Ἐρυμάνθιον κάπρον· ἀπήλασε τὸν πυρίπνοον ἐκ Κρήτης ταῦρον, καὶ ἐκόμισε τὰ χρυσᾶ μῆλα ἐς Ἑλλάδα. Η. Πȣ͂ ποτ' ἦν ταυτὶ τὰ μῆλα; Π. Ἐν τοῖς τῶν Ἑσπερίδων κήποις, ἅπερ ἐφύλαττε δράκων ἄϋπνος, ὃν ἀποκτείνας Ἡρακλῆς τῷ ῥοπάλῳ ἀφείλετο ϗ ἤνεγκε τῷ Εὐρυσθεῖ. Η. Τί σημαίνει τὰ χρυσᾶ μῆλα; Π. Κάλλιςα πρόβατα, ἅπερ ἰδὼν Ἡρακλῆς παρὰ τὴν θάλατταν νέμοντα περιελάσας ἐνέθετο εἰς τὴν ναῦν, ϗ ἀποκτείνας τὸν ποιμένα αὐτῶν ὀνόματι Δράκοντα ἤγαγεν εἰς Ἑλλάδα. Η. Τί ἐμυθεύσαντο περὶ τῶν βοῶν αὐτȣ͂; Π. Ἀπελάσαι τὸν Κάκον ἐκείνας δέκα, χοινόν τε ϗ ἄγρωςιν ἀσθιȣ͂σας, ϗ ἀφελκύσαντα τῶν ȣ̓ρῶν ἐν ἄντρῳ ἐγκαθεῖρξαι. Η. Τίνος ἕνεκα; Π. Ἵνα μὴ τὰ ἴχνη αὐτῶν εὑρεθείη. Η. Τῷ τρόπῳ ἐφωράθη ἡ ἁρπαγή; Π. Τῷ μηκυθμῷ τῶν βοῶν. Η. Πῶς ἠμύνατο Ἡρακλῆς τὸν ἅρπαγα; Π. Ἔπαισεν αὐτὸν τῷ ῥοπάλῳ ϗ ἀνεῖλε. Η. Τίς ἐναλίγκιος Ἡρακλεῖ τὴν ἀλκήν; Π. Πολυδάμας· λέοντα γὰρ ὁμοίως ἀπέκτεινε· ταῦρον μέγιςον ἐπ' ὤμων ἀράμενος ἐβάςασεν,

ἄνδρα ἡνίοχον ἐλαύνοντα σπεδῆ τὸ ἅρμα ἐπέχε τε πρόσω χωρεῖν· τέως δὲ ἀντέχων σπηλαίῳ ἐπιπίπτοντι κατεχώσθη.

ΔΙΑʹΛΟΓ. Β!

Η. Πόσοι ἐγένοντο οἱ πολυθρύλλητοι Ἀργοναῦται; Π. Τετταράκοντα· ἐν οἷς διέλαμπον Ἰάσων, Ἡρακλῆς, Ὀρφεὺς, Κάςωρ ϗ Πολυδεύκης. Η. Τίς ἡγήσατο αὐτῶν; Π. Ἰάσων ὁ Αἴσωνος τε Θετταλε, ὃν αἱ ποιήσεις δὶς ἀνηβῆσαι λέγεσι νέον ἐκ πρεσβύτε γενόμενον. Η. Τί προσέταξε Πελίας ὁ Ἰωλκε βασιλεύσας τῷ Ἰάσωνι; Π. Ἐνεγκεῖν αὐτῷ τὸ χρυσόμαλλον δέρας. Η. Ποῖ γῆς ἦν τετὶ τὸ χρυσεν κώδιον; Π. Ἐν Κόλχοις κρεμάμενον ἐν Ἄρεως ἄλσει ἐκ δρυός. Η. Ὑπὸ τίνος ἐφυλάττετο; Π. Ὑπὸ τάυρων πῦρ πνεόντων, ϗ δράκοντος δεινε ϗ αὔπνε. Η. Πῶς ἀφείλετο αὐτὸ Ἰάσων; Π. Φαρμάκῳ διαφθείρας τὸν δράκοντα, ὑποθεμένης αὐτῷ Μηδίας τῆς τε Αἰήτε θυγατρός. Η. Τί ἐποίησεν ὁ Αἰήτης; Π. Ἐπιγνὲς τὰ τῇ Μηδείᾳ τετολμημένα ὥρμησε τὴν ναῦν διώκειν. Η. Τί δὲ ἡ Μήδεια; Π. Ἰδεσα αὐτὸν πλησίον ὄντα ἀναιρεῖ Ἄψυρτον τὸν Ἀδελφὸν, ὃς συνείπετο αὐτῇ, ϗ μελίσασα κατὰ βυθε ῥίπτει. Η. Τί ἐν ἐγένετο; Π. Συλλέγων ὁ Αἰήτης τὰ τε παιδὸς μέλη τῆς διώξεως ὑςέρησεν· ἡ δὲ Μήδεια συνέπλευσε τῷ Ἰάσωνι εἰς Θετταλίαν, ὃς καὶ ἔγημεν αὐτήν. Η. Τί ἦν ἐκεῖνο τὸ χρυσεν δέρας; Π. Ὁ καὶ τὰ χρυσᾶ μῆλα, οἶες δηλαδὴ παλαὶ ϗ εὔκαρποι χρυσὸν τοῖς ἀνθρώποις παρέ-

χεσαι,

χȣσαι, ἃς ἁρπάσαντες οἱ εἰς Κολχȣ̀ς ἀφικόμενοι Ἀργοναῦται, ϗ ἐνθέμενοι εἰς τὰς ναῦς ἀπέπλευσαν ἐκεῖθεν καὶ ἤγαγον εἰς τὴν Ἑλλάδα.

ΔΙΑʹΛΟΓ. Γ!

Η. Τίνος παῖς ἦν ὁ Θησεύς; Π. Αἰγέως τȣ̃ Ἀθηνῶν βασιλέως. Η. Τίνα ἔργα διεπράξατο ȣ̃τος; Π. Πολλὰ ϗ ἀξιάγαςα. Η. Τὰ ποῖα; Π. Ἡμέρωσεν ἅπασαν τὴν Ἑλλάδα λῃςῶν ἔμπλεων ȣ̃σαν ἀνελὼν Σίννιν, ϗ Σκείρωνα ϗ Προκρȣ́ςην τȣ̀ς ἀποκτιννῦντας τȣ̀ς ξένȣς ἐν ταῖς ὁδοῖς, ϗ τὴν χώραν δῃοȣ̃ντας· ἐπολέμησε πρὸς Κενταύρȣς ὑπὲρ Λαπιθῶν ϗ Πειρίθȣ τȣ̃ βασιλέως αὐτῶν· ϗ συνήγαγε τὴν πόλιν τῆς Ἀττικῆς πρότερον κατὰ κώμας οἰκȣμένης· ὅθεν ϗ δεύτερος οἰκιςὴς τῶν Ἀθηνῶν ἐπεκλήθη. Η. Τί δὲ ἐπὶ τȣ́τοις διεπράξατο; Π. Ἀνεῖλε τὸν ἐν Κρήτῃ Μινώταυρον ἐν Λαβυρίνθῳ καθειργμένον. Η. Τίποτε ἦν ὁ Λαβύρινθος; Π. Οἰκοδόμημα κοχλιοειδὲς, εἰς ὃ τὸν εἰσιόντα ἀδύνατον ἦν ἐξιέναι· πολυπλόκοις γὰρ καμπαῖς τὴν ἀγνοȣμένην ἔξοδον ἀπέκλειε. Η. Ποίᾳ δὴ μηχανῇ ἐξῆλθε Θησεὺς τȣ̃ Λαβυρίνθȣ; Π. Τῷ μίτῳ τῆς Ἀριάδνης. Η. Τίς ἐτύγχανεν αὕτη; Π. Θυγάτηρ Μίνωος βασιλέως Κρήτης. Η. Διὰ τί ἀπώσθη Θησεὺς εἰς τὸν Λαβύρινθον; Π. Ἵνα καταβρωθείη ὑπὸ τȣ̃ Μινωταύρȣ· οἱ γὰρ Ἀθηναῖοι ἐκ συνθηκῶν κατ᾽ ἔτος ἑπτὰ κόρȣς ϗ ἴσας κόρας τῷ Μινωταύρῳ βορὰν ἔπεμπον. Η. Ὁποῖον τέρας πλάττεται; Π. Δίμορφον ἔχον τὰ μὲν ἄνω ἀνδρὸς, τὰ δὲ κάτω ταύρȣ. Η. Ὁποῖαι δὲ πλαςȣργȣ̃νται

αἱ

αἱ Αʹρπυιαι; Π. Παρθένοι τὸ εἶδος, κυρταὶ τὰς χεῖρας ϗ πετεινὰ τὸ σῶμα, τρεῖς τὸν ἀριθμὸν· Αʹελλὼ, Ωʹκυπέτη ϗ Κελλενώ.

ΔΙΑʹΛΟΓ. Ε!

Η. Τίνες ἦσαν Κάϛωρ ϗ Πολυδεύκης; Π. Αʹδελφοὶ δίδυμοι, Διὸς ϗ Λήδας παῖδες· ὅθεν Διόσκουροι ἤκουσαν. Η. Τίς ἦν ἡ Λήδα; Π. Γυνὴ Τυνδάρου βασιλέως Λακωνικῆς, ἀφʹ οὗ Τυνδαρίδαι ἐπεκλήθησαν. Η. Τί φασιν αἱ Ποιήσεις περὶ αὐτῆς; Π. Συνελθοῦσαν τῷ Διῒ εἰς κύκνον μεταβαλλόντι δύω ὠὰ τετοκέναι, ἐξ ὧν προϊέσαν οὗτοι οἱ δίδυμοι ἀδελφοί. Η. Πῶς γράφονται; Π. Νεανίαι εὐειδεῖς, γυμνοὶ τὰς παρειὰς, ὅμοιοι τὸ εἶδος, ϗ ἐπὶ λευκῶν ἵππων ἐπιβεβηκότες. Η. Τί διεπράξαντο οὗτοι; Π. Συνέπλευσαν τῷ Ιʹάσωνι εἰς Κολχοὺς, εἶτʹ ἐκεῖθεν ἐπανιόντες ἐπανήγαγον τὴν Αʹδελφὴν αὐτῶν Εʹλένην ἁρπαγεῖσαν ὑπὸ τοῦ Θησέως. Η. Τί ἐμυθεύσαντο περὶ αὐτῶν; Π. Νεῖμαι ὑπὸ φιλαδελφίας σφίσι τὴν ἀθανασίαν, τὸν δὲ Δία ἀμειψάμενον αὐτοὺς τῆς φιλαδελφίας καταϛερῶσαι μεταβαλόντα εἰς τοὺς Διδύμους καλουμένους, ὧν θατέρου ἀνατέλλοντος ἅτερος δύει. Η. Τί ἔργον φασὶν αὐτοὺς ἔχειν; Π. Καθιππεύειν τὸ πέλαγος, καὶ ἤνπου ναύτας χειμαζομένους ἴδωσιν, ἐπικαθίσαντας τῷ πλοίῳ σώζειν αὐτούς· διὸ καὶ σωτῆρες τῶν πλωτήρων ἐπιϛεύθησαν.

ΔΙΑ'ΛΟΓ. ΣΤ.

Η. Τίνος παῖς μυθεύεται Περσεὺς γενέσθαι; Π. Τȣ̃ Διὸς καὶ τῆς Δανάης. Η. Τίς ἦν αὕτη; Π. Θυγάτηρ Α'κρισίȣ βασιλέως Α'ργείων, ἣν διέφθειρεν ὁ Ζεὺς εἰς χρυσȣ̃ν ὑετὸν μεταβαλὼν κ̓ ἐγκύμονα ἐποίησεν. Η. Τί διεπράξατο ȣ̓̃τος; Π. Παραγενόμενος εἰς Αἰθιοπίαν ἐῤῥύσατο τὴν Α'νδρομέδαν θυγατέρα Κηφέως παρακειμένην βορὰν θαλαττίῳ κήτει ἀνελὼν τὸ θηρίον, κ̓ ἔγημεν αὐτήν. Η. Τί δ' ἐπὶ τȣ́τῳ; Π. Ο'πλισθεὶς τῷ λογχοδρεπάνῳ, κ̓ τῇ τȣ̃ Α'̔δȣ κυνῇ κ̓ τῇ τῆς Παλλάδος αἰγίδι ἀπέτεμε τὴν κεφαλὴν τῆς Γοργόνος, τῆς κ̓ Μεδȣ́σης. Η. Τί ἐπλάσθη περὶ ταύτης; Π. Α'πολιθωθῆναι τȣ̀ς ὁρῶντας αὐτὴν, κ̓ ἐκ τȣ̃ αἵματος, ὅπερ ἐξέῤῥευσε τῆς ἀποτμηθείσης κεφαλῆς, ἐκφυῆναι τὸν Πήγασον. Η. Ο'ποῖος πλάττεται ȣ̓̃τος; Π. Ἵππος πτερωτὸς, ὃς διαπτὰς ἐς τὸν Ε'λικῶνα, κ̓ ὁπλῇ τὴν πέτραν πλήξας ἠνέῳξε τὴν πηγὴν, ἥτις Ἱπποκρήνη κέκληται· εἶτα κροαίνων ἐν λειμῶνι κ̓ πίνων καθαρȣ̃ νάματος ἐκ τῆς Πειρήνης συνελήφθη ὑπὸ Βελλεροφόντȣ. Η. Τίς ἦν ȣ̓̃τος; Π. Παῖς Γλαύκȣ βασιλέως Ε'φύρας εὐειδὴς πάνυ κ̓ ἀγαθὸς, ὃς ἀνεῖλε τὴν Χίμαιραν. Η. Ο'ποῖον τέρας πλασȣργεῖται αὕτη; Π. Ε'̓μπροσθεν μὲν λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ χίμαιρα, εἴτ' ȣ̓̃ν αἶξ. Η. Ο'ποῖον δὲ ἡ Σφίγξ; Π. Θηρίον σῶμα μὲν ἔχον κυνὸς, κεφαλὴν δὲ κ̓ πρόσωπον κόρης, πτέρυγας δὲ ὄρνιθος, φωνὴν δὲ ἀνθρώπȣ. Η. Τί ἦν τὸ αἴνιγμα, ὃ πρȣ̀βάλλετο τοῖς ἀνθρώποις; Π. Τί ἐςι τὸ μίαν ἔχον φωνὴν τετράπȣν κ̓ δί-

πȣν

σεν ἢ τρίπυν γίνεται. Η. Πῶς ἔλυσε τὸ αἴνιγμα Οἰδίπυς; Π. Εʹφησεν ἄνθρωπον εἶναι τῦτο· νήπιον μὲν γὰρ ὄντα χερσίτε ἢ ποσὶν ἕρπειν ἐπὶ γῆν, νεανίαν δὲ ὄρθιον ἐπὶ δυοῖν βαδίζειν σκελῶν, γηρῶντα δὲ βάκτρῳ προσεπερείδεσθαι· τὴν δὲ Σφίγγα ἀκύσασαν ῥίψαι ἑαυτὴν ἀπὸ τῆς Ἀκροπόλεως.

ΔΙΑʹΛΟΓ. ΖΙ

Η. Τίς ἦν ὁ Ἀσκληπιός; Π. Θεὸς τῶν ἰατρῶν, ἢ ἔφορος τῆς ἰατρικῆς, Η. Πῶς γράφεται ὗτος; Π. Γέρων πώγωνα βαθὺν καθειμένος, ῥάβδον τυλώδη τῇ χειρὶ κρατῶν, ταινίᾳ ἀναδεδημένος ἢ κύνας ἀνεζωσμένος. Η. Τί αἰνίττεται ἡ τυλώδης βακτηρία; Π. Τὸ δυσχερὲς τῆς ἰατρικῆς τέχνης. Η. Παρὰ τίνος ἔμαθε ταύτην τὴν τέχνην; Π. Παρὰ Χείρωνος τῦ Κενταύρυ· ὃν πρῶτόν φασιν εὑρεῖν τὴν διὰ βοτανῶν ἰατρικὴν, εἴτ' ὖν τὴν Βοτανικήν· ὕτω μέντοι ἐπέδωκεν, ὡς διὰ τὸ ἰᾶσθαι τὺς κάμνοντας, ἢ σώζειν τὺς ἀπογνωσθέντας, τὺς νεκρὺς ἀνιςᾶν ὑποληφθῆναι. Η. Τί ἐμυθολόγηται περὶ αὐτῦ; Π. Κεραυνωθῆναι ὑπὸ τῦ Διὸς, ποτνιωμένυ τῦ Ποσειδῶνος ἢ σφόδρα σχετλιάζοντος ἐπὶ τῷ ἀφαιρεῖσθαι τὺς φόρυς, ὓς ἐλάμβανεν ἀπὸ τῶν νεκρῶν. Η. Τίνος ἕνεκα συνηριθμήθη τοῖς Ἡμιθέοις; Π. Οʹτι τὴν Ἰατρικὴν ἔτι ἐν γάλακτι ὢσαν ἐξηκριβώσατο. Η. Τί εἰώθεσαν αὐτῷ θύειν; Π. Ἀλεκτρυόνα. ὅθεν καὶ Σωκράτης μέλλων πίνειν τὸ κώνειον προσέταξε τοῖς ἑταίροις αὐτῦ Ἀλεκτρυόνα θῦσαι αὐτῷ. Η. Πῦ δὲ μάλιςα ἐθρησκεύετο; Π. Εʹν Εʹπιδάμνῳ

τῆς

τῆς Ἠπείρȣ. Η. Τίνας ἔχε παῖδας; Π. Τὸν Μαχάωνα ϗ τὸν Ποδαλείριον ἄμφω ἰατρὼ μάλα εὐδοκίμω, ὣ συμπλεύσαντε τῷ Ἀγαμέμνονι ȣ̓ μικρὸν τȣ̀ς ἐπὶ Τροίαν συςρατευσαμένȣς ὠνησάτην.

ΔΙΑʹΛΟΓ. Η!

Η. Τίς κέκλοφε τὸ πῦρ ἐξ ȣ̓ρανȣ̃; Π. Προμηθεὺς ὁ τȣ̃ Ἰαπετȣ̃ παῖς, ϗ πατὴρ τȣ̃ Δευκαλίωνος. Η. Πῶς ἀφείλετο αὐτό; Π. Κρύφα Διὸς λαϐὼν ἐν νάρθηκι. Η. Τίνα δίκην δέδωκε τῆς τόλμης; Π. Προσεδήθη τῷ Καυκάσῳ καθʼ ἑκάςην τὸ ἧπαρ κειρόμενος ὑπʼ ἀετȣ̃. Η. Τί ἐδωρήσατο ὁ Ζεὺς τοῖς ἀνθρώποις ἀντὶ τȣ̃ πυρός; Π. Γυναῖκα Πανδώραν κληθεῖσαν, διὰ τὸ πάντας τȣ̀ς θεȣ̀ς ταύτην πλάσαι, καὶ δώροις ποικίλοις κοσμῆσαι, ἣν ἔπεμψεν εἰς τὴν γῆν μετὰ πυξίδος μεςῆς πάντων τῶν κακῶν. Η. Τίς ἠνέωξε τὴν Πυξίδα; Π. Ἡ τȣ̃ Ἐπιμηθέως γυνή. Η. Τί ȣ̓̃ν ἐγένετο; Π. Ἐκκέχυται πάντα τὰ κακὰ ἐπὶ τὴν γῆν, μεμένηκε δὲ μόνη ἡ Ἐλπὶς ἐν τῷ πυθμένι, ἥτις πᾶσι πρόσεςι. Η. Τί ἐμυθεύσαντο περὶ Δευκαλίωνος καὶ Πύῤῥας τῆς γυναικὸς αὐτȣ̃; Π. Κατακλυσμȣ̃ γεγονότος ἐν Ἑλλάδι διασωθῆναι αὐτȣ̀ς ἐν λάρνακι, ϗ ἀναζωπυρῆσαι τὸ ἀνθρώπειον γένος. Η. Τῷ τρόπῳ; Π. Προσετάχθησαν τὰ ὀςᾶ τῆς μεγάλης μητρὸς ὑπὲρ κεφαλὴν βάλλειν. Η. Τίνα ἐςὶ ταῦτα τὰ ὀςᾶ; Π. Ἡρμήνευσαν τȣ̀ς λίθȣς εἶναι, ϗ ȣ̃̔ς μὲν ἔβαλλε Δευκαλίων, ἄνδρες ἐγένοντο, ȣ̃̔ς δὲ ἡ Πύῤῥα, γυναῖκες. Η. Μῶν προσφυής ἐςιν αὕτη ἡ Ἑρμηνεία,

καὶ

ϗ κατάλληλος τῇ ἀνθρωπείᾳ φύσει; Π. Σφόδραγε· σκληροὶ γὰρ πεφύκασιν οἱ ἄνθρωποι κατὰ τὰς λίθους.

ΔΙΑʹΛΟΓ. Θ !

Η. Τίς ἦν ὁ ἰσχυρώτατος τῶν ἐπὶ Ἴλιον συστρατευσαμένων Ἑλλήνων; Π. Ἀχιλλεὺς ὁ Πηλέως ϗ Θέτιδος. Η. Πῶς ἠβουλήθη ἡ Θέτις ποιῆσαι αὐτὸν ἀθάνατον; Π. Ἐγκρύψασα αὐτὸν νυκτὸς εἰς τὸ πῦρ λάθρα Πηλέως ἔφθειρεν ὅ ἦν αὐτῷ θνητὸν πατρῷον, μεθ' ἡμέραν δὲ ἔχριεν αὐτὸν ἀμβροσίᾳ. Η. Τί δὲ ἐποίησεν ὁ Πηλεὺς ἐπιτηρήσας τοῦτο; Π. Ἰδὼν ἀσπαίροντα τὸν παῖδα ἐπὶ τοῦ πυρὸς ἐβόησε, ϗ ἡ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν ἐπιτελέσαι νήπιον τὸν παῖδα ἀπολιποῦσα ᾤχετο πρὸς Νηρηΐδας. Η. Τίνι παρέδωκε Πηλεὺς τὸν παῖδα θρέψαι; Π. Χείρωνι τῷ Κενταύρῳ, ὃς λαβὼν αὐτὸν ἔτρεφε σπλάγχνοις λεόντων, ϗ συῶν ἀγρίων ϗ ἄρκτων μυελοῖς· ναὶ μὴν ϗ ἐδίδαξεν αὐτὸν ῥητῆρα λόγων ϗ πρηκτῆρα ἔργων εἶναι κατὰ τὸν Ποιητήν. Η. Ποῦ ἔκρυψεν αὐτὸν ἡ Θέτις, ὡς μὴ ἐπὶ Τροίαν ςαλείη; Π. Ἐν τῷ Λυκομήδους παρθενῶνι. Η. Πῶς ἐφώρασεν Ὀδυσσεὺς τῆς θεοῦ τὸν δόλον, ϗ ἐξήγαγε τὸν ἥρωα τῆς παςάδος; Π. Λαβὼν ὅπλα ϗ κερκίδας ἔςησε περὶ τὸν παρθενῶνα προθεὶς δέλεαρ ἀφύλακτον. Η. Τί δὲ ἐκεῖνος; Π. Παραχρῆμα ἐπὶ τὰ ὅπλα ἤϊξε, ϗ ἐπὶ τὸ δόρυ, καὶ τοῦτον τὸν τρόπον ἦλθεν εἰς Τρόιαν. Η. Τί διεπράξατο ἐν τῷ Τρωϊκῷ πολέμῳ; Π. Πολλὰ καὶ γενναῖα ἔργα, εἶτα διηνέχθη πρὸς Ἀγαμέμνονα·

κάν-

κἀντεῦθεν ἡ ἀρχὴ τῆς Ὁμήρȣ Ἰλιάδος. Η. Ποίῳ τέλει ἐχρήσατο τȣ̃ βίȣ; Π. Οἰκτίςῳ, ἀναιρεθεὶς δόλῳ ὑπὸ Πάριδος ἐν τῷ νεῷ ἔρωτι ἁλȣ̀ς τῆς Πολυξένης.

ΔΙΑʹΛΟΓ. Ι!

Η. Τίς ἦν ὁ πανȣργότατος τῶν παρ' Ἕλλησιν Ἡρώων; Π. Ὀδυσσεὺς ὁ Λαέρτȣ ϗ Ἀντικλείας παῖς. Η. Τῷ τρόπῳ ἐβȣλεύσατο τὸν ἐς Τροίαν ἀπόπλȣν παραιτήσασθαι; Π. Προσεποιήσατο μαίνεσθαι, ϗ βȣ̃ν ἵππον συζεύξας ἀροτριȣ̃ν ἐβιάζετο. Η. Τίνα τρόπον ἀπήλεγξεν αὐτὸν Παλαμήδης σχηματιζόμενον; Π. Ἁρπάσας τὸν Παῖδα αὐτȣ̃ Τηλέμαχον εἰς μέσον ἤγαγε τῆς ἱππηλασίας. Η. Τί δὲ ὁ μαινόμενος Ὀδυσσεύς; Π. Ἐφείσατο τȣ̃ παιδὸς ϗ κατάφωρος γενόμενος ἠναγκάσθη ἐς πόλεμον ἰέναι, ἐν ᾧ πολλὰ εἰργάσατο πολυμήχανα ἔργα. Η. Τίνι ἀντεξετάσθη περὶ τῶν Ἀχιλλείων ὅπλων; Π. Αἴαντι τῷ Τελαμῶνος, ὃς μετ' Ἀχιλλέα ἰσχυρότατος ἦν τῶν Ἑλλήνων. Η. Πότερος τȣ́των ἐκράτησεν; Π. Ὀδυσσεὺς παρακρȣσάμενος τȣ̀ς δικαςὰς τῇ τῶν λόγων πειθοῖ, ὁ δὲ Αἴας λύπῃ συχεθεὶς ἐμάνη ϗ ξίφει διελάθη. Η. Πόσον χρόνον περιεπλανήθη κατὰ θάλατταν μετὰ τὴν Ἰλίȣ ἅλωσιν; Π. Εἴκοσιν ἔτη, ὃς πολλῶν ἀνθρώπων ἔγνω νȣ̃ν καὶ ἄςεα εἶδε κατὰ τὸν Ποιητήν. Η. Πῶς ἐξωμμάτωσε τὸν Πολύφημον; Π. Ἀποξύσας τὸν μοχλὸν, ϗ πυρώσας γε ἐξετύφλωσεν αὐτὸν καθεύδοντα. Η. Τί ξυνέβη τοῖς ἐκείνȣ ἑταίροις; Π. Μετεμόρφωσεν αὐτȣ̀ς ἡ Κίρκη εἰς ἄρκτȣς, λέοντας ϗ σῦς. Η. Τί αἰνίττεται ἡ Κίρκη; Π. Τὸν ἐπι-

ἐπιθυμίαν τῆς σαρκός. Η. Πῶς διέφυγε τὰς Σειρῆνας; Π. Κηρῶ φράξας τὰ ὦτα πρὸς τὰ ἐκείνων μέλη. Η. Τί ὑπαινίττονται αὗται; Π. Τὰς ἀσχήμονας ἡδονάς. Η. Πῶς ἐκαλεῖτο ἡ γαμετὴ αὐτȣ̃; Π. Πηνελόπη, ἥτις ἦν σωφρονεστάτη. Η. Ποίῳ δόλῳ ἀπεβȣκόλησε τȣ̀ς μνηστῆρας; Π. Ἐπηγγείλατο αὐτοῖς τότε γαμηθήσεσθαι, ὅταν τὸν ἱστὸν ὑφάνῃ· ὃ δὲ τῆς ἡμέρας ὕφαινε, τȣ̃το τῆς νυκτὸς αὖ πάλιν διέλυεν. Ὅθεν παροιμία τὸν Πηνελόπης ἱστὸν ὑφαίνειν, ἀντὶ ἀνήνυτα ποιεῖν.

ΔΕΚΑ'Σ Ε!

Περὶ Ἀρχαίων πραγμάτων.

ΔΙΑ'ΛΟΓΟΣ Α!

Παλαιόφιλος. Λύσανδρος.

Π. Τίς ἦν ἡ ἀρχαιοτάτη δίαιτα; Λ. Οἱ πρῶτοι ἄνθρωποι ἐτρέφοντο ταῖς ὀπώραις τῶν δένδρων, καὶ τῷ γάλακτι τῶν ζῴων. Π. Τί προσεφέροντο οἱ πάλαι Ἕλληνες καὶ Ῥωμαῖοι; Λ. Οἱ μὲν Ἕλληνες ἤσθιον περίπȣ ὀκτακόσια ἔτη βαλάνȣς, οἱ δὲ Ῥωμαῖοι διέζησαν πολὺν χρόνον τρεφόμενοι τῷ πόλτῳ, ὃς ἐκ κρίμνȣ γίγνεται, καὶ τῇ κράμβῃ, εἶτα ἤρξαντο ἄρτον ὀπτᾶν. Π. Πόθεν

θεν γίγνεται ὁ ἄρτος; Λ. Ἐξ ἀλφίτου, εἶτ' οὖν ἀλεύρου. Π. Πῶς σκευάζεται τὸ ἄλευρον; Λ. Πάλαι μὲν ἔτριβον τὸν σῖτον τῷ ὑπέρῳ ἐν θυείᾳ, εἶτ' οὖν ὅλμῳ, νῦν δὲ ἀλεῖται ὁ σῖτος ἐν μύλῃ καὶ τοῦ ἄνθους γίγνεται ἡ σεμίδαλις, ἐκ ταύτης δὲ σεμιδαλίτης ἄρτος, καὶ σπεῖραι. Π. Τίς ἐπενόησε τὸν κρίβανον εἰς τὴν τῶν ἄρτων ὄπτησιν; Λ. Ἄννος ὁ Αἰγύπτιος. Π. Τίνες ὤπτων τὸ ἀρχαῖον ἄρτον; Λ. Αἱ γυναῖκες καὶ δέσποιναι. Π. Νῦν δὲ τίσιν ἀφώρισται ἡ τῶν ἄρτων ὄπτησις ἐν ταῖς μεγίσταις τῶν πόλεων; Λ. Τοῖς ἀρτοποιοῖς, οἳ γυμνοῖς τοῖς βραχίοσι μάττοντες τὸ ἄλευρον ζυμοῦσι τὸ φύραμα, καὶ ποιοῦσιν ἄρτους, καὶ ἐμβάλλουσι τούτους τῷ πτύῳ εἰς τὸν κρίβανον. Π. Πῶς ἠρίστων οἱ Ἀρχαῖοι; Λ. Λιτῶς καὶ εὐτελῶς. Π. Πῶς δὲ ἐδείπνων; Λ. Δαψιλῶς καὶ πολυτελῶς. Π. Ἵνα τί παρελάμβανον μουσικοὺς ἐπὶ τὸ δεῖπνον; Λ. Ἵνα μὴ τὸ σῶμα μόνον, ἀλλὰ καὶ ἡ ψυχὴ ἥδοιτο.

ΔΙΑ'ΛΟΓ. Β'.

Π. Πῶς εἰργάζοντο τὴν γῆν οἱ Ἀρχαῖοι; Λ. Ἀνέστρεφον ταύτην τοῖς παττάλοις, ἢ ταῖς χάραξι καὶ δικέλλαις. Π. Τίς ἐδίδαξε τοῦτο τοὺς ἀνθρώπους; Λ. Ὁ σῦς τῷ ῥύγχει, εἶτα ἤρξαντο ἀροῦν τοὺς ἀγρούς. Π. Τίς ἐφεῦρε τὸ ἄροτρον; Λ. Ὁ Τριπτόλεμος. Π. Ἐκ τίνων μερῶν σύγκειται; Λ. Ἐκ τῆς σιδηρᾶς μαχαίρας, ἧπερ ἡ γῆ τέμνεται· τῆς ὕννεως, ἧπερ ἡ αὔλαξ ἄγεται, τῆς ἐχέτλης, ἧπερ ἔχεται (κρατεῖται) τὸ ἄροτρον, καὶ τοῦ ῥυμοῦ, ὧπερ ζεύγνυνται οἱ βόες. Π. Πῶς παρώτρυνον τούτους πρὸς τὸ ἐργάζεσθαι

τὴν γῆν; Λ. Τοῖς κέντροις ϗ βϗπλῆξι. Π. Τίνες ἄριςοι βόες ἐπὶ τὰ ἔργα; Λ. Οἱ εὐσθενεῖς τὰ ςέρνη. Π. Διὰ τί δεῖ ἀροτριϗν τὴν γῆν; Λ. Ἵνα μὴ φύωνται σκόλυμοι, ἄκανθαι καὶ τρίβολοι· ἡ γὰρ ἀνήρωτος καὶ ἀργὸς χώρα φέρει ζιζάνιον καὶ αἶραν. Π. Πῶς δεῖ γεωργεῖν; Λ. Πρῶτον μὲν δεῖ νεὸν τῷ σπόρῳ ὑπεργάζεσθαι, εἶτα τὸ σπέρμα ῥίπτειν ἐκ τϗ θύλακος, ἢ κοφίνϗ. Π. Τί δὲ μετὰ ταῦτα; Λ. Σκάπτειν καὶ ἐπισύρειν τὰς βώλϗς ἐπὶ τὸ κατακρύπτειν τὰ σπέρματα· εἶτα βωλοκοπεῖν, ἵν' αἱ αὔλακες ὁμαλίζωνται, καὶ τὰ σπέρματα ὑποβάλλωνται. Π. Τί δὲ, εἰ μένοιεν αἱ βῶλοι; Λ. Κινεῖν ταύτας τοῖς λίςροις, εἰ δὲ βϗλει, τοῖς ξύςροις, ἢ τῷ κυλίνδρῳ, ὥςε διαχεῖσθαι.

ΔΙΑΛΟΓ. Γ'.

Π. Τίσιν ὅπλοις ἐχρῶντο οἱ Ἀρχαῖοι; Λ. Ἐκ χειρὸς μὲν (ἀγχόθεν ἢ ἐγγύθεν) τῷ ἔγχει, δόρατι, ξίφει, πελέκει καὶ τῇ ἀξίνῃ· πόῤῥωθεν (μήκοθεν, μακρόθεν) τῷ βέλει καὶ τῷ ἰῷ, εἴτ' ϗν οἰςῷ. Π. Πῶς ἐχρῶντο τοῖς βέλεσιν; Λ. Ἀφίεσαν (ἔῤῥιπτον) ταῦτα ἐπὶ τϗς πολεμίϗς, καὶ ἀφεῖλκον τῷ ἅμματι, εἴτ' ϗν ἱμάντι. Π. Πῶς δὲ τοῖς τόξοις; Λ. Ἐνέτεινον ταῦτα τοῖς νεύροις καὶ προΐεσαν τϗς οἰςϗς ἐπὶ τϗς πολεμίϗς, ϗς ἐξέφερον τῆς φαρέτρας. Π. Πῶς ἐφόρϗν (ἐβάςαζον) τὰ ξίφη; Λ. Ἐν τοῖς ζωςῆρσιν, οἵπερ ἐξήρτηντο τῶν ὤμων. Π. Νῦν δὲ πῶς φέρϗσι ταῦτα; Λ. Προσδέϗσι τῇ ἀριςερᾷ πλευρᾷ. Π. Πῶς ἐκόσμϗν τϗς ζωςῆρας, ἢ τὰς ζώνας;

ζώνας; Λ. Ἀργυραῖς καὶ χρυσαῖς περόναις, ἢ πόρπαις. Π. Νῦν δὲ τίνα ὅπλα ἐςὶ παρ' ἡμῖν ἐν χρήσει; Λ. Πυροβόλα. οἷον Πυρία (πιςόλια) διάπυροι Καταπέλται (τυφφέκια) καὶ Βομβάρδαι (κανόνια), ἅπερ βολίδων μολυβδίνων καὶ σιδηρῶν καὶ πυρίȣ κόνεως πληρȣ̃νται καὶ μετὰ βόμβȣ σφοδρȣ̃ ἐκκροτȣ̃νται, εἶτ' ȣ̃ν ἐκκενȣ̃νται. Π. Ἐκ τίνος κατασκευάζεται ἡ πύριος κόνις; Λ. Ἐκ νίτρȣ, θείȣ καὶ ἀνθράκων. Π. Πότε καὶ ὑπὸ τίνος εὕρηται; Λ. Ὑπὸ Βαρθόλδȣ μοναχȣ̃ τȣ̃ Νίγρȣ κατὰ τὸ 1380 ἔτος.

ΔΙΑ'ΛΟΓ. Δ!

Π. Τίνος ἕνεκα οἱ Ἀρχαῖοι ἐποίȣν τὰ τείχη, εἶτ' ȣ̃ν τὰ ἄςεα ἐφ' ὑψηλῶν ὀρέων, βȣνῶν ϗ λόφων; Λ. Ἵνα μὴ δύναιντο οἱ πολέμιοι τȣ́τοις ῥᾳδίως προσιέναι. Π. Πȣ̃ δὲ αἱ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ποιȣ̃σι ταῦτα; Λ. Ἐν ἰσοπέδῳ, διὰ τὸ ῥᾳδίως ἀπωθεῖσθαι τȣ̀ς πολεμίȣς τοῖς πολεμικοῖς μηχανήμασι. Π. Τίσι μηχανήμασιν ἐχρῶντο οἱ Ἀρχαῖοι πρὸς τὸ καθελεῖν τὰ τείχη; Λ. Τῷ Κριῷ, τῷ Καταπέλτῃ ϗ τῇ Ἑλεπόλει. Π. Ὁποῖος τίς ἦν ὁ Κριός; Λ. Δοκὸς ὑπερμεγέθης ἐςομωμένη παχεῖ σιδήρῳ κατ' ἄκρον ἐς κριȣ̃ κεφαλὴν, ἀφ' ȣ̃ παρωνόμαςαι. Π. Πῶς ἐχρῶντο τȣ́τῳ; Λ. Προσῆγον τοῖς ἐρύμασιν, ἢ τείχεσι ϗ καθήρȣν ταῦτα σφοδρῶς τύπτοντες. Π. Τίς ἐφεῦρε τὸν Κριόν; Λ. Περικλῆς ὁ τῶν Ἀθηναίων δημαγωγός. Π. Πȣ̃ δὲ ἐχρῶντο τῇ Ἑλεπόλει ϗ τῷ Καταπέλτῃ; Λ. Τȣ́τῳ μὲν ἀφίεσαν ἀκόντια ϗ βέλη, ἐκείνῃ δὲ

ἔβαλ-

ἔβαλλον λίθους ὑπερμεγέθεις, ὥσπερ δὴ καὶ τοῖς πυροβολικοῖς ὀργάνοις. Π. Τίς ἐξεῦρε τὴν Ἑλέπολιν; Λ. Δημήτριος ὁ Πολιορκητής. Π. Τίσιν ὅπλοις χρῶνται καθ᾽ ἡμᾶς οἱ πολεμοῦντες; Λ. Ταῖς Βομβάρδαις καὶ τοῖς πυροβόλοις Ὅλμοις, ἀφ᾽ ὧν ἀφίενται αἱ πυροβόλοι βολίδες. Π. Τίνες πρῶτοι ἐχρήσαντο ταῖς Βομβάρδαις; Λ. Οἱ Ἐνετοὶ πρὸς τοὺς Λίγυρας (Γενουηνσίες) καὶ οἱ Ἀγαρηνῶν παῖδες πρὸς τοὺς Ῥωμαίους ἐν τῇ πολιορκίᾳ τοῦ Βυζαντίου, οἷς οἱ ἐξ Ἱσπανίας ἐξωσθέντες Ἑβραῖοι ταύτας ἐπέδειξαν.

ΔΙΑʹΛΟΓ. Ε.

Π. Διὰ τί ἐγείρεται χώματα πρὸ τῶν ἄστεων ἐν ταῖς πολιορκίαις; Λ. Ἵνα δύνηται ὁ στρατὸς τῇ πόλει, ἢ τῷ τείχει προσβάλλειν. Π. Πῶς ὀχυροῦνται αἱ πόλεις; Λ. Περιβάλλονται (τειχίζονται) χάραξι, χώμασι καὶ τάφροις· ἔτι δὲ ἐπάλξεσι καὶ συνεχέσι θριγκοῖς· οὐ μὴν ἀλλὰ καὶ πασσάλοις καὶ κεντρωταῖς σανίσι. Π. Τίνι ἐκάλυπτον τὸ πάλαι οἱ στρατιῶται τὴν κεφαλὴν πρὸς τοὺς οἰστούς; Λ. Τῇ χελώνῃ καὶ τοῖς γέρροις· εἶτα τῷ κράνει, καὶ τῇ κόρυθι, εἴτ᾽ οὖν τῇ περικεφαλαίᾳ. Π. Ἐκ τίνος ἐπεποίητο τὸ κράνος; Λ. Ἐκ χαλκοῦ πετάλου. Π. Ἐκ τίνος δὲ ἡ κόρυς; Λ. Ἐξ ὠμῆς βύρσης, εἴτ᾽ οὖν δέρρεως. Π. Τίνι δὲ ταύτην ἐκόσμουν; Λ. Τῷ φάλῳ, ἢ τῷ ἐκ πτερῶν λόφῳ. Π. Τίνι ἔφραττον τὸ στέρνος; Λ. Τῷ θώρακι. Π. Ἐκ τίνος κατεσκεύαστο; Λ. Ἐκ σκύτους καὶ χαλκοῦ. Π. Τίνι δὲ τοὺς πόδας; Λ. Ταῖς κνημῖσιν. Π. Ἐκ τίνος ἐγίγνοντο; Λ. Ἐκ

Ἐκ χαλκοῦ, σιδήρου, ὀρειχάλκου τε καὶ κασσιτέρου. Π. Πῶς δὲ ἀπέρυκον, εἴτ' οὖν ἀπεῖργον τὰς ἐκ τῶν πολεμίων πληγάς; Λ. Προτείνοντες (προβαλλόμενοι) τοὺς θυρεοὺς, τὰς ἀσπίδας, πέλτας τε καὶ λόγχας.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Π. Πῶς καλεῖται τὸ πλῆθος τῶν στρατιωτῶν; Λ. Στρατὸς, στρατιὰ, καὶ στράτευμα. Π. Εἰς πόσα διήρηται ὁ στρατός; Λ. Εἰς τρία· εἰς μέτωπον, εἰς κέρας, καὶ εἰς οὐράν· ὅθεν κατὰ μέτωπον καὶ ἐπὶ κέρας ἄγειν τὸν στρατόν. Π. Ἐκ πόσων συνέκειτο ὁ Λόχος; Λ. Ἐξ ἀνδρῶν πέντε πρὸς τοῖς εἴκοσι. Π. Ἐκ πόσων δὲ ἡ Σύστασις; Λ. Ἐκ τεσσάρων λόχων. Π. Ἐκ πόσων δὲ ἡ Τάξις; Λ. Ἐξ ἑκατὸν λόχων. Π. Τί δὲ ἦν ἡ θρυλλουμένη Φάλαγξ; Λ. Τάξις τις ὡρισμένη ἀνδρῶν παρὰ Μακεδόσιν ἀήττητος εἶναι δοκοῦσα, μᾶλλον δὲ ἅπαν τὸ πεζικὸν στράτευμα τεταγμένον οὕτως ἐλέγετο· ὅθεν ἐπὶ φάλαγγα ἄγειν. Π. Τί ἦν τὸ Ἔμβολον; Λ. Σχῆμα παρατάξεως ἐοικὸς τῷ Δ. Π. Τί δὲ τὸ Κοιλέμβολον; Λ. Τάξις στρατοῦ ἐοικυῖα τῷ λάμβδα ἀνεστραμμένῳ V. Π. Τί δὲ τὸ Πλίνθιον; Λ. Σχῆμα παραπλήσιον τῇ πλίνθῳ, ἀφ' ἧς κέκληται. Π. Τί δὲ ὁ Πύργος; Λ. Τάξις τετραγωνοειδῶς πυκνουμένη. Π. Τί δὲ τὸ Πλαίσιον; Λ. Τάξις ἑτερομήκους σχήματος. Π. Πῶς καλεῖται ἡ κατ' ἄνδρα κίνησις; Λ. Κλίσις. Π. Ποσαπλῆ ἦν αὕτη; Λ. Διττή· ἐπὶ δόρυ, καὶ ἐπὶ ἀσπίδα, τοῦτ' ἔστιν ἐπὶ τὰ δεξιὰ καὶ ἐπὶ τὰ ἀριστερὰ, διὰ τὸ ἔ-

χειν τὸ μὲν δόρυ ἐν τῇ δεξιᾷ, τὴν δὲ ἀσπίδα ἐν τῇ λαιᾷ. Π. Τί ἐςι Μεταβολή; Λ. Κλίσις δὶς ἐπὶ τὸ αὐτὸ γιγνομένη ϗ κατὰ νώτȣ τὰς τῶν ὁπλιτῶν ὄψεις μετατιθεμένη, εἴτ' ȣ̓ν ποιȣ̃σα. Π. Ποσαπλῆ ἦν; Λ. Διττή· μεταβολὴ ἐπ' ȣ̓ρὰν, ἥτις ἐγίνετο ἐπὶ τὰ δεξιὰ ἀπὸ τȣ̃ μετώπȣ ἐπὶ τὸν νῶτον· ϗ μεταβολὴ ἀπ' ȣ̓ρᾶς, ἥτις ἐγίνετο ἐπὶ τὰ ἀριςερὰ ἀπὸ τȣ̃ νώτȣ ἐπὶ τὸ μέτωπον.

ΔΙΑ'ΛΟΓ. Ζι

Π. Πῶς διήρηται τὰ ςρατιωτικὰ Σήματα; Λ. Εἰς Σύμβολα ϗ Σημεῖα. Π. Ποσαπλᾶ ἦν τὰ Σύμβολα; Λ. Διττά· τὰ μὲν διὰ φωνῆς μηνυόμενα, τὰ δὲ ὁρατά. Π. Πῶς καλεῖται τὸ διὰ τῆς φωνῆς μηνυόμενον Σύμβολον; Λ. Σύνθημα. Π. Τί ἦν τȣ̃το; Λ. Λόγος ἐν πολέμῳ ὑπὸ τȣ̃ ςρατηγȣ̃ τοῖς ὑπ' αὐτὸν διδόμενος, ϗ ὑπ' αὐτῶν παντὶ τῷ ςρατῷ, ὡς ἂν διαγιγνώσκοιντο. Π. Πῶς καλεῖται τὸ ὁρατὸν Σύμβολον; Λ. Παρασύνθημα. Π. Τȣ̃το δὲ ἦν τί; Λ. Τό,τε τῆς κεφαλῆς νεῦμα, ὅ,τε κρότος τῶν χειρῶν, ϗ ἡ τῆς λόγχης κλίσις. Π. Τί δὲ τὰ Σημεῖα; Λ. Σημαῖαι, αἵπερ ἐδείκνυντο τοῖς ςρατιώταις κατὰ τὸν καιρὸν τῆς μάχης· ϗ ὅτε μὲν ἀνετείνοντο, ἤρχοντο τῆς μάχης, ὅτε δὲ κατεσπῶντο, ἐπαύοντο. Π. Τίσιν ὀργάνοις ἐχρῶντο ἐν ταῖς μάχαις πρὸς τὸ σημαίνειν τὸ Ἀνακλητικόν; Λ. Πάλαι μὲν ἐχρῶντο τοῖς κοχλοῖς, εἶτα ταῖς σάλπιγξιν· ἔνιοι δὲ τῶν Ἑλλήνων τῇ σύριγγι, τῷ αὐλῷ, ϗ τοῖς τοιȣ́τοις, νῦν δὲ τοῖς τυμπάνοις

νοις ϗ ταῖς σαμβύκαις. Π. Πῶς καλεῖται ἡ Κραυγὴ, ἣν ποιοῦσιν οἱ στρατιῶται ὁρμῶντες εἰς μάχην; Λ. Αʹλαλητὸς, ϗ ἀλαλαγμός.

ΔΙΑʹΛΟΓ. Η!

Π. Πῶς ηὔξησαν οἱ Ρʹωμαῖοι τὴν ἑαυτῶν ἀρχήν; Λ. Αʹνδρείᾳ ϗ συνέσει. Π. Πῶς δὲ ταύτην ἐκράτυναν, εἶτ᾽ οὖν ἐβεβαίωσαν; Λ. Νόμοις ϗ δικαιοσύνῃ. Ταῦτ᾽ ἄρα τὸ δίκαιον πρὸ παντὸς θέμενοι πολλὰς ἐπενόησαν ποινὰς πρὸς τὸ κολάζειν τοὺς κακούργους. Π. Τί ὤφειλον ποιεῖν οἱ καταδικασθέντες εἰς ἀντλίαν; Λ. Αʹντλεῖν ἐκ τῆς τρόπιδος τῆς νεώς. Π. Τί δὲ οἱ καταδικασθέντες εἰς τὰς τριήρεις; Λ. Διῃρημένους κατὰ τὰ ἑδώλια (σέλματα) κώπας ἐλαύνειν, εἶτ᾽ οὖν ἐρέττειν. Π. Πῶς δ᾽ ἄλλως ἐκολάζοντο οἱ τοιοῦτοι; Λ. Οἱ μὲν κατεδικάζοντο εἰς μεταλλεῖα, οἱ δὲ εἰς λατομίας· ἐκεῖ μὲν μέταλλα ἀνορύττειν, ἐνταῦθα δὲ λίθους τέμνειν ἠναγκάζοντο· ἕτεροι δὲ ἐῤῥίπτοντο εἰς βάραθρον, ἢ κατὰ κρημνῶν. Π. Ποία ἦν ἡ ποινὴ τῶν φώρων (κλεπτῶν) ϗ λωποδυτῶν παρὰ Ρʹωμαίοις; Λ. Διπλῇ ϗ τριπλῇ κατεδικάζοντο· εἰ δὲ τὰ κλεῖθρα, τὰς θύρας ϗ τὰς κίστας βίᾳ διαῤῥήγνυοιεν, ἐνταῦθα δὴ ἰκρίῳ προσηλοῦντο, ἢ σταυρῷ προσεπήγνυντο. Π. Τίνα δίκην διδόασιν οἱ βαλαντιοτόμοι; Λ. Μάστιξι τύπτονται φωραθέντες. Π. Τίνα δὲ οἱ λῃσταὶ ϗ φονεῖς; Λ. Ζῶντες συντρίβονται τὰ σκέλη ϗ ἐπιτίθενται τοῖς τροχοῖς. Π. Τίνα δὲ οἱ πατραλοίαι ἢ πατροκτόνοι; Λ. Πάλαι μὲν ἐνράψαντες αὐτοὺς εἰς

βύρσαν, ἢ μολγὸν κατεπόντισαν· νῦν δὲ παρ' ἡμῖν ἶσα τοῖς φονεῦσι κολάζονται. Π. Διὰ τί ὁ Σόλων ἐκ ἔθηκε νόμον κατὰ πατροκτόνε; Λ. Ὅτι ἐκ ἤλπισε τοιέτες ἔσεσθαι.

ΔΙΑ'ΛΟΓ. Θ!

Π. Τίνας παιδιὰς ἔπαιζον οἱ Ἀρχαῖοι; Λ. Ἔβαλλον τὴν σφαῖραν, ἤτοι τὸν πῖλον, ἀνέρριπτον τὸν δίσκον, ἔςρεφον τὸν βέμβηκα (ῥόμβον) ἔπαιζον ἄρτια καὶ περιττὰ, ἠςραγάλιζον, ἐπέσσευον, ἔῤῥιπτον τὲς κύβες ἐν τῇ τηνίᾳ, εἴτ' ἐν τάβλῃ. Π. Τίς εὗρε ταύτην; Λ. Παλαμήδης ἐν τῷ Τρωϊκῷ πολέμῳ εἰς διαγωγὴν τε Ἑλληνικε ςρατε. Π. Τίνας ἀγῶνας ἠγωνίζοντο; Λ. Ἔθεον (ἔτρεχον) ἐν τῷ ςαδίῳ· ἥλλοντο ἐν τῷ πεδίῳ· ἐπύκτευον ἐν ὑπαίθρῳ· ἐπάλαιον ἐν τῇ παλαίςρᾳ· ἐσφαίριζον ἐν τῷ σφαιριςηρίῳ. Π. Πῶς δὲ ἡμεῖς παίζομεν; Λ. Βάλλομεν ταῖς σφαίραις τὲς κώνες, ὠθεμεν τὰ σφαίρια, παίζομεν χαρτίοις καὶ ζατρικίοις, ἅπερ ἀγνοέμενα ἦν τοῖς παλαιοῖς. Π. Πότε εὑρέθη τὸ ζατρίκιον; Λ. Ἐπὶ Χοσρόε πρώτε βασιλέως τῶν Περσῶν, ἀφ' ἕ καὶ βασίλειος παιδιὰ κέκληται. Π. Τίς ἐςιν ὁ νικῶν; Λ. Ὁ τὸν ἕτερον εἰς ςενὸν συνελαύνων. Π. Τίνος χάριν παίζεσιν οἱ ἄνθρωποι; Λ. Διατριβῆς ἕνεκεν καὶ ψυχαγωγίας· καταχρῶνται γεμὴν οἱ πλεῖες τόγε νῦν ἔχον ταῖς παιδιαῖς χρηματιζόμενοι ἐξ αὐτῶν.

ΔΙΆΛΟΓ. Ι!

Π. Ἔξεςι χρῆσθαι εὐτραπελίαις ϗ ἀςεΐσμασιν ἐν ταῖς πρὸς ἀλλήλȣς διαλέξεσι; Λ. Πάνυ μὲν ȣ̃ν, εἰ κόσμιά τε εἴη ϗ ἐμμελῆ. Π. Πότε χρηςέον τȣ́τοις; Λ. Ἐπειδὰν σχολὴν ἀγάγωμεν τῶν ἀναγκαίων ἔργων. Π. Τὰ δὲ αἰσχρὰ ϗ ἀνδραποδώδη σκώμματα τίσιν ἂν πρέποι; Λ. Τοῖς γελωτοποιοῖς ϗ βωμολόχοις, ἀλλ᾽ ȣ̓ τοῖς ἐλευθέροις ϗ εὖ γεγονόσι. Π. Τί ὀνίνησι τὰ σκώμματα ϗ ἀςεΐσματα; Λ. Τέρπει τὴν φρένα ϗ εὐφραίνει. Π. Πῶς χρηςέον τοῖς γελοίοις ϗ χαριεντισμοῖς; Λ. Ἐν μέτρῳ ϗ πεφεισμένως, ὥσπερ τοῖς ἁλσὶ πρὸς τὰ βρώματα· τί γὰρ ἄλλο γε τὸ σκῶμμα, ἢ λόγος ἅλατι ἠρτυμένος; Π. Τί παραδέδοται περὶ Ἰȣλίȣ τȣ̃ Καίσαρος; Λ. Διενεγκεῖν αὐτὸν ἁπάντων τοῖς χαριεντισμοῖς ϗ ἀςεΐσμασι. Π. Τί δὲ περὶ τῶν Σωκρατικῶν φιλοσόφων; Λ. Τὰ τεύχη (βιβλία) αὐτῶν μεςὰ εἶναι σκωμμάτων ϗ παιδιῶν. Π. Τίνες τῶν Ποιητῶν ἐγένοντο σκῶπται ϗ εὐτράπελοι; Λ. Παρ᾽ Ἕλλησι μὲν Ἀριςοφάνης, παρὰ Ῥωμαίοις δὲ Πλαῦτος. Π. Τίς τῶν ἀρχαίων ἦν βαρὺς ϗ σεμνός; Λ. Κάτων ὁ Ῥωμαῖος· σφόδρα γὰρ καθήπτετο τῶν ἁμαρτανόντων. Π. Ὁποῖοί τινές εἰσιν οἱ γέροντες; Λ. Βαρεῖς ϗ ὀχληροὶ, οἱ δὲ νέοι κȣ̃φοι ϗ φιλοπαίγμονες· ὅθεν Ὀχληρὸς ἀνὴρ ἐςιν ἐν νέοις γέρων.

ΔΕΚΑΣ

ΔΕΚΑʹΣ ΣΤ!

Περὶ Εὑρέσεων τινῶν πραγμάτων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Πάμφιλος. Ἑρμύλιος.

Π. Τίς κατεσκεύασε τὸν ἐν Κρήτῃ λαβύρινθον; Ε. Δαίδαλος, ὃς ἦν ἀρχιτέκτων ἄριστος, καὶ πρῶτος ἀγαλμάτων εὑρετής. ὅθεν Δαιδάλου ποιήματα ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας. Π. Τί ἐφεῦρεν οὗτος; Ε. Τὴν στάθμην, τὴν ἀξίνην, τὴν ὑπέραν, τὴν κάθετον, τὸν ἴσον, τὴν κόλλαν καὶ λιθοκόλλαν. Π. Τί ἐμυθεύσαντο περὶ τούτου; Ε. Συμπλάσαντα ἑαυτῷ καὶ τῷ παιδὶ Ἰκάρῳ ἐκ κηροῦ πτερὰ ἀποπτῆναι ἐκ Κρήτης. Π. Τί ξυνέβη τῷ Ἰκάρῳ; Ε. Προσιὼν τῷ ἡλίῳ οὕτως, ὡς τὸν κηρὸν ταῖς παρ᾽ ἐκείνου ἀκτῖσι τακῆναι, κατέπεσεν εἰς τὸ πέλαγος, καὶ ὑποβρύχιος τοῖς ὕδασιν ἐγένετο· ἀφ᾽ οὗ Ἰκάριον πέλαγος. Π. Τί διδάσκει οὗτος ὁ μῦθος; Ε. Μὴ δεῖν τοὺς παῖδας σφόδρα ἑαυτοῖς θαῤῥεῖν, μηδὲ πτεροῦσθαι ταῖς ἐλπίσιν, ἀλλὰ πείθεσθαι τοῖς σοφωτέροις, καὶ ἀκούειν τῶν γεραιτέρων. Π. Τίς εὗρε τὸν πρίονα; Ε. Τάλως ὁ ἀνεψιὸς τοῦ Δαιδάλου. Π. Τῷ τρόπῳ; Ε. Προσχὼν τῇ ῥάχει τῶν ἰχθύων. Π. Διὰ τί ἔῤῥιψεν αὐτὸν ὁ θεῖος κατὰ κρημνοῦ; Ε. Ἐφθόνησεν, ὡς μὴ ὑπερβάλοιτο

αὐτὸν

αὐτὸν τῇ τέχνῃ· Κεραμεὺς γὰρ κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων καθ' Ἡσίοδον.

ΔΙΑ'ΛΟΓ. Β!

Π. Τίς πρῶτος λέγεται νόμισμα κόψαι; Ε. Νυμᾶς ὁ Πομπήλιος. Ἕτεροι δέ φασιν Ἴωνα τὸν Θετταλῶν βασιλέα πρῶτον κόψαι. Π. Ἐκ τίνος ἔκοψαν οἱ Ἀρχαῖοι; Ε. Διονύσιος ὁ πρεσβύτερος οὐκ εὐπορῶν ἀργυρίου ἔκοψε τοῦ καττιτέρου· Βυζάντιοι δὲ τοῦ σιδήρου· ὕστερον δὲ ἤρξαντο κόψαι νομίσματα χαλκᾶ, ἀργυρᾶ καὶ χρυσᾶ, οὐ μὴν ἀλλὰ καὶ σκύτινα ἐκ σκύτους ἐφθοῦ. Π. Πῶς κατέβαλλον οἱ Παλαιοὶ τὰ ἀργύρια; Ε. Οὐκ ἠρίθμουν ταῦτα, ὥσπερ ἡμεῖς νῦν, ἀλλ' ἵστησαν τῷ σταθμῷ, εἴτ' οὖν ἐστάθμων. Π. Τίσι μέτροις ἐχρῶντο; Ε. Τῷ πήχει, τῷ ποδὶ, τῇ σπιθαμῇ, τῇ παλαιστῇ, τῇ δρακί. Π. Τίς ἐξεῦρε τὰ σταθμὰ καὶ τὰ μέτρα; Ε. Φείδων ὁ Ἀργεῖος. Π. Τίνες ἔγραψαν περὶ Εὑρετῶν; Ε. Πολύδωρος ὁ Βιργίλλιος, Ἀντώνιος ὁ Σαβέλλικος, καὶ Ἀλέξανδρος ὁ Σάρδος.

ΔΙΑ'ΛΟΓ. Γ!

Π. Τίς εὗρε τὸ ἅρμα, εἴτ' οὖν τὴν ἅμαξαν; Ε. Ἐριχθεὺς ὁ Ἀθηνῶν βασιλεύς. Π. Τίνος ἕνεκα; Ε. Ἵνα τὸ τῶν ποδῶν συγκαλύψειεν αἶσχος. Π. Πόσους ἵππους ἔζευξε; Ε. Τέτταρας. Π. Τίς ἐξεῦρε τὴν ἀπήνην; Ε. Καρμέντα ἡ τοῦ Εὐάνδρου μήτηρ. Π. Πόσους κύκλους, εἴτ' οὖν τροχοὺς ἔσχε; Ε. Δύω, καὶ εἷλκον αὐτὸ ἡμίονοι. Π.

Τίνες

Τίσι τρέφονται ὗτοι οἱ σκώληκες; Ε. Τοῖς φύλλοις τῆς συκαμίνȣ. Π. Τίς μέταξα ἀρίςη; Ε. Ἡ Μηδικὴ, ἢ ϗ σηρικὴ, ϗ σηρικὸν ὕφασμα, ϗ σηρικὸν νῆμα, ϗ ἁπλῶς σηρικὸν λέγεται. Π. Τίς τῶν Ρʹωμαίων βασιλέων πρῶτος ἐχρήσατο ἐσθῆτι ὁλοσηρικῇ; Ε. Ἡʹλιογάβαλος· ἀπεῖπε γὰρ Τιβέριος ἐσθῆτι σηρικῇ μηδένα ἄνδρα χρῆσθαι. Π. Οʹποία τις ἦν πρότερον ἐν χρήσει; Ε. Ἡʹμισηρική. Π. Πότερον ὁ σὴς βιβρώσκει τὰ σηρικὰ ἱμάτια; Ε. Οὐκ, ἀλλὰ τὰ ἐρεᾶ ϗ τὰς βίβλȣς. Π. Τίς τῶν ἐν Εὐρώπῃ χωρῶν ἐπανθεῖ τοῖς ἐκ σηρικῶν φιλοτεχνήμασιν; Ε. Ἰταλία ϗ Γαλλία. Π. Τίς πρῶτος ἱδρύσατο ἐν Ἰταλίᾳ σηρικῶν ἐργαςήρια; Ε. Ρʹοδέρικος ὁ Σικελίας βασιλεὺς ἐν Παλέρμῳ. Π. Πῶ ϗ ὑπὸ τίνων εὕρηνται αἱ περισκελίδες, εἴτ' ȣ̓ν τὰ βρακκία; Ε. Υʹπὸ Γάλλων ϗ Γότθων ἐν τοῖς ψυχροτάτοις χωρίοις. Π. Πότε ἤρξαντο φορεῖν ταύτας οἱ Ρʹωμαῖοι; Ε. Κατὰ τὸν Αὐγȣ́ςȣ χρόνον.

ΔΙΑʹΛΟΓ. Ζ!

Π. Ποῖον τῶν χρωμάτων ἐςὶ πολυτελέςατον; Ε. Τὸ πορφυρȣ̃ν, ὅπερ τὸ πάλαι ἐσκευάζετο ἐκ τȣ̃ τῆς κογχύλης αἵματος, ἐν ᾧ ἐβάπτετο ὁ πόκος, εἰ δὲ βȣ́λει, ἡ ἐρέα, ἢ ϗ μαλλὸς κοινότερον λέγεται. Π. Τίς ἐφεῦρε τὴν Κογχύλην; Ε. Ἡʹρακλῆς ὁ Τύριος φιλόσοφος. Π. Τῷ τρόπῳ ταύτην ἐφεῦρε; Ε. Θεασάμενος κύνα τῶν ποιμενικῶν ἐσθίοντα κογχύλην, ϗ αἱματτόμενον τὴν γνάθον. Π. Τί δὴ τȣ́τῳ ἐτεκμήρατο; Ε. Συνῆκε μὴ εἶναι αὐτὸ αἷμα, ἀλλ' ἐκ

τῆς

τῆς κογχύλης βάμμα. Π. Τίνων περιβόλαιον ἦν ἡ Πορφύρα; Ε. Τῶν βασιλέων ϗ ἀνάκτων. Π. Ποῖον δὲ μετὰ τὸ πορφυρῦν πολυτελέςερον (τιμιώτερον) κρίνεται; Ε. Τὸ φοινικῦν, εἴτ' ῦν κόκκινον, ὅπερ ἐκ κόκκυ σκευάζεται. Π. Πῦ φύεται ὁ Κόκκος; Ε. Ἐν Γαλατίᾳ, Τυῤῥηνῇ ϗ Λυσιτανίᾳ. Π. Ὁποῖοί εἰσι τὴν χροιὰν οἱ εἰλικρινεῖς; Ε. Γλαυκοὶ τὺς ὀφθαλμύς. Π. Ὁποῖοι δὲ οἱ βάσκανοι; Ε. Πελιδνοὶ ϗ ἰσχνοί. Π. Ὁποῖοι δὲ οἱ Ἰκτερικοί; Ε. Ὠχροὶ, ἤτοι χλωροί. Π. Οἱ δὲ νεκροὶ ὁποῖοι; Ε. Μέλανες τῇ χροιᾷ. Π. Πόθεν ἐπεσπάσατο Χαιρεφῶν τὸν ὦχρον; Ε. Ἐκ τῆς ἄγαν σπυδῆς ϗ ἀτρύτυ φιλοπονίας, ἀφ' ῦ καὶ παροιμία ἐχώρησεν· ὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν.

ΔΙΑ'ΛΟΓ. Η!

Π. Τίς ἐφεῦρε τὸν σίδηρον; Ε. Ἥφαιςος ὁ Αἰγύπτυ βασιλεὺς, ὃς κατεσκεύασεν ἐξ αὐτῦ διάφορα ὅπλα εὔχρηςα πρὸς τὸν πόλεμον. Π. Πῶς ἐπολέμυν πρὸ αὐτῦ; Ε. Ῥοπάλοις ϗ λίθοις. Π. Πῦ φύεται ὁ κάλλιςος σίδηρος; Ε. Ἐν Σκανδιναυίᾳ, εἴτ' ῦν Συηκίᾳ. Π. Πῦ δὲ ὁ χάλυψ; Ε. Ἐν Ἀυςρίᾳ. Π. Πῦ δὲ ὁ κασσίτερος ϗ μόλυβδος; Ε. Ἐν Βρεττανίᾳ. Π. Πῦ δὲ ὁ χαλκός; Ε. Πανταχῦ γῆς. Π. Ὁ δὲ Κορινθιακὸς χαλκὸς πόθεν ἐγένετο; Ε. Ἐκ τῶν διαφόρων ἐν τῷ ἐμπρησμῷ τῆς Κορίνθυ ἀνατακέντων ϗ συμμιγέντων μετάλλων. Π. Πόσυ ἐτιμήσαντο αὐτὸν οἱ μετέπειτα; Ε. Πλείονος ἁπάντων μετάλλων. Π. Τίνος ἕνεκα οἱ Ῥωμαῖοι καθεῖλον

ταυ-

ταύτην τὴν πόλιν ϗ ἐνέπρησαν; Ε. Ὅτι ἐδεδίεσαν, μὴ πάλιν αἰτία γένοιτο πολέμε· ἦν γὰρ καλῶς κειμένη ἐν τῷ Ἰσθμῷ τῆς Ἑλλάδος, ϗ δυσὶ λιμέσι διωχυρωμένη, ὥσπερ ἡ Κωνςαντίνε ὑπὸ δυεῖν θαλασσῶν περιςοιχιζομένη. Π. Τίς πόλις λέγεται ἀρχαιοτάτη εἶναι; Ε. Νῖνος ἡ τῶν Ἀσσυρίων. Π. Τίς δὲ μεγίςη ἐν Εὐρώπῃ; Ε. Τὸ Λονδῖνον, ἡ μητρόπολις τῆς Βρεττανίας.

ΔΙΑ'ΛΟΓ. Θ!

Π. Διὰ τί τεθήπαμεν (θαυμάζομεν) τὸν μάγνην, εἰ δὲ βέλει, τὸν μάγνητα; Ε. Ὅτι ἡ μαγνῆτις λίθος ἕλκει τὸν σίδηρον πρὸς ἑαυτὴν, ϗ ἀεὶ πρὸς τὲς πόλες φέρεται, εἶτα δοκεῖ οἱονεὶ τρέφεσθαι τῷ τε σιδήρε ἰῷ, ἤτοι τῇ σκωρίᾳ. Π. Τίς εὗρε τὴν ναυτικὴν Πυξίδα; Ε. Ἰωάννης ὁ Γωΐας. Π. Τίς ἡ χρῆσις αὐτῆς; Ε. Ἰθύνεσι ταύτῃ οἱ ναυτιλλόμενοι τὴν πορείαν ἐν τῷ βαθεῖ πελάγει. Π. Πε ἔχεσιν οἱ πλέοντες ταύτην τὴν Πυξίδα; Ε. Ἐν τῇ πρύμνῃ, ἔνθα ὁ κυβερνήτης διακατέχει τὸν οἴακα, εἴτ' ἐν τὸ πηδάλιον, καὶ διέπει τὴν ναῦν. Π. Τίνι ἀςέρι χρῶνται οἱ ναῦται ὁδηγῷ ἐν ταῖς κατὰ θάλατταν πορείαις; Ε. Τῷ Ὠρίωνι, ὃς πολλάκις αὐτὲς ἀπατᾷ. Π. Ὁποῖος ἀςήρ ἐςιν; Ε. Ὄμβριος, ὃς χειμῶνα ϗ θυέλλας ϗ ὑετὸν φέρει ἀνατέλλων, δυόμενος δὲ γαλήνην ϗ εὐδίαν προφαίνει. Π. Τίς περιέπλευσε πᾶσαν τὴν ὑφ' ἡμῶν οἰκεμένην; Ε. Ὀλιβέριος ἀπὸ Νόρτης. Π. Τί κατεσκεύασεν ὁ Μογγόλφης ἐν τοῖς καθ' ἡμᾶς χρόνοις;

νοις; Ε. Πλοῖον ἐναέριον, ἐν ᾧ διὰ τȣ̃ ἀέρος πλεῖν, ἢ ἀεροβατεῖν δυνάμεθα. Π. Τί δ᾽ ἐφεῦρεν ὁ πολίτης Σιάππης; Ε. Τὸ Τηλέγραφον, δι᾽ ȣ̃ τὰ πόῤῥω πȣ γιγνόμενα ἐν τάχει μανθάνομεν.

ΔΙΑ'ΛΟΓ. Ι!

Π. Τίς ἀνεκάλυψε τὴν Ἀτλαντίδα νῆσον, εἴτ᾽ ȣ̃ν τὴν Ἀμερικήν; Ε. Χρισοφόρος ὁ Κολȣ̃μβος ἐν ἔτει 1492. Π. Τίς δ᾽ ἐγκρατὴς ἐγένετο τῆς Ἠπείρȣ; Ε. Ἀμερικὸς ὁ Βεσπȣ́τιος, ὅς μετὰ σόλȣ μεγάλȣ ἐκεῖσε ἐσάλη ὑπὸ τȣ̃ Ἰβήρων βασιλέως κατὰ τὸ 1497 ἔτος, ἀφ᾽ ȣ̃ Ἀμερικὴ ἐκλήθη. Π. Πῶς ὑπηγάγοντο οἱ Ἱσπανοὶ ταύτην τὴν νῆσον; Ε. Οὕτως ἐξέπληξαν τȣ̀ς ταύτην οἰκȣ̃ντας τῇ βροντῇ τῶν πυροβολικῶν ὅπλων, ὥσε πισεῦσαι τȣ̀ς Ἱσπανȣ̀ς θεȣ̀ς εἶναι. Π. Τίνος ἕνεκα τȣτὶ τῆς οἰκȣμένης τὸ μέρος ἐσὶ θαυμάσιον; Ε. Ὅτι εὐφορώτατόν ἐσι χρυσȣ̃ ϗ ἀργύρȣ· πολλάκις γὰρ ὑπ᾽ ἄκρᾳ τῇ βώλῳ κρύπτεται ταῦτα τὰ μέταλλα. Ἔνθεντοι πολλὰ τάλαντα χρυσȣ̃ καὶ ἀργύρȣ ἐκεῖθεν ἄγεται εἰς τὰς γάζας, εἰδὲ βȣ́λει, εἰς τȣ̀ς θησαυρȣ̀ς τῶν κρατȣ́ντων. Π. Πȣ̃ ἀνορύττεται ὁ κάλλισος χρυσὸς ϗ ἄργυρος; Ε. Ἐν Παννονίᾳ, εἴτ᾽ ȣ̃ν Οὐγκαρίᾳ. Π. Τί φύεται παρὰ ταῦτα ἐν τῇ Ἀτλαντίδι νήσῳ; Ε. Νικοτιανὴ βοτάνη, Περȣβιανὴ ῥίζα, σάκχαρ, καφφέας καρπὸς, κάκαος, βανιλία, ϗ ἰνδικόν.

ΔΕΚΑ'Σ

ΔΕΚΑʹΣ Ζ!

Περὶ Τετραπόδων ζώων καὶ νηκτῶν.

ΔΙΑʹΛΟΓΟΣ Α!

Ανδρόνικος. Καλλίςρατος.

Α. Πῶς ἐφύλαττον τὸ πάλαι οἱ ἄνθρωποι τὰ ζῶα; Κ. Εʼν ἄντροις καὶ σπηλαίοις, χηραμοῖς τε καὶ ὀπαῖς τῆς γῆς. Α. Ποσαχῶς διήρηται τὰ ζῶα; Κ. Τετραχῶς· εἰς χερσαῖα, ἔνυδρα, ἐναέρια καὶ ἀμφίβια. Α. Πῶς δʼ ἄλλως διαιρεῖται ταῦτα; Κ. Εἰς τιθασσὰ καὶ ἀτίθασσα, εἰ δὲ βϑλει, εἰς ἥμερα καὶ ἄγρια, ἢ ὃ ταυτόν ἐςιν, εἰς θρέμματα καὶ θηρία. Α. Τί τῶν θηρίων ἐςὶ μέγιςον; Κ. Τῶν μὲν ἐνύδρων τὸ Κῆτος, τῶν δὲ χερσαίων ὁ Εʼλέφας, ὃς βρυχᾶται, καὶ τῇ προβοσκίδι τὴν τροφὴν προσάγεται πρὸς τὸ ςόμα. Α. Πϑ ἁλίσκεται τὰ Κήτη; Κ. Εʼγγὺς τῆς Γροιλλανδίας. Α. Πϑ δὲ διαιτῶνται οἱ Εʼλέφαντες; Κ. Εʼν τῇ νήσῳ Κεϋλῶνι· λευκοὶ δέ εἰσι μάλα σπάνιοι. Α. Πόθεν ϑν ἔχομεν τϑς λευκϑς Εʼλέφαντας; Κ. Εʼκ τῶν λευκῶν ὀδόντων τϑ Εʼλέφαντος, ὧν εἰς διακοσίας μνᾶς (λίτρας) ἕλκει καὶ πρός. Α. Τί γίγνεται ἐκ τϑ Εʼλέφαντος; Κ. Πολύτιμα σκεύη· ἔτι δὲ κτένες, οἵπερ ἀγαθοί εἰσι πρὸς τὸ διεκτενίζειν τϑς φθεῖρας καὶ τὰς κόνιδας. Α. Τίνες παροιμίαι ἐχώρησαν ἀπὸ τϑτϑ τϑ ζώϑ; Κ. Εʼλέφαντος

ὀυδὲν διαφέρεις, ἐπὶ τῶν μεγάλων καὶ ἀναισθήτων, παρ' ὅσον καὶ τὸ ζῶον τοιοῦτον· καὶ Ἐλέφαντα ἐκ μυίας ποιεῖν, ἐπὶ τῶν τὰ ἐλάχιστα τῷ λόγῳ ἐπαιρόντων καὶ μεγάλα ποιούντων.

ΔΙΑʹΛΟΓ. Β!

Α. Τίνα τῶν θηρίων ἐστὶν ἀλκιμώτατα καὶ ἀγριώτατα; Κ. Λέων, Λέαινα, Πάρδαλις, Τίγρις. Α. Τί δὲ τῶν βοσκημάτων τιθασσότατον; Κ. Ἡ ὄϊς, ἤτοι τὸ πρόβατον. Α. Τίς ἡγεῖται τῶν προβάτων; Κ. Ὀκτίλος, εἴτ' οὖν ὁ κριός. Α. Ποῦ εἰσι λιπαρότατα; Κ. Ἐν Αἰγύπτῳ· οὕτω γὰρ παχέα ἐστὶν, ὡς τὰς κέρκους αὐτῶν διφρίσκοις, εἴτ' οὖν ἀμαξίοις ἐπιτίθεσθαι. Α. Διὰ τί οἱ ποιμένες τρέφουσι πολλοὺς κύνας; Κ. Ἵν' ἀπερύκωσι τοὺς λύκους ἀπὸ τῶν προβάτων, βοῶν καὶ συῶν. Α. Τίνι τῶν ζῴων ὁ Λύκος μάλιστα πάντων πολέμιός ἐστι; Κ. Τοῖς προβάτοις. διὸ δὴ πολλάκις ἐπιτίθεται αὐτοῖς βληχωμένοις. Α. Ποῦ εἰσιν οἱ Λύκοι καὶ αἱ Ἄρκτοι σπάνιοι; Κ. Ἐν Βρεττανίᾳ ἕνεκεν τῶν ἀργαλέων (χαλεπῶν) κυνῶν. Α. Πόθεν ἐκλήθησαν οἱ Μολοττοὶ κύνες; Κ. Ὑπὸ τῶν Μολοττῶν (ἔθνος ἦν τοῦτο τῆς Ἠπείρου) πολλοὺς τρεφόντων. Α. Τί πάσχουσιν οἱ κύνες; Κ. Οὐχ ὑλακτοῦσι μόνον τοὺς ξένους, ἀλλὰ δὴ καὶ ῥαδίως λυττῶσιν ἐν τοῖς σφοδροτάτοις καύμασι. Α. Διὰ τί δεῖ φυλάττεσθαι τοὺς λυττῶντας τῶν κυνῶν; Κ. Ἐπείπερ καὶ οἱ ἄνθρωποι καὶ τἄλλα τῶν ζῴων λυττῶσι δηχθέντες ὑπὸ τοῦ λυττῶντος κυνός. Α. Τίς παροιμία ἐχώρησεν ἀπὸ τοῦ κυνός; Κ. Κύων ἐπὶ φάτνης. Α. Ἐπὶ τί-

νος τάττεται; Κ. Ἐπὶ τῶν μήτε χρωμένων, μήτε ἄλλους ἐώντων χρῆσθαι· παρ᾽ ὅσον καὶ ἡ κύων οὔτε αὐτὴ ἐσθίει, οὔτε τὴν βοῦν ἐᾷ τοῦ χόρτου, εἰ δὲ βούλει, τῆς κριθῆς ἐσθίειν.

ΔΙΑʹΛΟΓ. Γ!

Α. Διὰ τί ὁ Ἡρακλῆς ἐκλήθη βουφάγος; Κ. Ὅτι ταῦρον ὅλον ἑκάστης ἡμέρας ἀνήλισκεν, εἴτ᾽ οὖν κατήσθιε. Α. Τίνα τῶν ζώων προσέφερον τοῖς θεοῖς εἰς θυσίαν; Κ. Πλὴν ταύρων, βοῶν καὶ μόσχων, τράγους, αἶγας καὶ ἐρίφους. Α. Ὁποῖον ζῶόν ἐστιν ὁ λαγώς; Κ. Δειλότατον· δεδίττεται γὰρ καὶ τοὺς ψόφους τῶν φύλλων. ἀφ᾽ οὗ καὶ παροιμίαι· λαγὼ βίον ζῶν, καὶ λαγωοῦ δειλότερος. Α. Ὁποῖον δὲ ἡ ἔλαφος; Κ. Τάχιστον· ἅλλεται γὰρ ὡς πτηνός. ὅθεν Ἐλάφου ταχύτερος. Α. Ποῦ διαιτῶνται ταῦτα τὰ ζῶα; Κ. Ἐν τοῖς δρυμῶσι καὶ θάμνοις. Α. Ποῦ δὲ αἱ δόρκες, ἢ αἱ δορκάδες; Κ. Ἐν τοῖς ὄρεσι καὶ κρημνοῖς. Α. Τῷ διαφέρουσι τῶν αἰγῶν; Κ. Τῷ ἔχειν τὰ κέρατα ἐπὶ τὰ πρόσω κεκαμμένα. Α. Ὁποῖον ζῶόν ἐστιν ἡ δορκάς; Κ. Ὀξυδερκέστατον· λέγεται γὰρ παρὰ τὸ δέρκω τὸ ὁρῶ. ὅθεν παροιμία· δορκὸς ὀξυδερκέστερος. Α. Ποίῳ στρατηγήματι ἑάλω ἡ Ἔδεσσα; Κ. Τῇ ἀγέλῃ τῶν τράγων κυριττόντων ἀλλήλους τοῖς κέρασιν, οἷς συνεισῆλθεν ὁ Κάρανος εἰς τὴν πόλιν. Α. Τίς ἔγραψε περὶ Στρατηγημάτων; Κ. Πολύαινος ὁ Μακεδών.

ΔΙΑ'ΛΟΓ. Δ!

Α. Τίνα κόσμον ἔχει ὁ ἵππος ἐπὶ τȣ̃ τραχήλȣ; Κ. Χαίτην. Α. Πȣ̃ χρώμεθα τῷ ἵππῳ; Κ. Πρὸς τὰς ὁδοιπορίας ϗ ἐμπορίας· ȣ̓χ ἥκιςα δὲ πρὸς τὸν πόλεμον, διὰ τὸ γοργὸν εἶναι. Ὅθεν ἵππον εἰς πεδίον προκαλεῖν. Α. Πȣ̃ εἰσι γενναιότατοι; Κ. Ἐν Βρεττανίᾳ. Α. Διὰ τί οἱ τὴν Ἀσίαν οἰκȣ̃ντες τρέφȣσι πολλὰς καμήλȣς; Κ. Δύνανται γὰρ πολλὰ ἄχθη βαςάζειν, ϗ ἄποτοι ἀνέχεσθαι ἱκανὰς ἡμέρας, ἀφ' ȣ̔̃ ϗ παροιμία ἐχώρησε· Κάμηλος εἰ ϗ ψωριῶσα πολλῶν ὄνων ἀνατίθησι φορτία. Α. Διὰ τί χρώμεθα τοῖς ὀρεῦσι ϗ ταῖς ἡμιόνοις ἐν τοῖς ὀρεινοῖς καὶ δυσβάτοις χωρίοις; Κ. Ὅτι φέρȣσιν ἄχθη ϗ φόρτȣς διὰ τῶν ςενῶν τρίβων ϗ ὁδῶν ἐπ' ἀςραβῶν, εἴτ' ȣ̓̃ν σαγμάτων. Α. Τί θαυμαςὸν παρατηρεῖται ἐπ' αὐτῶν; Κ. Τὸ μηδέποτε τίκτειν. Α. Πȣ̃ κάλλιςαι; Κ. Ἐν τῇ νήσῳ Μινώρκῃ. Α. Τί τῶν τετραπόδων ζώων βράδιςον; Κ. Ὁ ὄνος, εἰ δὲ βȣ́λει, ὁ κανθήλιος. Α. Τίνες ἐοίκασι τοῖς κανθηλίοις; Κ. Οἱ νωθεῖς ϗ βλάκες.

ΔΙΑ'ΛΟΓ. Ε!

Α. Τίνι τῶν ζώων μάλιςα χρῆται ὁ μῦθος; Κ. Τῇ ἀλώπεκι, διὰ τὸ εἶναι πανȣργότατον πάντων τῶν ζώων. Α. Τί ἔφη ἡ κερδὼ (ἀλώπηξ) μὴ δυνηθεῖσα ψαῦσαι τῶν πεπείρων βοτρύων ἐφ' ὑψηλȣ̃ κλήματος κρεμαμένων; Κ. Ἔτι ὄμφακές εἰσι. Α. Τί ἤτησεν ἡ μιμώ, εἴτ' ȣ̓̃ν ὁ πίθηκος τὴν ἀλώπεκα; Κ. Μεταδȣ̃ναι αὐτῇ τῆς κέρκȣ

πρὸς τὸ συγκαλύψαι τὴν πυγὴν, ἢ τὸν γλουτόν. Α. Πότερον οὖν ἐπένευσεν ἡ κερδώ; Κ. Οὐ μὲν οὖν, ἀλλ' ἀνένευσεν, ϗ εἶπεν, ὡς μᾶλλον βούλοιτο τὴν χθόνα (γῆν) ταύτῃ σαίρειν, ἢ ἐκείνῃ μεταδοῦναι. Α. Τίνες ἐοίκασι τῇ ἀλώπεκι; Κ. Οἱ ἀπατεῶνες ϗ δόλιοι. Α. Τίνες δὲ τῷ πιθήκῳ; Κ. Οἱ κόλακες ϗ παράσιτοι. Α. Τίνες παροιμίαι προῆλθον ἀπὸ τούτων τῶν ζώων; Κ. Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται πάγῃ· ϗ πίθηκος ἐν πορφύρᾳ. Α. Ἐπὶ τίνος τάττεται αὕτη; Κ. Ἐπὶ τῶν φαύλων ϗ μηδενὸς ἀξίων.

ΔΙΑΛΟΓ. ΣΤ'

Α. Ὁποῖον ζῶόν ἐστιν ὁ σκάλωψ, εἴτ' οὖν ἀσπάλαξ; Κ. Τυφλὸν, ἀφ' οὗ ϗ παροιμία· τυφλότερος Ἀσπάλακος. Α. Ἦ ϗ ἐπιβλαβές; Κ. Σφόδρα γε· σίνεται γὰρ τὴν πόαν (χλόην) τοὺς λειμῶνας ϗ τοὺς κήπους ἀνορύττων εἴτ' οὖν σκαλεύων τὴν γῆν. Α. Ὁποῖον δὲ ὁ ὄρειος μῦς; Κ. Οὗτος οὐ λυμαίνεται τοὺς σιτῶνας, τὴν κριθὴν, τὸν πυρὸν, τὴν ζειὰν, ἢ ὄλυραν, ὥσπερ ὁ κατοικίδιος μῦς, ἀλλὰ χειμῶνος ἐπιόντος φωλεῖ ϗ γίνεται παχύτατος. ὅθεν ϗ παροιμία· Ἐλειοῦ ὑπνωδέστερος ἐπὶ τῶν φιλύπνων. Α. Τί τῶν ζώων πολέμιόν ἐστι τοῖς μυσίν; Κ. Ὁ Αἴλουρος, εἰ δὲ βούλει, ἡ γαλῆ· συλλαβὼν γὰρ αὐτοὺς δεινῶς κατασπαράττει ϗ ἐκβιβρώσκει. Α. Τί ὑπεκρίνατο μηκέτι δυνάμενος συλλαμβάνειν αὐτούς; Κ. Ἐσχηματίσατο νεκρὸς εἶναι. Α. Τί πρὸς αὐτὸν οἱ μῦες; Κ. Ὦ οὗτος, ἔφασαν, κἂν θύλαξ γένῃ, οὐ προσελευσόμεθά σοι. Α. Τί ἱστοροῦσι περὶ

τῶν

τῶν μυῶν; Κ. Κατεσθίειν σίδηρον καὶ χρυσόν· διὸ καὶ ἀνατέμνοντες αὐτοὺς οἱ ἐν τοῖς χρυσείοις τὸν χρυσὸν ἀνιμῶνται. Α. Ὁποῖον ζῶόν ἐστιν ὁ ἐχῖνος; Κ. Ἀκανθῶδες καὶ ἐπιστινές, ἀφ' οὗ ἐχώρησε παροιμία· Πολλὰ μὲν οἶδ' ἀλώπηξ, ἐχῖνος δὲ ἓν μέγα.

ΔΙΑ'ΛΟΓ. Ζ'.

Α. Τί ἱστοροῦσιν οἱ ἀνιχνευταὶ τῆς φύσεως περὶ τῆς ἀγρίας γαλῆς; Κ. Τὰ ἀποχωροῦντα, εἴτ' οὖν ἐκκρίματα αὐτῆς μὴ κακῶς ὄζειν, ἀλλ' εὐοσμεῖν. Α. Διὰ τί ἡ δορὰ τῆς σκυθικῆς γαλῆς οὕτω πολλοῦ ἀξία ἐστίν; Κ. Ὅτι ταύτην φοροῦσιν οἱ μέγα δυνάμενοι, καὶ πλούτῳ κομῶντες. Α. Τί φασι περὶ τοῦ ἀλπίνου μυός; Κ. Οὕτω τὴν ἰλὺν φεύγειν αὐτόν, ὡς αἱρεῖσθαι μᾶλλον ἀποθανεῖν, ἢ μιανθῆναι. Α. Τίνι βορᾷ ἁλίσκεται ὁ πάνθηρ; Κ. Τῇ μίνθῳ, εἴτ' οὖν κάκκῃ. Α. Τί δὲ περὶ τῆς ἄρκτου; Κ. Περιλείχειν αὐτὴν λίχνως τὸ μέλι, καὶ καθεύδειν τοῦ χειμῶνος. Α. Ἀληθές ἐστιν τὴν ἄρκτον τυφλοὺς τίκτειν τοὺς σκύμνους; Κ. Οὐ μὲν οὖν, ἀλλὰ τοῦτο ἀληθές ἐστιν, ὅτι ποιεῖται τοῦ χειμῶνος μαλακὴν κοίτην ἐκ βρύου. Α. Ποῦ φύεται τὸ βρύον; Κ. Ἐν ὑγροῖς χωρίοις, κἂν τοῖς φλοιοῖς τῶν δένδρων. Α. Τίνος βορά ἐστι τὸ βρύον; Κ. Τῶν ταράνδων καὶ ἄλλων τινῶν ζώων.

ΔΙΑ'ΛΟΓ. Η'.

Α. Ποσαπλᾶ ἐστι τὰ κογχύλια; Κ. Διττά· ἤτοι κόγχαι, ἢ ὄστρεα. Α. Πῶς ἁλίσκεται τὰ

ὄςρεα; Κ. Ἐπ᾽ ἀκταῖς τῆς ἁλὸς, εἴτ᾽ ἒν αἰγιαλοῖς. Α. Τί ἱςορῆσι περὶ ἀυτῶν; Κ. Πληρῆσθαι μὲν ἀυξανομένης τῆς σελήνης, ἐλαττῆσθαι δὲ φθινομένης. Α. Πότερον ἒν ἀληθές ἐςι τὸ ἱςορῆμενον; Κ. Οὐ μᾶλλον, ἢ τὸ βαλάντιον πληρῆσθαι χρημάτων πληρῆμένῃ τῆ φωςῆρος· τί γὰρ κοινὸν σελήνῃ ϗ ὀςρέοις; Α. Ποσαπλοῖ δὲ οἱ κάχλοι τῆς γῆς; Κ. Διττοί· Κοχλίας ϗ Χελώνη. Α. Ὁποία τίς ἐςιν ἡ Χελώνη; Κ. Βραδίςη· ὅθεν χελώνης βραδύτερος. τὸ γεμὴν ὄςρακον ἀυτῆς ἒτω σκληρὸν πέφυκεν, ὥσθ᾽ ἅμαξαν φορτίων γέμεσαν ἀνέχειν. Α. Πῆ μέγιςαι; Κ. Ἐν τῇ ἑώᾳ Ἰνδίᾳ. Α. Πόσα τὰ εἴδη τῶν Καρκίνων; Κ. Δύω· Κάραβοι ϗ Ἀςακοί. Α. Ὁποῖον ζῶόν ἐςιν ὁ καρκῖνος; Κ. Ἀμφίβιον· ζῇ γὰρ ἐν γῇ ϗ ἐν ὕδατι. Α. Ἆρ᾽ ἒν νήχεται; Κ. Ἥκιςα· ἒ γὰρ ἔχει πτέρυγας, ϗ ἀντὶ βραγχίων καὶ λεπίδων ἔχει ὄςρακον, πρόσωτε ϗ ὀπίσω διεξέρπει. Α. Πῶς ἁλίσκονται οἱ καρκῖνοι; Κ. Τοῖς δικτύοις] καὶ κύρτοις. Α. Πῶς δὲ ἀμύνονται; Κ. Ταῖς χηλαῖς.

ΔΙΑʹΛΟΓ. Θ!

Α. Ὁποῖον ζῶόν ἐςιν ὁ ἰχθῦς; Κ. Ἔνυδρον καὶ ἄφωνον· ὅθεν ἰχθύων ἀφωνότερος. Α. Πῶς αἱρῆσιν οἱ ἀσπαλιευταὶ (ἁλιεῖς) τὰς ἰχθύας; Κ, Τῇ σαγήνῃ, τῷ ἀγκίςρῳ, κύρτῳ, βόλῳ, γρίπῳ ϗ ἀμφιβλήςρῳ. Α. Τίνι ἀγρεύεται ἡ σάλπη; Κ. Τῇ κολοκύνθῃ. Α. Τίσι τῶν ἰχθύων ἥδοντο μάλιςα Ῥωμαιοι; Κ. Τῇ τρίγλῃ ϗ τῇ καρίδι. Α. Τίνες τῶν ἰχθύων εἰσὶ κεφότεροι; Κ, Οἱ θαλάττιοι· οἱ μὲν γὰρ ποτάμιοι

βα-

βαρύτεροι, οἱ δὲ λιμναῖοι πίονες. Α. Τίνες δ᾽ ἀμείνες; Κ. Οἱ πρόσγειοι· πλείω γὰρ ϗ βελτίω νομὴν ἔχουσι. Α. Τίνες εἰσὶ πελαγικοὶ, εἴτ᾽ οὖν θαλάττιοι; Κ. Ῥαφὶς, πλώτης, μύραινα, κόγγρος, ξιφίας, τριχίας, σκόμβρος, σαπέρδης, σκίλλα, ϗ ἄλλα ποικίλα τέρατα, οἷον ἱπποπόταμος, φώκη, δελφὶς, φάλαινα. Α. Τίνες δὲ λιμναῖοι; Κ. Κυπρῖνος, λάβραξ, πέρκη, κορακῖνος, ψύλλων, μελάνουρος. Α. Τίνες δὲ ποτάμιοι; Κ. Αʹφύη, γλανὶς, κεστρεὺς, κωβιὸς, λῦκος, ἔλλοψ, ἀντακαῖος. Α. Ποῦ μέγιστοι ἀντακαῖοι; Κ, Εʹν τῷ Ῥᾶ, τῷ ϗ Βόλγα καλουμένῳ ποταμῷ, κἂν τῇ Μαιώτιδι λίμνῃ. Α. Τίς τῶν ἰχθύων ἔοικε τῷ ὄφει, εἰ δὲ βούλει, τῷ ἔχει, ἢ τῇ ἐχίδνῃ; Κ. Ἡ ἀλιθηρὰ ἔγχελυς. Α. Ποῦ ἁλίσκονται αἱ κάλλισται μαινίδες; Κ. Εʹν τοῖς περὶ Βρεττανίαν αἰγιαλοῖς. Α. Πόθεν κομίζονται αἱ τριχίδες; Κ. Εʹκ Σαρδοῦς. Α. Οʹποῖός τις ἰχθῦς ἐστιν ὁ θύνος; Κ. Παμμεγέθης. Α. Οʹποῖος δὲ ἡ σμαρίς; Κ. Πάμμικρος. Α. Τί φασι περὶ τῆς σηπίας; Κ. Τὸν θολὸν αὐτῆς οὕτω μέλανα ὑπάρχειν, ὡς τοὺς Λίβεις χρῆσθαι αὐτῷ μέλανι. Α. Πῶς ἁλίσκεται αὕτη; Κ. Τοῖς δελέασιν, ὥσπερ ϗ ὁ πολύπους.

ΔΙΑʹΛΟΓ. Ι!

Α. Τί εἰώθει ὁ Καῖσαρ Γέτης πυνθάνεσθαι παρὰ τῶν Γραμματικῶν; Κ. Εʹφίλει αὐτοὺς ἐρωτᾶν, ὅπως τὰ ζῶα φωνιᾶται. Ἤρετο, φέρ᾽ εἰπεῖν, αὐτοὺς, πῶς ὁ ὄνος βοᾷ, ἢ κράζει; Οʹγκᾶται. Α. Πῶς δὲ ὁ κύων; Κ. Ὑλακτεῖ. Α. Πῶς δὲ ὁ

σκύλαξ; Κ. Βαΰζει. Α. Πῶς δὲ ὁ ἵππος; Κ. Χρεμετίζει. Α. Πῶς δὲ ὁ σῦς; Κ. Γρύζει. Α. Πῶς δὲ ὁ βȣ̃ς; Κ. Μυκᾶται. Α. Πῶς δὲ ἡ ὄϊς; Κ. Βληχᾶται. Α. Πῶς δὲ ἡ αἴξ; Κ. Μηκᾶται. Α. Πῶς δὲ ὁ λύκος, ἡ ἀλώπηξ, ϗ ὁ λέων; Κ. Ωʹρύεται. Α. Πῶς δὲ ἡ ἄρκτος, ἡ τίγρις, ἡ πάρδαλις ϗ ὁ πάνθηρ; Κ. Βρυχᾶται. Α. Πῶς δὲ ὁ δράκων, εἴτ' ȣ̃ν ὁ ὄφις; Κ. Συρίττει. Α. Πῶς δὲ ὁ βάτραχος; Κ. Κοάζει.

ΔΕΚΑʹΣΗ!

Περὶ Πτηνῶν καὶ Εʹντόμων.

ΔΙΑʹΛΟΓΟΣ. Α!

Πορφύριος. Ζηνόβιος.

Π. Ποσαχῶς διήρηται τὰ Πτηνά; Ζ. Τριχῶς· τὰ μὲν γὰρ πτερωτά ἐςιν, οἷον ἀετὸς ϗ ἱέραξ· τὰ δὲ πτιλωτὰ, οἷον μέλιττα ϗ μηλολόνθη· τὰ δὲ δερμόπτερα, οἷον ἀλώπηξ ϗ νυκτερίς. Π. Τίς ἀνάσσει τῶν πτηνῶν, εἰ δὲ βȣ́λει, τῶν ὀρνίθων; Ζ. Οʹ ἀετὸς, ὥσπερ ὁ λέων τῶν τετραπόδων. Π. Οʹποῖον ὄρνεόν ἐςι; Ζ. Γενναιότατον ϗ ὀξυωπέςατον. Π. Τίνων ἐςὶν ἱερός; Ζ. Τȣ̃ ὑπάτȣ Διός. Π. Τίνι πρȣσήμηνε (πρȣδήλωσε) τὴν βασιλείαν; Ζ. Γορδίῳ τῷ ἀγροτῃ ἐπι-

καθί-

καθίσας τῷ ζυγῷ τῶν βοῶν, καὶ Ταρκυνίῳ τῷ σȣπέρϐῳ (ὑπερηφάνῳ) ἐπιθέμενος τὸν πῖλον, ὃν ἀφείλετο τῆς κεφαλῆς. Π. Τίς παροιμία ἐχώρησεν ἀπὸ τȣ́τȣ τȣ̃ ὄρνιθος; Ζ. Ἀετὸς ȣ̓ θηρεύει μυίας. Π. Τί πεποίηκεν ὁ μῦθος περὶ τȣ̃ ἀετȣ̃; Ζ. Ἀποθέσθαι ἐν τῷ τȣ̃ Διὸς κόλπῳ τὴν τῶν ὠῶν γονήν. Π. Ὅτι τί δή; Ζ. Ἐπείπερ ὁ κάνθαρος διέφθειρε τὰ ὠὰ αὐτȣ̃. Π. Τȣ̃ χάριν ἔδρασεν ὁ κάνθαρος τȣ̃το τὸν ἀετόν; Ζ. Ὅτι καταπεφρόνηκεν αὐτȣ̃ δεηθέντος μὴ ἀνελεῖν τὸν ἱέρακα. Π. Τί διδάσκει ȣ̂τος ὁ μῦθος; Ζ. Μηδενὸς δεῖν καταφρονεῖν τῶν ἐλαχίςων.

ΔΙΆΛΟΓ. Β!

Π. Ὁποῖαί εἰσιν αἱ πέλειαι, εἴτ' ȣ̂ν αἱ περιςεραί; Ζ. Ἥμεραί τε καὶ ἀσθενεῖς. Π. Τί πεποίηκεν ὁ μῦθος περὶ τῶν περιςερῶν; Ζ. Ἑλέσθαι βασιλέα τὸν ἱέρακα πρὸς τὸν ἰκτῖνον. Π. Ὁποῖος ἦν ὁ ἱέραξ; Ζ. Ὀξύτερος τȣ̃ ἰκτίνȣ· διεσπάραξε γὰρ αὐτὸν τοῖς ὄνυξι καὶ ἐξηντέρισεν. Π. Ὁποῖος ὄρνις ἐςὶν ὁ γύψ; Ζ. Ἀσινής· φέρεται γὰρ ἐπὶ τὰς ὀσμὰς τῶν διεφθορότων σωμάτων, καὶ προσφέρεται τὰ πτώματα. Π. Ποσαπλαῖ εἰσιν αἱ νῆτται; Ζ. Διτταί· αἱ μὲν τιθασσαὶ, αἱ δὲ ἄγριαι, ὥσπερ καὶ οἱ χῆνες οἱ μὲν ἄγριοι, οἱ δὲ ἥμεροι. Π. Ἵνα τί σιτεύονται ȣ̂τοι καὶ σάττονται; Ζ. Ὅτι τὸ χήνειον λίπος καλόν ἐςι, μᾶλλον δὲ κρεῖττον τȣ̃ κριείȣ καὶ τȣ̃ ςέατος. Π. Διὰ τί ὁ χὴν ἐν Ῥώμῃ κατ' ἔτος περιεφέρετο ἐν φορείῳ; Ζ. Ὅτι τῇ βοῇ τῶν χηνῶν τέως ἀφυπνισθεὶς ὁ Μάνλιος ᾔσθετο τῶν πολεμίων, καὶ ἀπεῖρξε τȣ̃ Κα-

πι-

πιτωλίου. Π. Τί ἐπλάσαντο περὶ τῆς Σκύλλης; Ζ. Μεταβαλεῖν αὐτὴν εἰς κορυδαλὸν, τῷ προδοῦναι τὸν πατέρα τοῖς πολεμίοις. Π. Τί ξυνέβη τῷ πατρί; Ζ. Μετέβαλεν εἰς σπιζίαν ὄρνιν, ὃς διὰ τοῦτο διώκει τοὺς κορυδαλούς.

ΔΙΑʹΛΟΓ. F!

Π. Τίνες τῶν ὀρνίθων εἰσὶ μακρόβιοι; Ζ. Ὁ μὲν ἀετὸς ἑξακόσια ἔτη ζῆν λέγεται· ὥσπερ ὁ μυθευόμενος φοῖνιξ· ὁ δὲ κόραξ καὶ ἡ κορώνη τριακόσια, ἡ δὲ φάττα ὑπὲρ τὰ τετταράκοντα. Π. Ποῖός τις ὄρνις ἐστὶν ὁ στρουθός; Ζ. Λαγνότατος. Π. Ποῖος δὲ ἡ περιστερά; Ζ. Σωφρονέστατος· οὔτε γὰρ συνδυάζεσθαι ἐθέλει πλείοσιν, οὔτε προαπολείπει τὴν κοινωνίαν, πλὴν ἐὰν χῆρος, ἢ χήρα γένηται. Π. Τί ἐμυθεύσαντο περὶ τοῦ ἀλεκτρυόνος; Ζ. Γενέσθαι μὲν αὐτὸν παῖδα Ἄρεως, μεταβαλεῖν δὲ εἰς τοῦτον τὸν ὄρνιν, διὰ τὸ ἀποκοιμηθῆναι ἐν τῇ τάξει. Π. Διὰ τί οὗτος ὁ ὄρνις ἐστὶν ἐπίσημος; Ζ. Ὅτι μαχιμώτατός ἐστι, καὶ κροτεῖ τὰς πτέρυγας νικήσας· εἶθ' ὅτι σημαίνει τὰς ὥρας τῆς νυκτὸς τῇ ᾠδῇ. Π. Διὰ τί δὲ ἡ χελιδών; Ζ. Ὅτι προαγγέλλει τὸ ἔαρ. Π. Ποία παροιμία ἔρρευσεν ἐκ τούτου τοῦ ὄρνιθος; Ζ. Μία χελιδὼν οὐ ποιεῖ ἔαρ. Π. Πῶς διάγουσιν αἱ χελιδόνες τοῦ χειμῶνος; Ζ. Αἱ μὲν ἀπέρχονται εἰς ἀλεεινοὺς τόπους, αἱ δὲ κρύπτουσιν ἑαυτὰς παρὰ τὰς ὄχθας τῶν ποταμῶν καὶ λιμνῶν.

ΔΙΑʹ-

ΔΙΑΛΟΓ. Δ!

Π. Ὁποῖος ὄρνις ἐςὶν ὁ ταώς; Ζ. Ἀλαζὼν ϗ ὑπέροφρυς. Π. Τί δή; Ζ. Ὅτι ἀνίςησι τὸ πτερὸν, οἷα δὴ κόμην, ϗ κυκλικὸν ἀπεργάζεται σχῆμα μέγα τι ϗ ὑπέρογκον ἐπὶ τῷ κάλλει φρονῶν. Π. Τίνος ἱερός ἐςι; Ζ. Τῆς Ἥρας. Π. Τȣ̃ χάριν ἀπωδύρετο πρὸς αὐτήν; Ζ. Ὅτι ȣ̓ παρέσχεν αὐτῷ λιγυρὰν φωνήν. Π. Τί ἔφη αὐτῷ ἡ Ἥρα; Ζ. Τοιαύτης αὐτὸν λαχεῖν φύσεως, ὡς νικᾷν μὲν τὴν ἀηδόνα τοῖς πτεροῖς, ἡττᾶσθαι δὲ ταύτης τῇ φωνῇ. Π. Τί διδάσκει ȣ̃τος ὁ μῦθος; Ζ. Μηδένα ἀγαπᾷν τοῖς παρȣ̃σι. Π. Τίς ἀπέτεμε τὴν γλῶτταν τῆς Φιλομήλης; Ζ. Ὁ Τηρεὺς, ὃς διὰ τȣ̃το μετέβαλεν εἰς ἔποπα. Π. Ποῖός τις ἐςὶν ὁ Ἔποψ; Ζ. Ποικιλόχρȣς μὲν, κακῶς μέν τοι ὄζει. Π. Ποία δὲ ἡ Ἀκανθίς; Ζ. Κακόχρȣς μὲν, ἀλλὰ λιγυρὰν ἔχει φωνήν.

ΔΙΑΛΟΓ. Ε!

Π. Τίνες τῶν ὀρνίθων εἰσὶ λάλοι; Ζ. Χελιδὼν, κορώνη, τρυγὼν, κολοιός. Π. Τίνες παροιμίαι ἐχώρησαν ἀπὸ τȣ̃ κολοιȣ̃; Ζ. Κολοιὸς παρὰ κολοιὸν ἵζανει· ϗ Κολοιὸς ἐν Μȣ́σαις. Π. Ἐπὶ τίνων τάττεται; Ζ. Ἡ μὲν ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλȣ́ντων, ἡ δὲ ἐπὶ τῶν ἀμαθῶν, ϗ, ὡς εἰπεῖν, ἀναλφαβήτων ἐν τοῖς σοφοῖς. Π. Τίνες ἐοίκασι τοῖς κολοιοῖς; Ζ. Οἱ φλύαροι ϗ ἀδολέσχαι· κἀκεῖνοι γὰρ πολλὰ ληρȣ̃σι ϗ ἀποκναίȣσι τȣ̀ς ἀκȣ́οντας. Π. Τίνες παρὰ τȣ́-

τȣς

τȣς τȣ̀ς ὄρνεις εἰσὶ λάλοι; Ζ. Ἡ κίττα ϗ ὁ κοραϰίας. Π. Ὁποῖοι πεφύκασιν ἆτοι; Ζ. Κλεπτίςατοι· ἐρῶσι γὰρ τȣ̃ νομίσματος, ὥςε λάθρα ἀφαιρȣ̃ντας κατακρύπτειν αὐτό. Π. Ὁποῖον ὄρνεόν ἐςιν ὁ πέρδιξ; Ζ. Κακόηθες, κακȣ̃ργον, ϗ ἀφροδισιαςικόν. Π. Πȣ̃ νεοττεύει ὁ ὄρτυξ; Ζ. Ἐπὶ τῆς γῆς, ὥσπερ ϗ ὁ πέρδιξ, διὰ τὸ εἶναι βαρεῖς ϗ μὴ πτητικοί.

ΔΙΑʹΛΟΓ. ΣΤ!

Π. Τίνες ὄρνιθές εἰσιν ᾠδικοί; Ζ. Ἀηδὼν, θραυπὶς, κόρυδος (κορυδαλὸς), σπίζα, χλωρίων, χρυσόμιτρις, κόσσυφος, ϗ κύκνος· ὅθεν κύκνȣ ᾠδικώτερος. Π. Τίνος ἱερός ἐςιν ὁ κύκνος; Ζ. Τȣ̃ Ἀπόλλωνος, ὥσπερ ἡ γλαὺξ τῆς Ἀθηνᾶς, ἥπερ νυκτὸς μὲν ὀξυδερκεῖ, ἡμέρας δὲ ἀμβλυωπεῖ, ὥσπερ δὴ ϗ ἄλλοι νυκτερινοὶ ὄρνιθες· αἰγώλιος, βύας, ὠτὸς, νυκτικόραξ. Π. Τίς παροιμία εἴρηται ἐπὶ τῆς γλαυκός; Ζ. Γλαῦκας εἰς Ἀθήνας. Π. Ἐπὶ τίνος τάττεται; Ζ. Ἐπὶ τῶν ἀχρήςȣς ἐμπορίας ἀγόντων, διὰ τὸ σφόδρα τὸ ὄρνεον τȣ̃το ἐπιχωριάζειν ταῖς Ἀθήναις. Π. Ποῖον σύμβολον (οἰωνὸν) ἐποιȣ̃ντο τὴν γλαῦκα Ἀθηναῖοι; Ζ. Αἴσιον. Π. Ποῖον δὲ τὸν βύαν Ῥωμαῖοι; Ζ. Ἀπαίσιον. Π. Τί ἱςορȣ̃σι περὶ τȣ̃ Κόκκυγος; Ζ. Τίκτειν ἐν ἀλλοτρίαις νεοττίαις, ἐν τῇ τῆς ὑπολωΐδος χαμαὶ, ϗ ἐν τῇ τῆς χλωρίδος καλȣμένης ἐπὶ δένδρȣ. Π. Τί δὲ προσιςορȣ̃σιν; Ζ. Ἐπειδὰν ἡ ὑπολωῒς ἐκλέψῃ τὰ ᾠὰ, ϗ ἐκκολάψῃ τȣ̀ς νεοττȣ̀ς, ἐκβάλλειν τȣ̀ς ἑαυτῆς. Π. Ἀληθές ἐςιν τὸν κόκκυγα ἐπιφοι-

φοιτῶντα κατεσθίειν τὰ τῆς ὑποδεξαμένης ὑπολωΐδος νεόττια; Ζ. Ψεῦδος τῦτό ἐςιν· ὔτε γὰρ ὀξύρυγχος, ὔτε γαμψώνυξ ἐςὶν ὁ κόκκυξ. Π. Τίνος ἕνεκεν ἡ ψιττάκη (ὁ ψιττακὸς) ἐςὶν ἐπίσημος; Ζ. Ὅτι μιμεῖται τὰς τῶν ἀνθρώπων φωνὰς, ὥσπερ ὁ ψὰρ ϗ ὁ κόραξ. Π. Ποῖοί τινες ὄρνιθές εἰσι κέπφος ϗ λάρος; Ζ. Κῦφοι ϗ ἄφρονες· ἀφ' ὧν κέπφος ϗ λάρος ἀνὴρ ἐπὶ τῦ εὐήθυς ϗ ἄφρανος.

ΔΙΑ'ΛΟΓ. Ζ!

Π. Ὁποῖον ὄρνεόν ἐςιν ὁ αἰγύπιός; Ζ. Ἁρπακτικὸν, ὥσπερ ὁ αἰσάλων, τριόρχης ϗ σπιζίας· ταῦτα γὰρ ἁρπάζοντα τῦς ἀσινεῖς τῶν ὀρνίθων, οἷον δὴ τρυγόνας, ἀτταγῆνας, ὄρτυγας ὠμῶς διασπαράττει τοῖς ὄνυξι ϗ καταβιβρώσκει. Π. Πῶς ἁλίσκονται οἱ ὄρνιθες; Ζ. Ταῖς ἄρκυσιν, αἵπερ ἀναπετάννυνται ἐπὶ κεκαλυμμένης χαλίδος, ϗ τοῖς ἰξευτικοῖς καλάμοις. Π. Τίνι ἁλίσκεται ἡ κίχλα; Ζ. Τοῖς κόκκοις τῆς ἀρκεύθυ. Π. Διὰ τί ἥδονται οἱ ἄνθρωποι τῷ ἐρωδιῷ; Ζ. Ὅτι ἡδὺ παρέχεται θέαμα μαχόμενος τῷ ἱέρακι ἐν τῷ ἀέρι. Π. Τί ἱςορῦσι περὶ τῶν πελαργῶν; Ζ. Τρέφειν αὐτῦς τῦς πατέρας ϗ γηροκομεῖν, ἀφ' ὧν τὸ ἀντιπελαργεῖν. Π. Τί φασι τὸν πελεκᾶνα ποιεῖν; Ζ. Κολάπτειν (τρυπᾷν) τὰ δένδρα τῷ ῥύγχει· διὸ ϗ δρυοκολάπτης κέκληται. Π. Ἐκ τίνος ποιεῖται ὁ κόσσυφος τὴν νεοττίαν; Ζ. Ἐκ τριχῶν ϗ ἐρίων. Π. Τίς τῶν ὀρνίθων ἐςὶ μέγιςος; Ζ. Ὁ ςρυθοκάμηλος, ὃν ϗ σίδηρόν φασι πέπτειν ἰδιότητί τινι. Π. Τίς δὲ ἐλάχιςος; Ζ. Ὁ Τροχίλος, ὃς ϗ πρέσβυς ϗ βασιλεὺς

λεὺς καλεῖται· διὸ ϗ τὸν ἀετὸν αὐτῷ φασι πυλεμεῖν. Π. Πȣ͂ οἰκεῖ; Ζ. Εʹν λόχμαις ϗ τρώγλαις.

ΔΙΑʹΛΟΓ. Η.

Π. Ποῖαί τινές εἰσιν αἱ μέλιτται; Ζ. Λίαν φιλεργοὶ ϗ φιλόπονοι· πέτανται γὰρ κατὰ λειμῶνας ϗ δρέπονται τῶν ἀνθέων, ϗ αἱ μὲν αὐτῶν πήγνυνται κηρία, αἱ δὲ φέρονται ὕδωρ, αἱ δὲ ποιȣ͂νται μέλι. Π. Τί ἄξιον θεωρίας περὶ ταύτας; Ζ. Εʹχȣσιν ἡγεμόνα, ὥπερ μετὰ βόμβȣ πολλȣ͂ ὡς βασιλεῖ ἕπονται. Π. Τί ἱςορȣ͂σι περὶ τȣ́τȣ; Ζ. Μὴ ἔχειν κέντρον. Π. Πῶς ἀνακαλȣ͂νται αἱ μέλιτται; Ζ. Τῇ κλαγγῇ τȣ͂ κώδωνος. Π. Τίσι χωρίοις ἥδονται; Ζ. Τοῖς εὐηλίοις. Π. Τίνες ἀδικȣ͂σι τὰς μελίττας; Ζ. Οἱ κηφῆνες, οἵπερ ȣ̓ μελιττȣργȣ͂σιν, ἀλλὰ τρέφονται τὸ τῶν μελιττῶν μέλι. Π. Ποῖόν τί ἐςι τὸ μέλι; Ζ. Γλυκὺ, ὡς τὸ σάκχαρ. Π. Πȣ͂ ἀποτίθενται τȣ͂το αἱ μέλιτται; Ζ. Εʹν τοῖς ἑξαγώνοις κηρίοις, ἅπερ ποιȣ͂νται ἐν τῇ κηρίθρᾳ. Π. Πῶς ἀποκρίνεται τὸ μέλι τȣ͂ κηρȣ͂; Ζ. Ηʹθεῖται διὰ τȣ͂ θύλακος, εἴτ' ȣ͂ν σάκκȣ, ἢ καλάθȣ, ἐπειδὰν αἱ μέλιτται θυμιαθῶσι τῷ θείῳ. Π. Ποῖον μέλι κάλλιςον; Ζ. Τὸ Υʹμήττειον ϗ Υʹβλαιον. Π. Τίνα τῶν ἐντόμων ἐοίκασι ταῖς μελίτταις; Ζ. Αἱ σφῆκες ϗ αἱ ἀθρῆναι. Π. Οʹποῖά ἐςι ταυτὶ τὰ ἔντομα; Ζ. Βλαβερά· νύττει γὰρ τοῖς κέντροις.

ΔΙΑ-

ΔΙΆΛΟΓ. Θ!

Π. Τί τῶν ἐντόμων ἐςὶ λεπτότατον; Ζ. Ὁ Κώνωψ, ὃς δάκνει, ἢ κεντᾷ τῷ κέντρῳ τὲς ἀνθρώπȣς, ὥσπερ ἡ μῦα τȣτῳ θιγγάνȣσα αἱματίζει. Π. Τίς παροιμία λέγεται ἐπὶ κώνωπος; Ζ. Κώνωπα ἐλέφαντι παραβάλλειν. Π. Ἐπὶ τίνος τάττεται; Ζ. Ἐπὶ τῶν τὰ ἐλάχιςα τοῖς μεγίςοις συγκρινόντων. Π. Τίνι πολέμιός ἐςιν ὁ οἶςρος; Ζ. Τοῖς ταύροις ϗ βȣβάλοις, ὥσπερ ὁ μύωψ τοῖς βȣσὶ, ϗ ὁ κρώτων τοῖς κυσί. Π. Τί μυθολογȣ͂σι περὶ τῆς φάλαγγος, εἴτ' ȣ͂ν ἀράχνης; Ζ. Ἐλθεῖν εἰς ἔριν τῇ Παλλάδι περὶ ὑφαντικῆς. Π. Τί ȣ͂ν ἐγένετο; Ζ. Περιγενομένη αὐτῆς ἡ Παλλὰς ἔπληξε τῇ ἠλακάτῃ, εἰ δὲ βȣ́λει, τῷ ἀτράκτῳ, ϗ μετέβαλεν αὐτὴν εἰς τȣ͂το τὸ ζῶον, ὃ καλεῖται νῦν ἀράχνη. Π. Τίνι πολεμεῖ αὕτη; Ζ. Τῷ φυσάλῳ ϗ ταῖς μύαις, ἃς τῷ λεπτῷ μίτῳ αἱρεῖ. Π. Ὁποῖον ἔντομόν ἐςιν ἡ μῦα; Ζ. Σχληρὸν ϗ ἀναιδές. Π. Τίς ἔγραψεν ἐγκώμιον μύας; Ζ. Λȣκιανὸς ὁ πολλὰ σοφὰ ϗ μωρὰ εἰδώςτε ϗ γράψας.

ΔΙΆΛΟΓ. Ι!

Π. Ἴθι δὴ εἰπέμοι, πῶς μινύρονται οἱ ὄρνιθες; Ζ. Ὁ μὲν ἀετὸς κλάζει· ὁ δὲ γέρανος κλαγγάζει· ὁ δὲ πελαργὸς κροτεῖ· ὁ δὲ ἀλέκτωρ ᾄδει, ἢ φωνεῖ· ἡ δὲ ἀλεκτορὶς κακκάζει· οἱ δὲ νεοττοὶ τιτίζȣσι, κατεσθιόμενοι δὲ τρίζȣσιν· ὁ δὲ κόκκυξ κοκκύζει· ἡ δὲ πέρδιξ τιττυβίζει· ὁ δὲ ὄρτυξ γρυλλίζει· ὁ δὲ κύκνος ᾄδει· ἡ δὲ τρυγὼν

γῶν τρύζει· ἡ δὲ περιςερὰ γογγύζει· ἡ δὲ κορώνη κρώζει· ὁ δὲ τέττιξ τεττίζει· ὁ δὲ κόττυφος σίζει· ὁ δὲ ἔπωψ ποπίζει· ὁ δὲ κολοιὸς κλώζει· ἡ δὲ γλαύξ ὑΐζει· ἡ δὲ νυκτερὶς τρίζει· ἡ δὲ κίττα κιτταβίζει· ἡ δὲ χελιδὼν ψιθυρίζει· ἡ δὲ ἀηδὼν ᾄδει ἢ εὐςομεῖ· ἡ δὲ νῆττα παπάζει, ὥσπερ καὶ ὁ χήν· ἡ δὲ μελεαγρὶς κακκάζει, ὥσπερ δὴ καὶ ἡ ὀρταλίς· ἡ δὲ μέλιττα βομβεῖ, ὥσπερ καὶ ἡ σφὴξ καὶ ὁ κηφήν.

ΔΕΚΑʹΣ Θ!

Περὶ Φυτῶν, Δένδρων, καὶ τῶν Καρπῶν τῆς γῆς.

ΔΙΑʹΛΟΓΟΣ Α!

Αʹνθιμος. Μαργαρίτης.

Α. Ποσαπλᾶ ἐςι τὰ Δένδρα; Μ. Διττά· τὰ μὲν κάρπιμα, τὰ δὲ ἄκαρπα. Α. Τίνα τῶν δένδρων ἐςὶ κάρπιμα; Μ. Αʹπιος, ἀχρὰς, ἀμυγδαλῆ, κοκκύμηλος, μηλέα, περσικὴ μηλέα, μηδικὴ μηλέα, ἀρμενιακὴ μηλέα, χρυσομηλέα, ῥοιὰ, κίτρος, φοῖνιξ, κέρασος, συκῆ, κυδωνία, κασανία, καρύα, ποντικὴ καρύα, ἐλάια. Α. Τίνα δὲ ἄκαρπα; Μ. Αἴγειρος, λεύκη, ἐλάτη, πεύκη, κυπάρισσος, πλάτανος, σφένδαμνος, πύξος, οἰσύα, σμίλαξ, πίτυς, μελία, φίλυρα,

ρα, κέδρος. Α. Διὰ τί ἡ κέδρος ἐςὶν εὐγενὲς φυτόν; Μ. Οὐχ ὅτι ὑψηλὴ μόνον ϗ προμήκης ἐςὶν, ἀλλὰ ϗ ἄσηπτος, ὥσπερ δὴ ϗ τὰ ἀλειφόμενα τῷ ταύτης ἐλαίῳ ἄσηπτα διασώζεται. Α. Τίνα τῶν δένδρων φέρει βαλάνȣς; Μ. Δρῦς, πρῖνος, φηγός. Α. Τί τῶν δένδρων μάλιςα χρησιμώτατόν ἐςι; Μ. Τὸ Ἰνδικὸν Κόκος καλȣμενον, ὅτι ἐκ μὲν τȣ̃ χυλȣ̃ γάλα ϗ σάκχαρ, ἐκ δὲ τȣ̃ καρπȣ̃ ἄρτος σκευάζεται· ϗ τὰ μὲν φύλλα πρὸς γραφὴν, ὁ δὲ ςέλεχος πρὸς οἰκοδομὴν, ὁ δὲ φλοιὸς πρὸς περιϐολὴν ἐπιτήδειός ἐςι. Α. Τί τῶν ἐντόμων πολέμιόν ἐςι τοῖς φυτοῖς ϗ τοῖς δένδροις; Μ. Ἡ κάμπη, ἥτις γίγνεται ἐκ τῶν ὠῶν τῆς ψύχης καλȣμένης, ὁ θρὶψ ϗ ἡ τερηδὼν, ὥσπερ ὁ ἴψ ταῖς ἀμπέλοις, ϗ ὁ κὶς τῷ σίτῳ.

ΔΙΑ'ΛΟΓ. Β!

Α. Τίς πρῶτος λέγεται φυτεῦσαι δένδρα; Μ. Εὔμολπος ὁ Ἀθηναῖος, ὃς ϗ ὄζȣς ἢ κλῶνας, ἢ πτόρθȣς, ἢ ἀκρέμονας ταῖς ῥίζαις ἐνέϐαλεν (ἐνεκέντρισε) ϗ τȣ̀ς μετ' αὐτὸν ἐδίδαξε. Α. Τίς δὲ παρέθηκε κάμακας (χάρακας) τοῖς φυτοῖς, ἵν' ὀρθὰ φύοιτο, ϗ οἱ κλάδοι μὴ κλῶντο; Α. Ἀριςαῖος ὁ Ἀρκαδίας βασιλεύσας, ὃς ϗ τὸ ἔλαιον ϗ τὸν τυρὸν εὑρεῖν λέγεται. Α. Πῶς φυτεύεται ἡ συκῆ; Μ. Κατορύττεται ὁ κλάδος ἐν τῇ γῇ, εἶθ' ȣ̈τω φύονται αἱ ἶνες ϗ αἱ ῥίζαι. Παρεμφερής ἐςιν ἡ φυτεία τῆς συκαμίνȣ ϗ τῶν ἄλλων ἀκροδρύων πάντων. Α. Πȣ̃ δεῖ φυτεύειν τὴν οἰσύαν, ἤτοι ἰτέαν; Μ. Παρὰ τȣ̀ς ποταμȣ̀ς, ἢ ἐν ἑλώδει χωρίῳ. Α. Ἡ ϗ χρήσιμός ἐςιν ἡ οἰσύα;

σύα; Μ. Σφόδραγε ἐπιτήδειός ἐςι πρὸς τὸ δεσμεύειν τῆς γλισχρότητος ἕνεκεν, ἀφ᾽ ἧς πλέκονται κάνητες, γύργαθοι ϗ κόφινοι. Α. Πȣ̃ φυτεύεται ἡ ἐλαία; Μ. Παρὰ τὰς ὁδȣ̀ς μάλιςα· ταύτῃ τοι βαθύτερος αὐτῇ βόθρος ὀρύσσεται, ϗ πρέμνα παρατίθεται, ἵνα μὴ θλᾶται. Α. Πȣ̃ δὲ ἡ πτελέα; Μ. Ἐν ὑγροῖς ϗ ἑλώδεσι χωρίοις. Α. Ἆρ᾽ ȣ̃ν ἐπιτηδεία ἐςὶ πρὸς οἰκοδόμησιν; Μ. Οὐχ ἁρμόττει μὲν πρὸς δοκȣ̀ς, ἐμπήγνυται μέντοι τοῖς πατταλοις τῇ γῇ, ἵν᾽ ἐποικοδομῶνται οἰκίαι τε ϗ δώματα, ȣ̓ μὴν ἀλλὰ ϗ ὕλην φλογὸς παρέχει. Α. Τί δὲ φιλȣ̃σι καίειν, ἐνθα ȣ̓κ ἔςι ξύλα; Μ. Ἐνταῦθα καλάμαις ἀντὶ ξύλων, ϗ ἄνθραξιν ἀσφαλτώδεσι χρῆσθαι εἰώθασι.

ΔΙΑΛΟΓ. Γ!

Α. Τίς ἐδίδαξε τȣ̀ς ἀνθρώπȣς ἀνατέμνειν (κλαδεύειν) τὴν ἄμπελον; Μ. Ὁ ὄνος, ὃς τὰ κλήματα ἀπέτραγεν, ȣ̃ γενομένȣ, πλείȣς ὀφθαλμȣ̀ς ἀνέφυσε, ϗ ἡ ἄμπελος πολλαπλάσιον καρπὸν ἀπέδωκε. Α. Πῶς φυτεύεται ἡ ἄμπελος; Μ. Κατορύσσονται αἱ βλάςαι, εἰ δὲ βȣ́λει, οἱ βλαςοὶ ἐν βοθύνῳ. Α. Πότερον δεῖ τὸ κλῆμα ὀρθὸν τιθέναι πρὸς τὸν ȣ̓ρανὸν βλέπον, ἢ πλάγιόν τι, ὥσπερ γάμμα ὕπτιον, ὑπὸ τῇ ὑποβεβλημένῃ γῇ; Μ. Οὕτω δήπȣ· μᾶλλον γὰρ ἂν ῥιζῶτο. Α. Διὰ τί παρατιθέασι χάρακας τοῖς κλήμασιν; Μ. Ἵνα μὴ πίπτωσι κατὰ γῆς. Α. Τίνος ἕνεκεν Λυκȣ̃ργος ὁ τῆς Θράκης βασιλεὺς ἀπέκειρεν (ἀπέτεμε) πάσας τὰς ἀμπέλȣς; Μ. Ἵνα

μὴ

μὴ μεθύσκοιντο οἴνῳ οἱ ἀρχόμενοι. Α. Ἆρ' οὖν διὰ τοῦτο ἀποκοπτέαι εἰσὶν αἱ ἄμπελοι; Μ. Πολλοῦ γε δεῖ· οὐ γὰρ ἀναιρετέον τὴν χρῆσιν τῆς καταχρήσεως ἕνεκα. Α. Πῶς ἐκθλίβεται ὁ οἶνος; Μ. Οἱ πέπειροι βότρυς ἤτοι πατοῦνται τοῖς ποσὶν, ἢ τύπτονται ξυλίνῳ ῥοπάλῳ, καὶ ὁ χυλὸς διηθεῖται διὰ καλάθου, ἢ ἄγονται εἰς τὸν ληνὸν, ἐν ᾧ ὁ χυλὸς ἐκπιέζεται τῷ πιεστῆρι, ἐξ οὗ γίγνεται ἡδὺ γλεῦκος, ὅπερ ἀποτίθεται ἐν τοῖς οἰνῶσι, καὶ ἐγχεῖται εἰς τοὺς πίθους καὶ εἰς τὰς λαγήνους, ἅπερ ἀλείφονται γύψῳ, καὶ πιττάκια αὐτοῖς ἐν τοῖς στομίοις ἐπιτίθενται δηλοῦντα τὴν χώραν, ὅθεν φύεται. Α. Ὁποῖον ποτόν ἐστιν ὁ οἶνος; Μ. Δεινὸν τοὺς ἀνθρώπους ἐκ σκυθρωπῶν καὶ ἀνιαρῶν φαιδροὺς καὶ ἱλαροὺς ποιεῖν. Α. Τί γίγνεται ἐξ οἴνου; Μ. Ὄξος, ὅπερ δριμὺ πέφυκε, καὶ ἐν ὀξίδι (ὀξυβάφῳ) φυλάττεται. Α. Πότε ὁ οἶνος ἐκτρέπεται, καὶ εἰς ὀξίνην μεταπίπτει; Μ. Ὅτ' ἐς ῥυπαρὸν ἢ σαπρὸν ἄγγος ἐγχεῖται. Α. Τίς ἡ χρῆσις τοῦ ὄξους; Μ. Ἐνσαλάζεται σὺν ἐλαίῳ ταῖς θρίδαξι.

ΔΙΆΛΟΓ. Δ!

Α. Διὰ τί ἡ ἐλάτη φιλεῖται; Μ. Ὅτι θέρους τε καὶ χειμῶνος θάλλει. Α. Ἦ καὶ καρπὸν ἐκφέρει; Μ. Οὐ μὲν οὖν, ἀλλὰ κώνους, ὥσπερ δὴ ἡ πεύκη στροβίλους. Α. Πότερον οὖν χρήσιμον τὸ δένδρον; Μ. Σφόδρα γε· οὐ γὰρ ξύλα μόνον παρέχει πρὸς τὸ καίειν σφητὶ σχισθὲν, ἀλλὰ δὴ καὶ ὕλην πρὸς τὸ οἰκοδομεῖν, οἷον δοκοὺς, στρωτῆρας καὶ καταπῆγας πρὸς ξυλίνας γεφύρας, καὶ ῥῆπας πρὸς μόσσυνας. Α. Ἦ καὶ πρὸς ἄλλα χρή-

σιμος

σιμός ἐςιν ἡ ἐλάτη; Μ. Παντάπασίγε· σχισθέντος γὰρ τȣ͂ κορμȣ͂ εἰς σανίδας ϰ πίνακας, ὁ τέκτων ἀποξέων ταῦτα τῇ ξυήλῃ ἐπιςαμένως συναρμόζει καὶ πήγνυται ἄβακας, κιβωτȣ̀ς, κίςας, λάρνακας, τραπέζας, σιπύας, ϰ ἄλλ᾽ ἄττα τῶν ἐν τῇ οἰκίᾳ σκευῶν. Α. Ἡ σφένδαμνος ὁποῖόν τι δένδρον ἐςίν; Μ. Οὐδενὸς δεύτερον. Α. Ἡ δὲ ἔβενος ὁποῖον; Μ. Δι᾽ ὅλȣ μέλαν ϰ πυκνότατον ἁπάντων, ὥσπερ ϰ ἡ πύξος. Α. Πȣ͂ φύεται ἡ καλλίςη; Μ. Ἐν Ἑλλάδι. Α. Τί ἐμυθεύσαντο περὶ τȣ͂ λωτȣ͂ τῆς Λιβύης; Μ. Ἐπιλαθέσθαι τῆς πατρίδος τὸν τȣ́τȣ γευσάμενον, ἀφ᾽ ȣ͂ παροιμία· Λωτὸν φαγεῖν, ἐπὶ τῶν ἐπιλανθανομένων τῆς ἑαυτῶν πατρίδος.

ΔΙΑʹΛΟΓ. Ε!

Α, Τί ἱςορήκασι περὶ Διοκλητιανȣ͂ τȣ͂ Καίσαρος; Μ. Προτιμῆσαι τὸν κῆπον τῆς Ῥωμαίων ἀρχῆς· φυτεῦσαι γὰρ αὐτὸν ἄνθη ϰ λάχανα κατ᾽ ὄρχȣς, ϰ σκάψαι τὰς πρασιὰς τῇ μακέλλῃ, ϰ ἀρδεῦσαι τῷ περιῤῥαντηρίῳ, ϰ σκαλεῦσαι τῇ σκαλίδι. Α. Τίνα ἄνθη ϰ λάχανά φασιν αὐτὸν κηπεῦσαι; Μ. Ὑάκινθον, νάρκισσον, λιβανωτίδα, ἀμάρακον, ἄνηθον, λάπαθον, μάραθρον, ϰ ἄλλ᾽ ἄττα. Α. Τίνα τῶν ἀνθέων ἐςὶν εὔοσμα; Μ. Ἀμάραντος, καρυόφυλλον, ἴον, ῥόδον, κρίνον, λευκόϊον, λείριον. Α. Ὁποῖον δὲ τὸ ὤκιμον; Μ. Βαρύοσμον. Α. Τί παραδεδώκασι περὶ τῶν Κυνικῶν φιλοσόφων; Μ. Πάντα μὲν τὰ πέμματα, ϰ ἡδύσματα ἐν ȣ̓δενὶ λόγῳ αὐτȣ̀ς πεποιῆσθαι, ἡδέως δὲ προσφέρεσθαι λάχανα, βοτάνας

ᾗ ῥίζας, οἷον τεῦτλον, κράμβην, θρίδακας, σίσαρον, σέλινον, ἀσπαράγγες, γογγύλας, ῥαφανίδας, κολοκύνθας, σικύες, σικυοπέπονας, μηλοπέπονας· ἔτι δὲ βολβὲς, θέρμες, μύκητας ᾗ κνίδας. Α. Ὁποῖον φυτόν ἐςιν ὁ σφάκος, εἰ δὲ βέλει, ὁ ἐλελίσφακος; Μ. Ἄγριον. Α. Ὁποῖον δὲ ὁ κόρχορος; Μ. Πικρὸν ᾗ εὐτελὲς, ἀφ᾽ ἧ ᾗ παροιμία· ᾗ Κόρχορος ἐν λαχάνοις. Α. Ἐπὶ τίνος τάττεται; Μ. Ἐπὶ τῶν ἀναξίων ᾗ εὐτελῶν, μεταποιεμένων δὲ τιμῆς μείζονος, ἢ καθ᾽ ἑαυτὲς.

ΔΙΑ'ΛΟΓ. ΣΤ!

Α. Πῶς φύεται τὰ ὄσπρια; Μ. Σπειρόμενοι εἰς τὴν γῆν οἱ κόκκοι βλαςάνεσιν, εἶτα βοτανοποιεσιν, ἔπειτα ἀνθεσι, μετὰ ταῦτα ἐλλοβίζεσιν, εἶθ᾽ ἕτως ἐκσείονται τῶν λοβῶν, εἴτ᾽ ἐν κερατίων τῷ χάμακι. Α. Τίνα ἐςὶ ταῦτα; Μ. κύαμος, πίσον, ὄροβος, ἐρέβινθος, λάθυρος, βίκιον, φακὴ, φασίολος. Α. Τίνων ὀσπρίων ἀπείχοντο οἱ Πυθαγορικοί; Μ. Κυάμων, λαθύρε ᾗ ἐρεβίνθε. Α. Διὰ τί ἀπετρέποντο τῶν κυάμων; Μ. Διὰ τὸ πνεῦμα ἐμποιεῖν. Α. Δια τί δὲ τὸν λάθυρον ᾗ τὸν ἐρέβινθον; Μ. Διὰ τὸ παρωνύμες εἶναι τῆς λήθης ᾗ τε ἐρέβες, ἤτοι τε σκότες. Α. Τί τῶν ὀσπρίων κάλλιςον; Μ. Ἡ ὄρυζα, ἥτις ᾗ ὄρυζον λέγεται. Α. Πε φύεται αὕτη; Μ. Πολλαχε τῆς οἰκεμένης. Α. Τίς δὲ κρίςη; Μ. Ἡ αἰγυπτία. Α. Τίνες ἥδονται τῇ ὀρύζῃ; Μ. Πάντες, διαφερόντως δὲ οἱ παῖδες· ἐκμεμήνασι γὰρ ἕτοι πρὸς τὴν ὀρυζοφαγίαν;

γίαν, ϗ ῥᾷον ἄν τις τὴν γαλῆν τȢ μυὸς ἀποσπάσειεν, ἢ τὰς παῖδας τῆς ὀρυζοφαγίας.

ΔΙΑʹΛΟΓ. Ζ!

Α. Πῶς αὔξεται ὁ σῖτος, οἷον ὁ πυρὸς, ἡ κριθὴ ϗ ἡ ζειά; Μ. Τὸν αὐτὸν δὴ τρόπον, ὅνπερ ϗ τὰ ὄσπρια· ἐκ μὲν γὰρ τȢ κόκκȢ φύεται βλαςὸς, ἐκ δὲ τȢ βλαςȢ χόρτος, ἐκ δὲ τȢ χόρτȢ κάλαμος πρόεισιν, ἐκ δὲ τȢ λέπȢς ςάχυς, κᾆν τοῖς ἐλύτροις ἔνεισιν οἱ κόκκοι. Α. Τί γίγνεται ἐκ τȢ πυρȢ; Μ. Οʹλυρα, ὥσπερ ἐκ κριθῆς αἴγιλωψ, ϗ ἐξ ἀκροσπέλȢ σιφώνιον. Α. Τίνι τρόπῳ τὸ πάλαι ἐξέτριβον τὰς κόκκȢς; Μ. Περιῆγον τὰς βόας ϗ τὰς ἵππȢς. Α. Πῶς δʼ ἐκκαθαίρονται τῶν ἀθέρων ϗ καρφῶν; Μ. Λιμῶνται τῷ λικμῷ. Α. Εʹκ τίνος πεποίηται τὸ λικμιςήριον; Μ. Εʹξ οἰσυΐνων ῥαπίδων. Α. Τίνος ἕνεκα βάλλονται τῷ πτύῳ εἰς τὸν σιτῶνα, ἢ εἰς τὴν ἀποθήκην; Μ. Ἵνα χωρίζηται τὰ ἄχυρα. Α. Τίς τῶν κόκκων μάλιςα πληθύνεται; Μ. Ἡ κέγχρος, ϗ ἡ μήκων. Α. ΠȢ γίγνεται ἡ κέγχρος ὅτι πλείςη; Μ. Εʹν Αἰθιοπίᾳ. Α. Ὁποῖοί τινές εἰσιν οἱ Αἰθίοπες; Μ. Εʹζοφωμένοι (μέλανες) τὴν ὄψιν, γρυποὶ τὴν ῥῖνα, ϗ Ȣλοὶ τὰς τρίχας. Α. Τίς παροιμία λέγεται ἐπʼ αὐτῶν; Μ. Αἰθίοπα σμήχειν. Α. Εʹπὶ τίνος τίθεται; Μ. Εʹπὶ τῶν μάτην πονȢ́ντων.

ΔΙΑʹΛΟΓ. Θ!

Α. Πόθεν ἄγονται τὰ ἀρώματα ἐς Εὐρώπην; Μ. Εʹξ Ἰνδιῶν. Α. Τίς ἡ χρῆσις τῶν ἀρωμάτων;

μάτων; Μ. Αʹρτύουσι τούτοις οἱ ὀψοποιοὶ τὰ βρώματα, ἵν' ἡδίων ᾖ ὁ ζωμός. Α. Τίσι μάλιστα χρῶνται; Μ. Τῷ πεπέρει, ὃ φύεται ἐν Ἰνδίᾳ, τῷ κρόκῳ, ὃς πρόεισιν ἐν Μακεδονίᾳ, καὶ τῷ ζιγγίβερει, ὃ γίγνεται ἐν Ἀραβίᾳ. Α. Ὁ δ' ἄπορων τῶν ἐξωτικῶν; Μ. Οὗτος χρῆται τοῖς ἐπιχωρίοις, οἷον τῷ σινήπει, κυμίνῳ, κρομμύῳ, σκορόδῳ καὶ πράσῳ. Α. Τί κάλλιστον ἄρτυμα; Μ. Λιμός· ἡδὺ γὰρ μάζα πεινῶντι, κἂν μὴ παρῇ κρέας πρόσφατον, καὶ ταρίχει στέργει· ὅθεν καὶ τὸν Ἀλέξανδρόν φασι πεινῶντα εἰπεῖν μὴ δεῖσθαι μαγείρων. Α. Τί τῶν σιτίων ἐστὶν ὑγιεινότατον; Μ. Ὁ χυλὸς τῆς πτισσάνης ἐκ κριθῆς ἀφλοίου. Α. Τί δ' ἄριστον ποτόν; Μ. Ὕδωρ καθαρὸν καὶ διειδές. Α. Ἆρ' οὖν ἀνεκτότερον τὸ δίψος τοῦ λιμοῦ; Μ. Ἥκιστά γε· ὁ γὰρ δίψῃ συνεχόμενος οὐκ ἀναίνεται καὶ θολεροῦ νάματος πίνειν. διὸ καὶ τὸν Ἀρταξέρξην φασὶ δίψῃ συσχεθέντα, καὶ θολεροῦ, μᾶλλον δὲ ὀδωδότος νάματος ἐκ τενάγους πιόντα εἰπεῖν· οἵας ἡδονῆς ἄγευστος ἤμην!

ΔΙΑʹΛΟΓ. Θ!

Α. Τίς ἡ χρῆσις τῆς σιπύης; Μ. Ἐν ταύτῃ ἀποτίθεται τὰ λευκὰ ἄλφιτα, ἐξ ὧν σκευάζονται διάφορα πεμμάτων γένη· οἷον πλακοῦντες, πλακούντια, λάγανα, μελιττοῦται, πόπανα, ψαιστοὶ, ἀρτοκρέατα, κολλυρίδες, ἐγκρυφίαι, τηγανῖται, καὶ ἄλλ' ἄττα. Α. Τίς δὲ τοῦ γυργάθου, ἢ τοῦ κοφίνου; Μ. Ἐν τούτῳ τίθενται οἱ ἄρτοι, καὶ προσφέρονται ἐπὶ τὴν τράπεζαν

πεζαν, ἐπειδὰν τὸ ἄριστον ἢ δεῖπνον ἕτοιμον γένηται. Α. Τίς δὲ τῆς σπυρίδος, εἰ δὲ βȣλει, τῆς σαργάνης; Μ. Ἐν ταύτῃ κομίζεται τὰ ἐξ ἀγορᾶς ὠψωνημένα. Α. Τίς δὲ τῶν λαγήνων καὶ φιαλῶν; Μ. Ἐν ταύταις διαφυλάττεται τὸ ἔλαιον, τὸ ὄξος καὶ ὁ οἶνος. Α. Ἐκ τίνος ἐπεποίηντο τὸ πάλαι; Μ. Ἐκ ξύλȣ, κέρως, ὑέλȣ, πηλȣ̃, χαλκȣ̃ καὶ δέρματος. Α. Ἐν τίσι σκεύεσιν ἐτίθεντο τὰ ὄψα; Μ. Ἐν πίναξι, παροψίσι, τρυβλίοις, καὶ ἄλλοις ἀγγέσιν. Α. Ἐκ τίνων ἔπινον; Μ. Ἐκ κυλίκων, κυάθων, κωθώνων καὶ κρατήρων. Α. Πῶς προὔπινον τῆς φιλοτησίας; Μ. Τοσαῦτα ἐξεκένȣν ἐκπώματα, ὅσα ἐνῆν γράμματα τῷ ὀνόματι τȣ̃ παρόντος, ἢ ἀπόντος φίλȣ. Α. Πότε εἰώθεισαν οἱ Ἕλληνες ἐπιεικῶς, ἢ ζωρότερον πίνειν; Μ. Ἐν θαλείαις, εὐωχίαις, πότοις, κώμοις, ἑστιάσεσι καὶ ἑορταῖς, ȣ̓κ ἥκιστα δὲ ἐν τοῖς Διονυσίοις. Α. Τί ἔλεγον τῷ μὴ βȣλομένῳ πίνειν; Μ. Ἢ πίθι, ἢ ἄπιθι.

ΔΙΑΛΟΓ. Ι!

Α. Πῶς διαιρȣ̃νται οἱ λίθοι; Μ. Τριχῶς· εἰς ἁπλȣ̃ς, σπανιωτέρȣς καὶ τιμίȣς. Α. Τίνες εἰσὶν ἁπλοῖ; Μ. Πέτρα, ἀκόνη, χάλιξ, πυρίτης. Α. Τίνες δὲ σπανιώτεροι; Μ. Μάγνης, κρύσαλλος, μάρμαρον. Α. Τίνες δὲ πολύτιμοι; Μ. Ἄνθραξ, ἀδάμας, σάπφειρος, σμάραγδος, ἴασπις, χρυσόλιθος, ὄνυξ, σάρδιος, τοπάζιος. Α. Τίς ἐστι στερροτάτη καὶ ἁπασῶν τιμιωτάτη; Μ. Ὁ ἀδάμας. Α. Ἐς τί χρῶνται τȣ́τῳ;

Μ. Ἐς

Μ. Εἰς δακτυλίους, ἐλικτῆρας, βραχιονιστῆρας, ὅρμους, περιδέραια, ψέλλια, ἐνώτια καὶ ἐλλόβια. Α. Τίνος ἕνεκα ἀποξέεται; Μ. Ἵνα λεῖος ᾖ καὶ στίλβῃ. Α. Τίς πρῶτος λεάνας ἀπεστίλβωσεν αὐτόν; Μ. Γʹάκωβος ὁ Τρέκκης. Α. Τίνες τῶν πολυτίμων λίθων εἰσὶ κρείττους; Μ. Αἱ ἐξ ἑώας κομιζόμεναι. Α. Πῶς ἁλίσκονται οἱ μαργαρῖται; Μ. Κατὰ τὴν Μαργαρίτην νῆσον ἐν τῇ Ἀτλαντίδι. Α. Τίς ἡ χρῆσις τούτων; Μ. Διακοσμοῦσι τούτοις αἱ θρυπτικῶς διακείμεναι γυναῖκες τήν τε κεφαλὴν καὶ τὰ ὦτα. Α. Πῶς εὑρίσκεται τὰ κοράλλια; Μ. Ἐν ἁλὶ, εἴτ᾽ οὖν θαλάττῃ. Α. Πῶς δὲ τὸ Ἤλεκτρον; Μ. Ἐπὶ τοῖς αἰγιαλοῖς τοῦ βαλτικοῦ πελάγους. Α. Ποίας ἔλαχε φύσεως; Μ. Τριβόμενον ἕλκει τρίχας καὶ ἄλλ᾽ ἄττα τῶν τοιούτων· ἀφ᾽ οὗ καὶ ἡ Ἠλεκτρικὴ δύναμις πρῶτον ἐγνώσθη, καὶ ἡ Ἠλεκτρικὴ μηχανὴ ἐκλήθη.

ΔΕΚΑʹΣ Ι!

Περὶ διαφόρων ἠθικῶν πραγμάτων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Φιλάρετος. Χρύσανθος.

Φ. Ἴθι εἰπὲ, τίνες εἰσὶν οἱ φθορεῖς καὶ λυμεῶνες τῆς νεότητος; Χ. Οἱ κάπηλοι καὶ μαστρω-

ςρωποί. Φ. Τίνος ἕνεκα; Χ. Ὅτι ἐπάγονται τὰς νέȣς ἐπὶ τὰς οἰνῶνας, ἵνα πίνωσιν οἶνον, πῖνον, βρύτον ϗ ζῦθον, εἴτ᾽ ȣ͂ν κρίθινον οἶνον. Φ. Τίς πρῶτος ἔψησε κρίθινον οἶνον; Χ. Διόνυσος, ὁ ϗ Βάκχος. Φ. Οὑτωσὶ ῥαδίως διαφθείρονται οἱ νέοι θαμίζοντες ἐπὶ τὰς οἰνῶνας; Χ. Παντατασίγε· γαργαλίζει γὰρ ἡ ἡδονὴ τὰς τῶν νέων ψυχὰς, ϗ ποιεῖ τὰ χείρω πρὸ τῶν κρειττόνων αἱρεῖσθαι. Ταύτῃ τοι κυβεύȣσι, κώμοις τε ϗ μέθαις ϗ κραιπάλαις ἑαυτȣ̀ς ἐπιδιδόασι, ϗ χορȣ̀ς ἄγȣσι ϗ σπαθῶσι τὰ πατρῷα μετὰ πορνῶν ϗ ἑταιρῶν ἐν ταῖς τῶν πότων συνȣσίαις. Φ. Τί συμβαίνει ἐντεῦθεν; Χ. Ὅταν ἀπολίπῃ αὐτȣ̀ς τὰ χρήματα, τότε δὴ ἄρχονται. ψεύδεσθαι, ἀπατᾶν, ἀποςερεῖν, ἱεροσυλεῖν, προδιδόναι, κλέπτειν, ληΐζεσθαι, ϗ ὅσα τȣ́τοις παραπλήσιά ἐςιν· ἅπαξ γὰρ αἱ τῶν νέων ψυχαὶ εἰς ἡδονὰς ἐξολισθήσαται ἐπὶ πάντα φέρονται τὰ ἀσεβέςατα. Φ. Τί ȣ͂ν ποιητέον; Χ. Ἀπάγειν δεῖ αὐτȣ̀ς τῆς πρὸς τȣ̀ς πονηρȣ̀ς ἀνθρώπȣς συνȣσίας· φθείρȣσι γὰρ ἤθη χρηςὰ ὁμιλίαι κακαί· μάλιςα δὲ τῶν ἐπαράτων κολάκων, οἵπερ ἐξωλέςατοι ϗ πάντων ἀνθρώπων ἐπιτριπτότατοί εἰσι.

ΔΙΑʹΛΟΓ. Β!

Φ. Διὰ τί δεῖ τȣ̀ς κόλακας μᾶλλον τῶν κοράκων ἀποςρέφεσθαι; Χ. Ὅτι οἱ μὲν κόρακες τȣ̀ς τȣ͂ σώματος ἐξορύττȣσιν ὀφθαλμȣ̀ς, οἱ δὲ κόλακες τȣ̀ς τῆς ψυχῆς ἐπισκοτίζȣσι λογισμȣ́ς. Φ. Τίνι ἐοίκασιν οἱ κόλακες; Χ. Τοῖς κυσίν·

σίν· ὥσπερ γὰρ οὗτοι σαίνουσι τοὺς ἑαυτῶν δεσπότας τῆς βορᾶς ἕνεκεν, οὕτωτοι οἱ κόλακες θεραπεύουσι τοὺς μέγα δυναμένους καὶ πλούτῳ κομῶντας τῆς γαστρὸς ἕνεκεν. Φ. Πῶς ἀπεκάλεσαν τοὺς παρασίτους; Χ. Σῆτας καὶ μῦας τῶν ἐνδόξων οἴκων· διορύττουσι γὰρ αὐτοὺς καὶ κατεσθίουσι. Φ. Τί δὴ ποιοῦσιν οἱ κόλακες καὶ παράσιτοι; Χ. Θωπεύουσιν, ἐπαινοῦσι, καγχάζουσι, θαυμάζουσι πάντα καὶ ἐκθειάζουσι. τοιοῦτος δήπου ἦν Ἄγις ὁ ποιητὴς ὁ τὸν Ἀλέξανδρον ἀποθεώσας. Φ. Τίνος ἕνεκα Δαμοκλῆς ἐμακάριζε Διονύσιον τὸν τύραννον; Χ. Τῶν βασιλικῶν ἐδεσμάτων καὶ τῶν σκευῶν, ὧν τὰ μὲν δὴ ὅλα χρυσᾶ, τὰ δὲ ἐπίχρυσα ἦν. Φ. Πῶς διήλεγξεν ὁ Τύραννος τὸν παράσιτον; Χ. Καθίσας αὐτὸν ἐπὶ θρόνου χρυσῷ ἀπαστράπτοντος παρέθηκε μὲν ποικίλα καὶ παντοδαπὰ ἐδέσματα, ἐπέθηκε δὲ τῇ κεφαλῇ ξίφος ἐκ τριχὸς ἠρτημένον. Φ. Τίς παροιμία λέγεται κατὰ τῶν παρασίτων; Χ. Ζεῖ χύτρα, ζῇ φιλία. Φ. Τί ἔφη Κικέρων περὶ κολακείας; Χ. Λοιμὸν εἶναι αὐτὴν τῆς φιλίας. Φ. Τίνες ἐγένοντο εἰλικρινεῖς καὶ ἄδολοι φίλοι; Χ. Ὀρέστης καὶ Πυλάδης· οὗτος γὰρ τὰς σὺν ἐκείνῳ ταλαιπωρίας περὶ πλείονος ἐποιήσατο τῆς οἴκοι βασιλείας. Φ. Τί ἱστορήκασι περὶ Δάμωνος καὶ Φιντίου τῶν Πυθαγορείων; Χ. Ἅτερον θατέρου ἑλέσθαι ὑπεραποθανεῖν.

ΔΙΆΛΟΓ. Γ!

Φ. Τίνος ἐγκλήματος δίκας εἰσεπράττετο ὁ Περσῶν νόμος; Χ. Ἀγνωμοσύνης, εἴτ᾽ οὖν

ἀχα-

σύα; Μ. Σφόδρα γε ἐπιτήδειός ἐςι πρὸς τὸ δεσμεύειν τῆς γλισχρότητος ἕνεκεν, ἀφ᾽ ἧς πλέκονται κάνητες, γύργαθοι καὶ κόφινοι. Α. Πῶς φυτεύεται ἡ ἐλαία; Μ. Παρὰ τὰς ὁδὸς μάλιςα· ταύτῃ τοι βαθύτερος αὐτῇ βόθρος ὀρύσσεται, καὶ πρέμνα παρατίθεται, ἵνα μὴ θλᾶται. Α. Πῶς δὲ ἡ πτελέα; Μ. Ἐν ὑγροῖς καὶ ἑλώδεσι χωρίοις. Α. Ἆρ᾽ ὖν ἐπιτηδεία ἐςὶ πρὸς οἰκοδόμησιν; Μ. Οὐχ ἁρμόττει μὲν πρὸς δοκὸς, ἐμπήγνυται μέντοι τοῖς παττάλοις τῇ γῇ, ἵν᾽ ἐποικοδομῶνται οἰκίαι τε καὶ δώματα, ὁ μὴν ἀλλὰ καὶ ὕλην φλογὸς παρέχει. Α. Τί δὲ φιλῦσι καίειν, ἔνθα ὐκ ἔςι ξύλα; Μ. Ἐνταῦθα καλάμαις ἀντὶ ξύλων, καὶ ἄνθραξιν ἀσφαλτώδεσι χρῆσθαι εἰώθασι.

ΔΙΑʹΛΟΓ. Γʹ!

Α. Τίς ἐδίδαξε τὺς ἀνθρώπυς ἀνατέμνειν (κλαδεύειν) τὴν ἄμπελον; Μ. Ὁ ὄνος, ὅς τὰ κλήματα ἀπέτραγεν, ὁ γενομένυ, πλείυς ὀφθαλμὺς ἀνέφυσε, καὶ ἡ ἄμπελος πολλαπλάσιον καρπὸν ἀπέδωκε. Α. Πῶς φυτεύεται ἡ ἄμπελος; Μ. Κατορύσσονται αἱ βλάςαι, εἰ δὲ βύλει, οἱ βλαςοὶ ἐν βοθύνῳ. Α. Πότερον δεῖ τὸ κλῆμα ὀρθὸν τιθέναι πρὸς τὸν ὐρανὸν βλέπον, ἢ πλάγιόν τι, ὥσπερ γάμμα ὕπτιον, ὑπὸ τῇ ὑποβεβλημένῃ γῇ; Μ. Οὕτω δήπυ· μᾶλλον γὰρ ἂν ῥιζῶτο. Α. Διὰ τί παρατιθέασι χάρακας τοῖς κλήμασιν; Μ. Ἵνα μὴ πίπτωσι κατὰ γῆς. Α. Τίνος ἕνεκεν Λυκῦργος ὁ τῆς Θράκης βασιλεὺς ἀπέκειρεν (ἀπέτεμε) πάσας τὰς ἀμπέλυς; Μ. Ἵνα

μὴ

μὴ μεθύσκοιντο οἴνῳ οἱ ἀρχόμενοι. Α. Ἆρ᾽ οὖν διὰ τοῦτο ἀποκοπτέαι εἰσὶν αἱ ἄμπελοι; Μ. Πολλοῦ γε δεῖ· οὐ γὰρ ἀναιρετέον τὴν χρῆσιν τῆς καταχρήσεως ἕνεκα. Α. Πῶς ἐκθλίβεται ὁ οἶνος; Μ. Οἱ πέπειροι βότρυς ἤτοι πατοῦνται τοῖς ποσὶν, ἢ τύπτονται ξυλίνῳ ῥοπάλῳ, καὶ ὁ χυλὸς διηθεῖται διὰ καλάθου, ἢ ἄγονται εἰς τὸν ληνὸν, ἐν ᾧ ὁ χυλὸς ἐκπιέζεται τῷ πιεστῆρι, ἐξ οὗ γίγνεται ἡδὺ γλεῦκος, ὅπερ ἀποτίθεται ἐν τοῖς οἰνῶσι, καὶ ἐγχεῖται εἰς τοὺς πίθους καὶ εἰς τὰς λαγήνους, ἅπερ ἀλείφονται γύψῳ, καὶ πιττάκια αὐτοῖς ἐν τοῖς στομίοις ἐπιτίθενται δηλοῦντα τὴν χώραν, ὅθεν φύεται. Α. Ὁποῖον ποτόν ἐστιν ὁ οἶνος; Μ. Δεινὸν τοὺς ἀνθρώπους ἐκ σκυθρωπῶν καὶ ἀνιαρῶν φαιδροὺς καὶ ἱλαροὺς ποιεῖν. Α. Τί γίγνεται ἐξ οἴνου; Μ. Ὄξος, ὅπερ δριμὺ πέφυκε, καὶ ἐν ὀξίδι (ὀξυβάφῳ) φυλάττεται. Α. Πότε ὁ οἶνος ἐκτρέπεται, καὶ εἰς ὀξίνην μεταπίπτει; Μ. Ὅτ᾽ ἐς ῥυπαρὸν ἢ σαπρὸν ἄγγος ἐγχεῖται. Α. Τίς ἡ χρῆσις τοῦ ὄξους; Μ. Ἐνσταλάζεται σὺν ἐλαίῳ ταῖς θρίδαξι.

ΔΙΑ'ΛΟΓ. Δ!

Α. Διὰ τί ἡ ἐλάτη φιλεῖται; Μ. Ὅτι θέρους τε καὶ χειμῶνος θάλλει. Α. Ἦ καὶ καρπὸν ἐκφέρει; Μ. Οὐ μὲν οὖν, ἀλλὰ κώνους, ὥσπερ δὴ ἡ πεύκη στροβίλους. Α. Πότερον οὖν χρήσιμον τὸ δένδρον; Μ. Σφόδρα γε· οὐ γὰρ ξύλα μόνον παρέχει πρὸς τὸ καίειν σφητὶ σχισθὲν, ἀλλὰ δὴ καὶ ὕλην πρὸς τὸ οἰκοδομεῖν, οἷον δοκοὺς, στρωτῆρας καὶ καταπῆγας πρὸς ξυλίνας γεφύρας, καὶ ῥῆπας πρὸς μόσσυνας. Α. Ἦ καὶ πρὸς ἄλλα χρήσιμος

σιμος

στιμός ἐστιν ἡ ἐλάτη; Μ. Παντάπασίγε· σχισθέντος γὰρ τοῦ κορμοῦ εἰς σανίδας καὶ πίνακας, ὁ τέκτων ἀποξέων ταῦτα τῇ ξυήλῃ ἐπισταμένως συναρμόζει καὶ πήγνυται ἄβακας, κιβωτοὺς, κίστας, λάρνακας, τραπέζας, σιπύας, καὶ ἄλλ᾽ ἄττα τῶν ἐν τῇ οἰκίᾳ σκευῶν. Α. Ἡ σφένδαμνος ὁποῖόν τι δένδρον ἐστίν; Μ. Οὐδενὸς δεύτερον. Α. Ἡ δὲ ἔβενος ὁποῖον; Μ. Δι᾽ ὅλου μέλαν καὶ πυκνότατον ἁπάντων, ὥσπερ καὶ ἡ πύξος. Α. Ποῦ φύεται ἡ καλλίστη; Μ. Ἐν Ἑλλάδι. Α. Τί ἐμυθεύσαντο περὶ τοῦ λωτοῦ τῆς Λιβύης; Μ. Ἐπιλαθέσθαι τῆς πατρίδος τὸν τούτου γευσάμενον, ἀφ᾽ οὗ παροιμία· Λωτὸν φαγεῖν, ἐπὶ τῶν ἐπιλανθανομένων τῆς ἑαυτῶν πατρίδος.

ΔΙΑΛΟΓ. Ε΄

Α. Τί ἱστορήκασι περὶ Διοκλητιανοῦ τοῦ Καίσαρος; Μ. Προτιμῆσαι τὸν κῆπον τῆς Ῥωμαίων ἀρχῆς· φυτεῦσαι γὰρ αὐτὸν ἄνθη καὶ λάχανα κατ᾽ ὄρχους, καὶ σκάψαι τὰς πρασιὰς τῇ μακέλλῃ, καὶ ἀρδεῦσαι τῷ περιρραντηρίῳ, καὶ σκαλεῦσαι τῇ σκαλίδι. Α. Τίνα ἄνθη καὶ λάχανά φασιν αὐτὸν κηπεῦσαι; Μ. Ὑάκινθον, νάρκισσον, λιβανωτίδα, ἀμάρακον, ἄνηθον, λάπαθον, μάραθρον, καὶ ἄλλ᾽ ἄττα. Α. Τίνα τῶν ἀνθέων ἐστὶν εὔοσμα; Μ. Ἀμάραντος, καρυόφυλλον, ἴον, ῥόδον, κρίνον, λευκόϊον, λείριον. Α. Ὁποῖον δὲ τὸ ὤκιμον; Μ. Βαρύοσμον. Α. Τί παραδεδώκασι περὶ τῶν Κυνικῶν φιλοσόφων; Μ. Πάντα μὲν τὰ πέμματα, καὶ ἡδύσματα ἐν οὐδενὶ λόγῳ αὐτοὺς πεποιῆσθαι, ἡδέως δὲ προσφέρεσθαι λάχανα, βοτάνας

καὶ

ϗ ῥίζας, οἷον τεῦτλον, κράμβην, θρίδακας, σίσαρον, σέλινον, ἀσπαράγγους, γογγύλας, ῥαφανίδας, κολοκύνθας, σικύους, σικυοπέπονας, μηλοπέπονας· ἔτι δὲ βολβοὺς, θέρμους, μύκητας ϗ κνίδας. Α. Ὁποῖον φυτόν ἐστιν ὁ σφάκος, εἰ δὲ βούλει, ὁ ἐλελίσφακος; Μ. Ἄγριον. Α. Ὁποῖον δὲ ὁ κόρχορος; Μ. Πικρὸν ϗ εὐτελὲς, ἀφ᾽ οὗ ϗ παροιμία· ϗ Κόρχορος ἐν λαχάνοις. Α. Ἐπὶ τίνος τάττεται; Μ. Ἐπὶ τῶν ἀναξίων ϗ εὐτελῶν, μεταποιουμένων δὲ τιμῆς μείζονος, ἢ καθ᾽ ἑαυτούς.

ΔΙΑ'ΛΟΓ. ΣΤ'.

Α. Πῶς φύεται τὰ ὄσπρια; Μ. Σπειρόμενοι εἰς τὴν γῆν οἱ κόκκοι βλαστάνουσιν, εἶτα βοτανοποιοῦσιν, ἔπειτα ἀνθοῦσι, μετὰ ταῦτα ἐλλοβίζουσιν, εἶθ᾽ οὕτως ἐκσείονται τῶν λοβῶν, εἴτ᾽ οὖν κερατίων τῷ κάμακι. Α. Τίνα ἐστὶ ταῦτα; Μ. κύαμος, πίσον, ὄροβος, ἐρέβινθος, λάθυρος, βίκιον, φακὴ, φασίολος. Α. Τίνων ὀσπρίων ἀπείχοντο οἱ Πυθαγορικοί; Μ. Κυάμων, λαθύρου ϗ ἐρεβίνθου. Α. Διὰ τί ἀπετρέποντο τῶν κυάμων; Μ. Διὰ τὸ πνεῦμα ἐμποιεῖν. Α. Διὰ τί δὲ τὸν λάθυρον ϗ τὸν ἐρέβινθον; Μ. Διὰ τὸ παρωνύμους εἶναι τῆς λήθης ϗ τοῦ ἐρέβους, ἤτοι τοῦ σκότους. Α. Τί τῶν ὀσπρίων κάλλιστον; Μ. Ἡ ὄρυζα, ἥτις ϗ ὄρυζον λέγεται. Α. Ποῦ φύεται αὕτη; Μ. Πολλαχοῦ τῆς οἰκουμένης. Α. Τίς δὲ ἀρίστη; Μ. Ἡ αἰγυπτία. Α. Τίνες ἥδονται τῇ ὀρύζῃ; Μ. Πάντες, διαφερόντως δὲ οἱ παῖδες· ἐκμεμήνασι γὰρ οὗτοι πρὸς τὴν ὀρυζοφά-

γίαν, ϗ ῥᾷον ἄν τις τὴν γαλῆν τȣ̃ μυὸς ἀποστάσειεν, ἢ τȣ̀ς παῖδας τῆς ὀρυζοφαγίας.

ΔΙΑʹΛΟΓ. Ζʹ.

Α. Πῶς αὔξεται ὁ σῖτος, οἷον ὁ πυρὸς, ἡ κριθὴ ϗ ἡ ζειά; Μ. Τὸν αὐτὸν δὴ τρόπον, ὅνπερ ϗ τὰ ὄσπρια· ἐκ μὲν γὰρ τȣ̃ κόκκȣ φύεται βλαςὸς, ἐκ δὲ τȣ̃ βλαςȣ̃ χόρτος, ἐκ δὲ τȣ̃ χόρτȣ κάλαμος πρόεισιν, ἐκ δὲ τȣ̃ λέπȣς ςάχυς, κἂν τοῖς ἐλύτροις ἔνεισιν οἱ κόκκοι. Α. Τί γίγνεται ἐκ τȣ̃ πυρȣ̃; Μ. Οʹλυρα, ὥσπερ ἐκ κριθῆς αἴγιλωψ, ϗ ἐξ ἀκροσπέλȣ σιφώνιον. Α. Τίνι τρόπῳ τὸ πάλαι ἐξέτριβον τȣ̀ς κόκκȣς; Μ. Περιῆγον τȣ̀ς βόας ϗ τȣ̀ς ἵππȣς. Α. Πῶς δʹ ἐκκαθαίρονται τῶν ἀθέρων ϗ καρφῶν; Μ. Λιμῶνται τῷ λικμῷ. Α. Εʹκ τίνος πεποίηται τὸ λικμιςήριον; Μ. Εʹξ οἰσυΐνων ῥαπίδων. Α. Τίνος ἕνεκα βάλλονται τῷ πτύῳ εἰς τὸν σιτῶνα, ἢ εἰς τὴν ἀποθήκην; Μ. Ἵνα χωρίζηται τὰ ἄχυρα. Α. Τίς τῶν κόκκων μάλιςα πληθύνεται; Μ. Ηʹ κέγχρος, ϗ ἡ μήκων. Α. Πȣ̃ γίγνεται ἡ κέγχρος ὅτι πλείςη; Μ. Εʹν Αἰθιοπίᾳ. Α. Οʹποῖοί τινές εἰσιν οἱ Αἰθίοπες; Μ. Εʹζοφωμένοι (μέλανες) τὴν ὄψιν, γρυποὶ τὴν ῥῖνα, ϗ ȣ̓λοὶ τὰς τρίχας. Α. Τίς παροιμία λέγεται ἐπʹ αὐτῶν; Μ. Αἰθίοπα σμήχειν. Α. Εʹπὶ τίνος τίθεται; Μ. Εʹπὶ τῶν μάτην πονȣ́ντων.

ΔΙΑʹΛΟΓ. Θʹ.

Α. Πόθεν ἄγονται τὰ ἀρώματα ἐς Εὐρώπην; Μ. Εʹξ Ἰνδιῶν. Α. Τίς ἡ χρῆσις τῶν ἀρωμάτων;

μάτων; Μ. Ἀρτύουσι τούτοις οἱ ὀψοποιοὶ τὰ βρώματα, ἵν' ἡδίων ᾖ ὁ ζωμός. Α. Τίσι μάλιστα χρῶνται; Μ. Τῷ πεπέρει, ὃ φύεται ἐν Ἰνδίᾳ, τῷ κρόκῳ, ὃς πρόεισιν ἐν Μακεδονίᾳ, καὶ τῷ ζιγγίβερει, ὃ γίγνεται ἐν Ἀραβίᾳ. Α. Οἱ δ' ἄπορῶν τῶν ἐξωτικῶν; Μ. Οὗτος χρῆται τοῖς ἐπιχωρίοις, οἷον τῷ σινήπει, κυμίνῳ, κρομμύῳ, σκορόδῳ καὶ πράσῳ. Α. Τί κάλλιστον ἄρτυμα; Μ. Λιμός· ἡδὺ γὰρ μᾶζα πεινῶντι, κἂν μὴ παρῇ κρέας πρόσφατον, καὶ ταρίχει στέργει· ὅθεν καὶ τὸν Ἀλέξανδρόν φασι πεινῶντα εἰπεῖν μὴ δεῖσθαι μαγείρων. Α. Τί τῶν σιτίων ἐστὶν ὑγιεινότατον; Μ. Ὁ χυλὸς τῆς πτισσάνης ἐκ κριθῆς ἀφλοίου. Α. Τί δ' ἄριστον ποτόν; Μ. Ὕδωρ καθαρὸν καὶ διειδές. Α. Ἆρ' οὖν ἀνεκτότερον τὸ δίψος τοῦ λιμοῦ; Μ. Ἥκιστά γε· ὁ γὰρ δίψῃ συνεχόμενος οὐκ ἀναίνεται καὶ θολεροῦ νάματος πίνειν. διὸ καὶ τὸν Ἀρταξέρξην φασὶ δίψῃ συσχεθέντα, καὶ θολεροῦ, μᾶλλον δὲ ὀδωδότος νάματος ἐκ τενάγους πιόντα εἰπεῖν· οἵας ἡδονῆς ἄγευστος ἤμην!

ΔΙΑ'ΛΟΓ. Θ!

Α. Τίς ἡ χρῆσις τῆς σιπύης; Μ. Ἐν ταύτῃ ἀποτίθεται τὰ λευκὰ ἄλφιτα, ἐξ ὧν σκευάζονται διάφορα πεμμάτων γένη· οἷον πλακοῦντες, πλακούντια, λάγανα, μελιττοῦται, πόπανα, ψαιστοὶ, ἀρτοκρέατα, κολλυρίδες, ἐγκρυφίαι, τηγανῖται, καὶ ἄλλ' ἄττα. Α. Τίς δὲ τοῦ γυργάθου, ἢ τοῦ κοφίνου; Μ. Ἐν τούτῳ τίθενται οἱ ἄρτοι, καὶ προσφέρονται ἐπὶ τὴν τράπεζαν

πεζαν, ἐπειδὰν τὸ ἄριϛον ἢ δεῖπνον ἕτοιμον γένηται. Α. Τίς δὲ τῆς σπυρίδος, εἰ δὲ βȣλει, τῆς σαργάνης; Μ. Εʹν ταύτῃ κομίζεται τὰ ἐξ ἀγορᾶς ὠψωνημένα. Α. Τίς δὲ τῶν λαγήνων ϗ φιαλῶν; Μ. Εʹν ταύταις διαφυλάττεται τὸ ἔλαιον, τὸ ὄξος ϗ ὁ οἶνος. Α. Εʹκ τίνος ἐπεποίηντο τὸ πάλαι; Μ. Εʹκ ξύλȣ, κέρως, ὑέλȣ, πηλȣ̃, χαλκȣ̃ ϗ δέρματος. Α. Εʹν τίσι σκεύεσιν ἐτίθεντο τὰ ὄψα; Μ. Εʹν πίναξι, παροψίσι, τρυϐλίοις, ϗ ἄλλοις ἀγγεῖοις. Α. Εʹκ τίνων ἔπινον; Μ. Εʹκ κυλίκων, κυάθων, κωθώνων ϗ κρατήρων. Α. Πῶς πρȣ̃πινον τῆς φιλοτησίας; Μ. Τοσαῦτα ἐξεκένȣν ἐκπώματα, ὅσα ἐνῆν γράμματα τῷ ὀνόματι τȣ̃ παρόντος, ἢ ἀπόντος φίλȣ. Α. Πότε εἰώθεισαν οἱ Εʹλληνες ἐπιεικῶς, ἢ ζωρότερον πίνειν; Μ. Εʹν θαλείαις, εὐωχίαις, πότοις, κώμοις, ἑϛιάσεσι ϗ ἑορταῖς, ȣ̓κ ἥκιϛα δὲ ἐν τοῖς Διονυσίοις. Α. Τί ἔλεγον τῷ μὴ βȣλομένῳ πίνειν; Μ. Ηʹ πίθι, ἢ ἄπιθι.

ΔΙΑʹΛΟΓ. Ι!

Α. Πῶς διαιρȣ̃νται οἱ λίθοι; Μ. Τριχῶς· εἰς ἁπλȣ̃ς, σπανιωτέρȣς ϗ τιμίȣς. Α. Τίνες εἰσὶν ἁπλοῖ; Μ. Πέτρα, ἀκόνη, χάλιξ, πυρίτης. Α. Τίνες δὲ σπανιώτεροι; Μ. Μάγνης, κρύϛαλλος, μάρμαρον. Α. Τίνες δὲ πολύτιμοι; Μ. Αʹνθραξ, ἀδάμας, σάπφειρος, σμάραγδος, ἴασπις, χρυσόλιθος, ὄνυξ, σάρδιος, τοπάζιος. Α. Τίς ἐϛι ϛεῤῥοτάτη ϗ ἁπασῶν τιμιωτάτη; Μ. Οʹ ἀδάμας. Α. Εʹς τί χρῶνται τȣ́τῳ;

Μ. Εʹς

Μ. Εἰς δακτυλίους, ἑλικτῆρας, βραχιονιστῆρας, ὅρμους, περιδέραια, ψέλλια, ἐνώτια καὶ ἐλλόβια. Α. Τίνος ἕνεκα ἀποξέεται; Μ. Ἵνα λεῖος ᾖ καὶ στίλβῃ. Α. Τίς πρῶτος λεάνας ἀπεστίλβωσεν αὐτόν; Μ. Γ᾽άκωβος ὁ Τρέκκης. Α. Τίνες τῶν πολυτίμων λίθων εἰσὶ κρείττους; Μ. Αἱ ἐξ ἑώας κομιζόμεναι. Α. Πῦ ἁλίσκονται οἱ μαργαρῖται; Μ. Κατὰ τὴν Μαργαρίτην νῆσον ἐν τῇ Ἀτλαντίδι. Α. Τίς ἡ χρῆσις τούτων; Μ. Διακοσμοῦσι τούτοις αἱ θρυπτικῶς διακείμεναι γυναῖκες τήν τε κεφαλὴν καὶ τὰ ὦτα. Α. Πῦ εὑρίσκεται τὰ κοράλλια; Μ. Ἐν ἁλὶ, εἴτ᾽ οὖν θαλάττῃ. Α. Πῦ δὲ τὸ Ἤλεκτρον; Μ. Ἐπὶ τοῖς αἰγιαλοῖς τοῦ βαλτικοῦ πελάγους. Α. Ποίας ἔλαχε φύσεως; Μ. Τριβόμενον ἕλκει τρίχας καὶ ἄλλ᾽ ἄττα τῶν τοιούτων· ἀφ᾽ οὗ καὶ ἡ Ἠλεκτρικὴ δύναμις πρῶτον ἐγνώσθη, καὶ ἡ Ἠλεκτρικὴ μηχανὴ ἐκλήθη.

Δ Ε Κ Αʹ Σ Ι!

Περὶ διαφόρων ἠθικῶν πραγμάτων.

ΔΙΑʹΛΟΓΟΣ Α!

Φιλάρετος. Χρύσανθος.

Φ. Ἴθι εἰπὲ, τίνες εἰσὶν οἱ φθορεῖς καὶ λυμεῶνες τῆς νεότητος; Χ. Οἱ κάπηλοι καὶ μαστρω-

ςρωποί. Φ. Τίνος ἕνεκα; Χ. Ὅτι ἐπάγονται τὰς νέας ἐπὶ τὰς οἰνῶνας, ἵνα πίνωσιν οἶνον, πῖνον, βρῦτον καὶ ζῦθον, εἴτ' οὖν κρίθινον οἶνον. Φ. Τίς πρῶτος ἕψησε κρίθινον οἶνον; Χ. Διόνυσος, ὁ καὶ Βάκχος. Φ. Οὑτωσὶ ῥαδίως διαφθείρονται οἱ νέοι θαμίζοντες ἐπὶ τὰς οἰνῶνας; Χ. Παντάπασίγε· γαργαλίζει γὰρ ἡ ἡδονὴ τὰς τῶν νέων ψυχὰς, καὶ ποιεῖ τὰ χείρω πρὸ τῶν κρειττόνων αἱρεῖσθαι. Ταύτῃ τοι κυβεύασι, κώμοις τε καὶ μέθαις καὶ κραιπάλαις ἑαυτὰς ἐπιδιδόασι, καὶ χορὰς ἄγασι καὶ σπαθῶσι τὰ πατρῷα μετὰ πορνῶν καὶ ἑταιρῶν ἐν ταῖς τῶν πάτων συνασίαις. Φ. Τί συμβαίνει ἐντεῦθεν; Χ. Ὅταν ἀπολίπῃ αὐτὰς τὰ χρήματα, τότε δὴ ἄρχονται ψεύδεσθαι, ἀπατᾶν, ἀποςερεῖν, ἱεροσυλεῖν, προδιδόναι, κλέπτειν, λῄζεσθαι, καὶ ὅσα τάτοις παραπλήσιά ἐςιν· ἅπαξ γὰρ αἱ τῶν νέων ψυχαὶ εἰς ἡδονὰς ἐξολισθήσασαι ἐπὶ πάντα φέρονται τὰ ἀσεβέςατα. Φ. Τί οὖν ποιητέον; Χ. Ἀπάγειν δεῖ αὐτὰς τῆς πρὸς τὰς πονηρὰς ἀνθρώπας συνασίας· φθείρασι γὰρ ἤθη χρηςὰ ὁμιλίαι κακαί· μάλιςα δὲ τῶν ἐπαράτων κολάκων, οἵπερ ἐξωλέςατοι καὶ πάντων ἀνθρώπων ἐπιτριπτότατοί εἰσι.

ΔΙΑʹΛΟΓ. Β!

Φ. Διὰ τί δεῖ τὰς κόλακας μᾶλλον τῶν κοράκων ἀποςρέφεσθαι; Χ. Ὅτι οἱ μὲν κόρακες τὰς τᾶ σώματος ἐξορύττασιν ὀφθαλμὰς, οἱ δὲ κόλακες τὰς τῆς ψυχῆς ἐπισκοτίζασι λογισμάς. Φ. Τίνι ἐοίκασιν οἱ κόλακες; Χ. Τοῖς κυ-

σίν·

σίν· ὥσπερ γὰρ ὅτοι σαίνουσι τοὺς ἑαυτῶν δεσπότας τῆς βορᾶς ἕνεκεν, οὕτω τοι οἱ κόλακες θεραπεύουσι τοὺς μέγα δυναμένους καὶ πλούτῳ κομῶντας τῆς γαστρὸς ἕνεκεν. Φ. Πῶς ἀπεκάλεσαν τοὺς παρασίτους; Χ. Σῆτας καὶ μῦας τῶν ἐνδόξων οἴκων· διορύττουσι γὰρ αὐτοὺς καὶ κατεσθίουσι. Φ. Τί δὴ ποιοῦσιν οἱ κόλακες καὶ παράσιτοι; Χ. Θωπεύουσιν, ἐπαινοῦσι, καγχάζουσι, θαυμάζουσι πάντα καὶ ἐκθειάζουσι. τοιοῦτος δήπου ἦν Ἄγις ὁ ποιητὴς ὁ τὸν Ἀλέξανδρον ἀποθεώσας. Φ. Τίνος ἕνεκα Δαμοκλῆς ἐμακάριζε Διονύσιον τὸν τύραννον; Χ. Τῶν βασιλικῶν ἐδεσμάτων καὶ τῶν σκευῶν, ὧν τὰ μὲν δὴ ὅλου χρυσᾶ, τὰ δὲ ἐπίχρυσα ἦν. Φ. Πῶς διήλεγξεν ὁ Τύραννος τὸν παράσιτον; Χ. Καθίσας αὐτὸν ἐπὶ θρόνου χρυσῷ ἀπαστράπτοντος παρέθηκε μὲν ποικίλα καὶ παντοδαπὰ ἐδέσματα, ἐπέθηκε δὲ τῇ κεφαλῇ ξίφος ἐκ τριχὸς ἠρτημένον. Φ. Τίς παροιμία λέγεται κατὰ τῶν παρασίτων; Χ. Ζεῖ χύτρα, ζῇ φιλία. Φ. Τί ἔφη Κικέρων περὶ κολακείας; Χ. Λοιμὸν εἶναι αὐτὴν τῆς φιλίας. Φ. Τίνες ἐγένοντο εἰλικρινεῖς καὶ ἄδολοι φίλοι; Χ. Ὀρέστης καὶ Πυλάδης· οὗτος γὰρ τὰς σὺν ἐκείνῳ ταλαιπωρίας περὶ πλείονος ἐποιήσατο τῆς οἴκοι βασιλείας. Φ. Τί ἱστορήκασι περὶ Δάμωνος καὶ Φιντίου τῶν Πυθαγορείων; Χ. Ἅτερον θατέρου ἑλέσθαι ὑπεραποθανεῖν.

ΔΙΑ'ΛΟΓ. Γ!

Φ. Τίνος ἐγκλήματος δίκας εἰσεπράττετο ὁ Περσῶν νόμος; Χ. Ἀγνωμοσύνης, εἴτ' οὖν

ἀχα-

ἀχαριςίας. Φ. Τί δή; Χ. Ὅτι ἕπεσθαι φιλεῖ τῇ ἀχαριςίᾳ ἀναισχυντία, ἥτις μεγίςη ἐςὶν ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. Φ. Τίνι ἐοίκασιν οἱ περιθάλποντες τὺς ἀγνώμονας ϗ ἀχαρίςυς; Χ. Τῷ παρ᾽ Αἰσώπῳ γεωργῷ, ὃς ἔθαλπεν ἐν κόλπῳ ὄφιν κρύει πεπηγότα. Φ. Μήτι κακὸν πέπονθεν ὑπ᾽ ἐκείνυ; Χ. Διεφθάρη αὐτός τε ϗ ἅπασα ἡ ἑςία (οἰκία) αὐτῦ τῷ ἰῷ. Φ. Ἔςιν ὑποδείγματα τῶν ἀγνωμόνων ϗ ἀχαρίςων; Χ. Μυρία, φεῦ! ἐπὶ μυρίοις. Φ. Λέξον δή τινα τύτων. Χ. Ὁ δῆμος τῶν Ἀθηναίων τὸν μὲν χρηςὸν Φωκίωνα, ϗ τὸν σοφὸν Σωκράτην τὸ κώνειον πιεῖν ἠνάγκασαν, τὸν δὲ δίκαιον Ἀριςείδην ἐξωςράκισαν. Νέρων δὲ ὁ ἐπὶ τυραννικῇ ὠμότητι βεβοημένος τὸν καθηγητὴν Σενέκαν ἐν ὕδατι χλιαρῷ τὴν φλέβα σχάσαι (τεμεῖν) ἐβιάσατο. Φ. Τί ἀπεκρίνατο ὁ Πομπήϊος τῷ Μαρκελλίνῳ λοιδορίαις αὐτὸν πλύνοντι; Χ. Οὐκ αἰσχύνῃ ἐκείνῳ λοιδορύμενος, δι᾽ ὃν ἐξ ἀφώνυ λόγιος, ἐκ δὲ πεινατικῦ ἐμετικὸς γέγονας; Φ. Τῦ χάριν κατέφυγε Πομπήϊος πρὸς Πτολεμαῖον τὸν βασιλέα; Χ. Ὅτι σφόδρα ἦν πεποιθὼς ταῖς κατατεθείσαις πρὸς ἐκεῖνον εὐποιΐαις· ἐπανήγαγε γὰρ τὸν φύσαντα αὐτὸν ἐπὶ τὴν βασιλείαν. Φ. Μῶν ἀπέδωκεν αὐτῷ τὴν χάριν; Χ. Οὐ μὲν ὖν, ἀλλ᾽ ἀνεῖλεν αὐτὸν, ϗ τὸν μὲν κορμὸν ἔρριψε κατὰ τῦ ὕδατος, τὴν δὲ κάραν προσήνεγκε τῷ Καίσαρι. Φ. Τί δὲ ὁ Καῖσαρ; Χ. Οὐχ οἷός τ᾽ ἦν κατέχειν τὰ δάκρυα θεασάμενος.

ΔΙΑ-

ΔΙΑʹΛΟΓ. Δ!

Φ. Τίνος ἕνεκα Διογένης ὁ Κύων ἀπεκάλει Αʼρίςιππον τὸν Κυρηναῖον βασιλικὸν κύνα; Χ. Οʹτι ἐθεράπευε τὰς τῶν τυράννων αὐλάς. Φ. Τί δήποτε αὗται ἀεὶ κακῶς ἤκεσαν; Χ. Οʹτι ἡ ἀρετὴ ϗ ἡ ἀλήθεια πόῤῥω ἐκεῖθεν ἀπελήλανται, ἡ κακία δὲ ϗ τὸ ψεῦδος ἐμφιλοχωρεῖ. Φ. Τίσι τῶν ἀνθρώπων ἔχαιρον τὸ πάλαι μάλιςα οἱ μέγα δυνάμενοι, ϗ πλέτῳ κομῶντες; Χ. Μίμοις, γελοίοις, σκώπταις, μυκτηριςαῖς ϗ χλευαςαῖς. Φ. Διὰ τί δεῖ φυλάττεσθαι τὲς τοιέτες τῶν ἀνθρώπων; Χ. Οʹτι ὡς ἐπὶ τὸ πολὺ εἰσὶ συκοφάνται. Φ. Τίνι ἐοίκασιν ἕτοι; Χ. Τῷ διαβόλῳ ϗ σκορπίῳ. Φ. Οʹτι τί δή; Χ. Διαβάλλεσι γὰρ τὲς ἀγαθὲς ἄνδρας, ϗ ἐκ παντὸς τρόπε ἐπιβελεύεσιν αὐτοῖς. Φ. Τί ἔν ποιητέον; Χ. Φεύγειν δεῖ παντὶ σθένει ἐχ ἧττον, ἢ ἰὸν ἀσπίδων ἄνδρας ψιθύρες ϗ συκοφάντας. Φ. Τίνες ἐγένοντο ἐπίσημοι κατήγοροι; Χ. Τῶν μὲν θεῶν ὁ Μῶμος, ὃς ἐπεμέμψατο τῷ Διΐ, διότι μὴ ϗ θυρίδας τἀνθρώπῳ κατὰ τὸ ςέρνον πεποιήκοι, ὡς ἂν, διαπτυσσομένων ἐκείνων, καταθεῷτο τοῖς ἀγνοῦσι τὰ ἐν τῷ βάθει τῆς καρδίας κείμενα, ϗ τῷ ταύρῳ μὴ προτεθείκοι τῶν ὀφθαλμῶν τὰ κέρατα, τῶν δὲ ἀνθρώπων Ζωΐλος, ὃς ἐπέσκωψε Πλάτωνα ϗ Οʹμηρον, ϗ δι᾽ αὐτὸ τῦτο Οʹμηρομάςιξ ἐπεκλήθη. Φ. Τίνες δὲ δίκας δεδώκασι τῆς ἀκολάςε γλώττης; Χ. Τάνταλος ὁ τῦ Διὸς, ὃν σφόδρα κολάζεσθαί φασιν οἱ μῦθοι ἐν ᾅδε τῆς εἰς θεὲς βλασφημίας, ϗ Θεόκριτος ὁ Χῖος, ὃς ἀπέβαλε τὴν κεφαλὴν ἐπισκώψας

Αʼντί-

Ἀντίγονον τὸν Μακεδόνων βασιλέα ἐς τὴν πήρωσιν. Φ. Τί ἂν ῥηθείη ἐπὶ τούτου; Χ. Δαιμόνιε! οὐκ οἶσθ' ὡς ἡ τοῦ βασιλέως χεὶρ ὑπερμήκης ἐστί;

ΔΙΑʹΛΟΓ. Ε!

Φ. Διὰ τί φευκτέον ἐστὶ τὸ δάνειον; Χ. Ὅτι φροντίδων ἐστὶν ἀνάπλεων. Φ. Ὅτι τί δή; Χ. Ἐπείπερ τοὺς χρήματα ὀφείλοντας ἀνάγκη ὅσαι ὧραι σκοπεῖν, ὅπως οὐ τὸ κεφάλαιον μόνον, ἀλλὰ καὶ τὸν τόκον ἀποδώσουσι. Φ. Τίνος ἕνεκα προσέταξεν ὁ Αὔγουστος προσκεφάλαιον ὀφειλέτου ἑαυτῷ ὠνηθῆναι; Χ. Ἵν' ἥδιον αὐτῷ ἐφυπνώττοι. Φ. Τίνι ἐοίκασιν οἱ ὀφειλέται; Χ. Τῇ νυκτερίδι· ὥσπερ γὰρ αὕτη φεύγει τὸ φῶς, οὕτως ἐκεῖνοι δεδοίκασι τοὺς δανειστὰς, μὴ ἀπαιτήσωσιν αὐτοὺς τὰς ὀφειλὰς διὰ τῶν εἰσπρακτόρων. Φ. Διὰ τί μυθεύεται αὕτη φεύγειν τὸ φῶς; Χ. Ὅτι δανεισαμένη χρήματα ἀπέβαλε ναυαγίῳ χρησαμένη, καὶ δι' αὐτὸ τοῦτο οὔτε τὸ ἀρχαῖον, οὔτε τὸν τόκον ἀποδοῦναι οἵα τε ἦν. Φ. Τί ἄσυλον συνεχώρησαν τὸ πάλαι τοῖς χρεώσταις καὶ ὀφειλέταις; Χ. Τὸ ἱερὸν τῆς Ἀρτέμιδος, καὶ τῶν ἄλλων θεῶν τὰ τεμένη. Φ. Τί δὲ Πλουτάρχῳ περὶ τούτου δοκεῖ; Χ. Πολλῷ μᾶλλον ἡ μετριότης καὶ ἡ εὐτέλεια καὶ ἡ φειδώ· ταῦτα γὰρ ὡς ἀληθῶς ἀσφαλὲς παρέχεται ἄσυλον. Φ. Ποία τις ποινὴ ἐπέκειτο παρὰ Ῥωμαίοις τοῖς χρήσταις καὶ δανεισταῖς καὶ τοκισταῖς; Χ. Τετραπλάσια κατεδικάζοντο ἀποδιδόναι, διὰ τὸ κατεσθίειν τοὺς πολίτας τῷ τόκῳ.

ΔΙΑʹ-

ΔΙΑʹΛΟΓ. ΣΤ!

Φ. Τίνες δανείζουσι χρήματα, εἰ δὲ βούλει, ἀργύριον ἐπὶ τόκῳ; Χ. Οἱ πλεονέκται καὶ χρυσομανεῖς. Φ. Τίς ἐγένετο πλεονεκτίστατος καὶ φιλαργυρώτατος; Χ. Μίδας ὁ Φρυγῶν βασιλεύς. Φ. Τί ηὔξατο οὗτος; Χ. Πάντα, ὧν ἂν ἅψαιτο, χρυσὸν γενέσθαι. Φ. Πότερον οὖν ἀγαθὴ ἡ εὐχή; Χ. Οὐ μὲν οὖν, ἀλλ' ἄλογος καὶ κομιδῇ ἀνόητος· τυχὼν γὰρ τῆς εὐχῆς παρὰ μικρὸν διεφθάρη τῷ λιμῷ, τῷ μήτε ψίχα ἐσθίειν, μήτε σταγόνα πίνειν δύνασθαι. Φ. Πῶς ὠνείδισε Πυθίῳ τῷ Μυσῷ ἡ γυνὴ τὴν φιλοχρηματίαν; Χ. Βουλιμιῶντι αὐτῷ παρέθηκε χρυσᾶ καὶ ἀργυρᾶ τρυβλία καὶ ἐκπώματα. Φ. Τίς τῶν ἐπὶ λόγοις δοκίμων ἐγένετο φιλοκτήμων καὶ φιλόχρυσος; Χ. Σιμωνίδης ὁ ποιητής. Φ. Πῶς παρῃτήσατο ἑαυτὸν τῆς μέμψεως; Χ. Βουλοίμην ἄν, ἔφη, ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων. Φ. Τί σοι δοκεῖ περὶ ταύτης τῆς ἀποκρίσεως; Χ. Κομψὴ πάνυ ἐστὶ καὶ ἀξία τῆς μούσης τοῦ Σιμωνίδους. Φ. Τίνι ἐοίκασιν οἱ φιλόχρυσοι καὶ φιλόπλουτοι; Χ. Τοῖς παραδεδομένοις τῇ τιμωρίᾳ· οὗτοί τε γὰρ κολάζονται διηνεκῶς κακουχούμενοι, καὶ δεινῶς ταλαιπωρούμενοι, κἀκεῖνοι σχετλίως βασανίζονται ταῖς φροντίσι καὶ ἐκτήκονται ἀπέραντα μοχθοῦντες, καὶ εἰς τετρημένον πίθον ἀντλοῦντες. Φ. Τίνι δὲ οἱ πλεονέκται; Χ. Τῷ κυνὶ τοῦ παρ' Αἰσώπῳ μύθου· οὗτός τε γὰρ καὶ τοῦ κρεὼς ἐστερήθη, καὶ τῆς σκιᾶς οὐκ ἐδράξατο, κἀκεῖνοι τῶν πλειόνων

νων ἀεὶ ἐπιθυμοῦντες, καὶ ἅπερ ἔχουσι προσαποβάλλουσιν.

ΔΙΑ'ΛΟΓ. ΖΙ

Φ. Διὰ τί φευκτέα ἐστὶ τοῖς εὖ φρονοῦσιν ἡ ὀργή; Χ. Ὅτι πολέμιός ἐστι τῇ ὑγείᾳ, ἡνίκα πλεονάσῃ ἡ χολὴ, καὶ ἐπισκοτεῖ τῇ ψυχῇ. Φ. Πῶς ὁρίζονται ταύτην φιλοσόφων παῖδες; Χ. Ὀλιγοχρόνιον μανίαν. Φ. Τοῦ χάριν; Χ. Ἐπείπερ ἐξίστησι τὸν ἄνθρωπον, καὶ μικροῦ δεῖν μαίνεσθαι ποιεῖ. Φ. Τί γνωμοδοτεῖ ὁ σοφὸς Γρηγόριος; Χ. Οὐδεὶς μετ᾽ ὀργῆς ἀσφαλῶς βουλεύεται. Φ. Ποῖον ἄκος τῆς ὀργῆς ὑπέθετο Ἀθηνόδωρος ὁ φιλόσοφος τῷ Σεβαστῷ; Χ. Συνεβούλευσεν αὐτῷ ὀργισθέντι μηδὲν εἰπεῖν, μηδὲ ποιῆσαι, πρὶν ἢ τὰ εἴκοσι καὶ τέτταρα γράμματα διελθεῖν πρὸς αὐτόν. Φ. Τίνος ἕνεκεν; Χ. Ἵν᾽ ἀποζέσῃ μεταξὺ ἡ χολὴ, καὶ διαπνευσθῇ τὸ φλεγμαῖνον. Φ. Ὁποῖός τις ἦν οὗτος ὁ Καῖσαρ; Χ. Λίαν ὀξύθυμος· ἐπὶ πάνυ γὰρ μικροῖς σφόδρα ὠργίζετο, καὶ ὅλος ὑπὸ τοῦ θυμοῦ ἐξεκαίετο. Φ. Τίνι ἐοίκασιν οἱ ὀργίλοι καὶ θυμοῦ ἥττονες; Χ. Τοῖς ἀλόγοις τῶν ζώων, εἰ δὲ βούλει, τοῖς κτήνεσι τοῖς ἀνοήτοις. Φ. Τίνος ἕνεκα; Χ. Ὅτι ὁρμῶσιν ὥσπερ οἱ κάπροι, λυττῶσιν ὥσπερ οἱ κύνες, ἀττουσιν ὥσπερ οἱ σκορπίοι, δάκνουσιν ὥσπερ οἱ ὄφεις. Φ. Τίνες ἀπέθανον ὑπὸ τῆς ὀργῆς; Χ. Νέρβας καὶ Βαλεντιανὸς ἄμφω ῥωμαίων βασιλεῖς.

ΔΙΑ'-

ΔΙΑʹΛΟΓ. Η!

Φ. Τί ἄριστον πάντων τῶν ἀγαθῶν; Χ. Τὸ ὑγιαίνειν· οὐκ ἔστι γὰρ ὑγιείας κρεῖττον οὐδὲν ἐν βίῳ. Φ. Τί γνωματεύει ὁ τῆς Θεολογίας ἐπώνυμος; Χ. Ὑγιεία καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύω. Φ. Τί οὖν ὑπαγορεύει ὁ ὀρθὸς λόγος; Χ. Πλείστην ἐπιμέλειαν ἔχειν τῆς ὑγιείας. Φ. Πῶς ἂν διαφυλάττοιμεν τὴν ὑγιείαν; Χ. Νήφοντες καὶ ἀσκοῦντες καὶ μετρίᾳ διαίτῃ χρώμενοι· ὀλιγοσιτία γὰρ μήτηρ τῆς ὑγιείας καθʼ Ἱπποκράτην. Φ. Διὰ τὶ δεῖ ἡμᾶς νήφειν; Χ. Ὅτι οἱ μὲν σώφρονες καὶ νηφάλιοι πολὺν βιοῦσι χρόνον, οἱ δʼ ἀκόλαστοι καὶ μέθυσοι προεκθερίζονται τοῦ βίου, ἢ ὃ ταυτόν ἐστι, πρόωροι ἀποθνήσκουσι. Διὸ καὶ Γοργίας ἐρωτηθεὶς ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν; Οὐδὲν οὐδέποτε ἔφη πρὸς ἡδονὴν οὔτε φαγὼν οὔτε δράσας. Φ. Τί πάσχουσιν οἱ οἰνόφλυγες καὶ μέθῃ ὑποβρεχόμενοι; Χ. Οὐ μόνον σφάλλονται ὑπὸ τοῦ οἴνου σαλευόμενοι τὰ γυῖα, καὶ ἐξεστήκασι κατὰ τοὺς ἄφρονας, ἀλλὰ καὶ ὀκνοῦσιν ὑπὸ τοῦ κάρου, καὶ παρʼ ὅλον μονονοὺ τὸν βίον ἀλγοῦσι τὴν κεφαλήν· ναὶ μὴν ληθάργῳ τε καὶ ἄλλοις δεινοῖς νοσήμασι περιπίπτουσιν. Ἔνθεντοι οἱ μὲν αἷμα ἀποπτύουσιν, οἱ δὲ πύον ἀποχρέμπτονται, οἱ δὲ τὴν γαστέρα οἰδοῦσι. Φ. Τί δὲ δεῖ τῆς ἀσκήσεως καὶ κινήσεως; Χ. Ἵνα μὴ ἀποναρκᾷ τὸ αἷμα ἐν ταῖς φλεψὶ καὶ ἀρτηρίαις, μηδʼ αἴρηται ἡ φλέψ εἰς ἰξίαν, ἢ κιρσόν. Φ. Τίς ἀρίστη κίνησις; Χ. Ἡ μετρία· πᾶν γὰρ μέτριον ἄριστον. Φ. Πότερον οὖν ὁ ὕπνος ὑγιεινός ἐστι; Χ. Σφόδραγε· ὕπνος γὰρ σώματος πέφυκε σωτηρία.

ρία. Φ. Πότερον οὖν καὶ ἡ ἀνάπαυσίς ἐστι σωτηριώδης; Χ. Κομιδῆ μὲν οὖν· ἀναζωοῦται γὰρ ταύτῃ τὰ τῷ πόνῳ δαμέντα μέλη.

ΔΙΑʹΛΟΓ. Θ!

Φ. Τίνι ἔοικεν ὁ Κόσμος; Χ. Θεάτρῳ. Φ. Τίνι δὲ οἱ ἐν τῷ Κόσμῳ ἄνθρωποι; Χ. Τοῖς ἐπὶ τῆς σκηνῆς ὑποκρινομένοις τὰ δράματα· ἄλλοι μὲν γὰρ ἄλλα ὑποκρίνονται, ἕκαστος δὲ τὸ ἑαυτοῦ ἔργον ἔχει. Φ. Ἴθι δή εἰπέ μοι, τί ἔργον ἔχει ἕκαστος τῶν ἀνθρώπων; Χ. Οἱ μὲν εἰσι βασιλεῖς καὶ δυνάσται καθήμενοι ἐπὶ θώκων χρυσῷ καὶ πορφύρᾳ στιλβόντων, καὶ τὰς ὑφ' ἑαυτοὺς διέποντες· οἱ δὲ ἀγαθοὶ στρατιῶται καὶ στρατηγοὶ τροπὰς ποιούμενοι τῶν πολεμίων, καὶ αἱροῦντες φρούρια καὶ πόλεις· οἱ δὲ δικασταὶ ἀπολύοντες τοὺς ἀθώους καὶ κολάζοντες τοὺς ἐνόχους· οἱ δὲ φρουροὶ καὶ δορυφόροι περιστοιχιζόμενοι τοὺς ἄνακτας καὶ ἡγεμόνας· οἱ δὲ ἠπηταὶ καὶ ἀκεσταὶ ῥάπτοντες ἐσθῆτας, καὶ ἀκούμενοι τὰ διεῤῥωγότα ἱμάτια· οἱ δὲ σκυτεῖς καὶ σκυτοτόμοι συῤῥάπτοντες κρηπῖδας, καὶ καττύοντες τὰ σαθρὰ τῶν ὑποδημάτων. οἱ δὲ πιθουργοὶ λυγοῦντες τοὺς πίθους στεφάνοις· οἱ δὲ ἀροτῆρες θεραπεύοντες τὴν γῆν· οἱ δὲ φυτουργοὶ φυτεύοντες κήπους καὶ ἀμπελῶνας· οἱ δὲ ἔμποροι ἐμπορίας ποιούμενοι κατά τε γῆν καὶ θάλατταν· οἱ δὲ κολλυβισταὶ καὶ τραπεζῖται κέρματα καὶ νομίσματα καταλλαττόμενοι· οἱ δὲ τυπογράφοι βίβλους ἐντυποῦντες, καὶ πιπράσκοντες τοῖς βουλομένοις ὠνήσασθαι· οἱ δὲ γραφεῖς

φεῖς εἰκόνας ἀνθρώπων ϗ ζώων γράφοντες, ϗ τȣ́τοις ἀπεικάζοντες· οἱ δὲ γλύπται χαλκῷ τε ϗ μαρμάρῳ ἐγκολάπτοντες· οἱ δὲ ἑρμογλύφοι λίθȣς ξέοντες, ϗ τȣ́τοις ἐγχαράττοντες· οἱ δὲ ὀπτῆρες ἀπὸ τῆς σκοπιᾶς θεώμενοι· οἱ δὲ χλευαςαὶ ϗ μυκτηρισαὶ καταμωκώμενοι· οἱ δὲ σκῶπται ϗ βωμολόχοι γέλωτα κινȣ̃ντες ϗ μηχανώμενοι. Φ. Τίνες εἰσὶν ἐπαινετέοι; Χ. Οἵπερ ἂν τὸ δοθὲν αὐτοῖς πρόσωπον εὐφυῶς ὑποκρίνοιντο· εἰ δὲ μὴ, ἐκσυρικτέοι.

ΔΙΑ'ΛΟΓ. Ι!

Φ. Ὁποῖά ἐςι τὰ τῇδε πράγματα; Χ. Φύσει τρεπτὰ ϗ ἄςατα. Φ. Τίνι ἄν τις ταῦτα παρεικάσειε; Χ. Τοῖς ἐν τηνίᾳ ῥιπτομένοις κύβοις· ὥσπερ γὰρ ȣ̔̃τοι τοτὲ μὲν εὖ, τοτὲ δὲ ἑτέρως πίπτȣσιν, ȣ̔́τω τοι ταῦτα νῦν μὲν ȣ̔́τω, νῦν δ᾽ ἄλλως ἔχει. Φ. Πόθεν τȣ̃το δῆλον; Χ. Ἐξ αὐτῶν τῶν πραγμάτων, ἅπερ διηνεκῶς μεταβάλλεται ἄνω κάτω Εὐρίπȣ δίκην ςρεφόμενά τε ϗ φερόμενα, ὡς ἡ καθ᾽ ἡμέραν πεῖρα διδάσκει. Φ. Ἔχοις ἄν μοι εἰπεῖν παραδείγματα τῆς ἐπ᾽ ἄμφω μεταβολῆς τῶν ἀνθρωπίνων πραγμάτων; Χ. Καὶ πολλά γε. Φ. Εἰπὲ δή μοι ὀλίγ᾽ ἄττα τῶν πολλῶν. Χ. Ὁ μὲν Διονύσιος ἐκ τυράννȣ γέγονε γραμματιςὴς, ὁ δὲ Ἀβδολώνυμος ἐκ κηπωρȣ̃ βασιλεύς. ϗ αὖ πάλιν· ὁ μὲν Βελισσάριος ἐκ ςρατηγȣ̃ ἰδιώτης, ὁ δὲ Τύρταμος ἐκ διδασκάλȣ ςρατηγός. ϗ ὁ μὲν Κροῖσος ἐκ βασιλέως δȣ̃λος ϗ αἰχμάλωτος, ὁ δὲ Γύγης

ἐξ ἀγρότου βασιλεύς. Διὸ ϗ τὸν Φίλιππόν φασι τριῶν ἅμα ἀγγελθέντων αὐτῷ εὐτυχημάτων εἰπεῖν· ὦ Τύχη! μίξον τι τοῖς ἀγαθοῖς ϗ δυςύχημα. Φ. Τί δή; Χ. Ὅτι ἐδεδοίκει τὸ τῆς τύχης ἄδηλον, ϗ τῶν ἀνθρωπίνων πραγμάτων τὸ εὐπερίτρεπτον. Φ. Τί εἰώθει αὐτὸς ἑαυτῷ ἑκάςοτε ἐπιλέγειν; Χ. Φίλιππε! μέμνησο ἄνθρωπος ὤν. Φ. Τί οὖν ὑποτίθεται ἡμῖν ὁ ὀρθὸς λόγος; Χ. Μὴ ὑπεραίρεσθαι ἐν ταῖς εὐπραγίαις, ἀλλὰ μετριοφρονεῖν.

ΤΕʹΛΟΣ.

Π Ι' Ν Α Ξ

τῶν ἐν τῷδε τῷ Βιβλίῳ περιεχομένων Ἑλληνικῶν Διαλόγων.

ἙΚΑΤΟΝΤΑ'Σ Α!

ΠΙ΄ΝΑΞ.

Ε῾ΚΑ-

ΠΙ'ΝΑΞ.

Ἑ'ΚΑΤΟΝΤΑ'Σ Γ!

Συ-

Σημείωσις

τῶν ἀξιολογωτέρων Σφαλμάτων, ἅπερ ἀπηντηκέμοι ἀνελίττοντι τὰς ἐν τῇδε τῇ Βίβλῳ Σελίδας. Ὅσα δὲ διέλαθέμε εἴτε περὶ τὸν λόγον, εἴτε περὶ τὴν λέξιν, ἢ τὴν τῶν ὀμμάτων διέφυγεν ἀκμὴν, ἐπιδιορθώσεται ὁ εὐγνώμων Ἀναγνώστης ϗ συγγνώσεται εἰδὼς, ὅτι ἀνθρώπινον τὸ ἁμαρτάνειν.

Σελ.	Στ.	Παρορ.	Διορθ.
8	20	τραπῆναι . .	τραπέσθαι.
9	24	τράπηθι . .	τρέπε
13	12	ἀχολία . .	ἀσχολία
35	21	ποιήσειν . .	ποιῆσαι.
57	16	χρυσίων . .	χρυσίνων.
57	18	χρυσίων . .	χρυσίνων.
77	15	προχόῳ . .	προχοϊδίῳ
77	25	λίνεα . . .	λινᾶ
90	11	ωοιεῖς . . .	ποιεῖς
92	16	ἐξιλεώσασθαι. εἰ ἔξεστιν, εἰ δ' οὖν,	εἰ ἔξεστιν ἐξιλεώσασθαι· εἰ δ' οὔ;
191	21	Κύκλωπας, .	Κύκλωπας· Ἄργην
192	30	Ἀτροπὸς. .	Ἄτροπος.
227	20	σκυμνοὺς . .	σκύμνους.
233	24	τάττεται . .	τάττονται.

Εἴδησις.

Παρὰ τῷ τιμιωτ. Ἰωάννῃ Νικολάου τῷ Δαρβάρει ἐν Βιέννῃ πρόκεινται ὤνια καὶ τάδε.

Σύντομος Κατήχησις τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας τῶν Γραικῶν πρὸς χρῆσιν τῶν Παίδων, διὰ νὰ μάθωσι τὰ θεῖα καὶ ἱερὰ δόγματα τῆς καθ' ἡμᾶς εὐσεβοῦς Πίστεως.

Χειραγωγία εἰς τὴν Καλοκἀγαθίαν, Βιβλίον ἐπωφελέστατον εἰς ὅλους τοὺς Νέους, ὁποῦ ποθοῦσι νὰ ἦναι χρηστοήθεις καὶ φρόνιμοι, καὶ ἁπλῶς εἰπεῖν καλοκἀγαθοί.

Ἀσφαλὴς Ὁδηγία εἰς τὴν γνῶσιν τῶν Ἀνθρώπων, Βιβλίον χρησιμώτατον εἰς κάθε Νέον, διὰ νὰ γνωρίσῃ τὰς ἀρετὰς καὶ κακίας τῶν Ἀνθρώπων, καὶ διὰ τῆς γνώσεως αὐτῶν τὰς μὲν κακίας νὰ τὰς ἀποφεύγῃ καὶ νὰ τὰς ἀποστρέφηται, τὰς δὲ ἀρετὰς νὰ τὰς κυνηγᾷ καὶ νὰ τὰς ἐναγκαλίζηται.

Ἀληθὴς Ὁδὸς εἰς τὴν Εὐδαιμονίαν. ἤτοι Λόγοι Παραινετικοὶ τρεῖς περὶ τῆς Ἀνατροφῆς τῶν Παίδων, περὶ τῆς Χρηστοηθείας τῶν Νέων, καὶ περὶ τῆς Οἰκονομίας, Βιβλίον ἀναγκαιότατον εἰς ὅλους τοὺς Γονεῖς, ὁποῦ θέλουσι νὰ ἀναθρέφωσι καλῶς τὰ τέκνατων, καὶ νὰ κυβενῶσι τὰ ὀσπήτιατων, καὶ ἐκ τούτου νὰ ἀποκτήσωσι τὴν ἀληθῆ εὐτυχίαν.

Γραμματικὴ Γερμανικὴ ἐπωφελεστάτη εἰς ὅλους τοὺς Νέους, ὁποῦ ποθοῦσι νὰ μάθωσι τὴν Γερμανικὴν Διάλεκτον.

Καισαροβασιλικὴ Πατέντα περὶ τῶν Καμβίων, Βιβλίον χρησιμώτατον καὶ ἀναγκαιότατον εἰς ὅλους τοὺς Πραγματευτάς, ὁποῦ κάμνουσι συναλλάγματα πρὸς ἀλλήλους.

4